1. PRo nulla re mundi,& pro nullius hominis dilectione,aliquod malum eſt faciendum: ſed pro vtilitate tamen indigentis, opus bonum liberè aliquando intermittendum eſt, aut etiam pro meliori mutandum. Hoc enim facto, opus bonum non deſtruitur, ſed in melius commutatur. Sine charitate, opus externum nihil prodeſt: quicquid autem ex charitate agitur, quantumcunque etiam paruum ſit & deſpectum, totum fructuoſum efficitur. Magis ſiquidem Deus penſat ex quanto quis agit, quàm quantum facit. Multum facit,qui multum diligit.

2. Multum facit,qui rem bene facit. Bene facit,qui magis communitati, quàm ſuæ voluntati ſeruit. Sæpe videtur eſſe charitas, & eſt magis carnalitas; quia naturalis inclinatio, propria voluntas, ſpes retributionis, affectus commoditatis,rarò abeſſe volunt.

3. Qui

κατὰ βούλησιν καὶ γνώμην αὐτῶν γινομένων. εἰ δ' ἄλλως, ἢ ἐπιθυμοῦσιν, γίνεται, ταχέως ταράττονται καὶ λυποῦνται. Διὰ τὴν τῶν γνωμῶν καὶ δοξῶν διαφορὰν αἱ διχοστασίαι ἐν φίλοις καὶ πολίταις, ἐν ἀσκηταῖς καὶ εὐλαβέσιν ἅλις πυκνῶς γίγνονται.

γ'. Τὸ παλαιὸν ἔθος χαλεπῶς καταλείπεται, καὶ οὐδεὶς παρὰ τὸ ἴδιον δοκοῦν ἀσμένως ἄγεται. Ἐὰν τῷ λόγῳ ἢ τῇ ἐπιμελείᾳ σου μᾶλλον πεποίθῃς, ἢ τῇ ὑποτακτικῇ ἀρετῇ τοῦ Ἰησοῦ Χριστοῦ, σπανίως καὶ βραδέως ἄνθρωπος πεφωτισμένος ἔσῃ, ὅτι ὁ Θεὸς ἡμᾶς τελείως αὐτῷ ὑποταχθῆναι, καὶ πάντα τὸν λόγον δι' ἀγάπης τῆς διακαείσης ὑπερβῆναι ἐπιθυμεῖ.

Κεφ. ιε'.

Περὶ τῶν ἔργων τῶν ἐκ τῆς ἀγάπης πεποιημένων.

α'. Μηδὲ τινὸς τῶν ἐν κόσμῳ χάριν, μηδὲ τῆς πρὸς ἕνα τῶν ἀνθρώπων φιλίας ἕνεκεν κακόν τι ποιητέον· ἀλλὰ μὴν εἰς τὸ ὠφελεῖν τὸν ἐνδεῆ, τὸ καλὸν ἔργον ποτὲ ἀδεῶς διαλειπτέον, ἢ εἰς βέλτιον μεταβλητέον. τούτου γὰρ γινομένου, τὸ καλὸν ἔργον οὐκ ἀποσκευάζεται, ἀλλ' ἐπὶ βελτίονι καταλλάττεται. Ἄνευ ἀγάπης τὸ μὲν ἔργον τὸ ἔξω οὐ λυσιτελεῖ· τὸ δ' ἐξ ἀγάπης πεπραγμένον, ὁποσονοῦν μικρὸν καὶ καταφρόνητον ἂν ᾖ, ὅλον χρήσιμον γίνεται· περὶ πλείονος γὰρ ὁ Θεὸς ποιεῖται τὴν τοῦ πράττοντος προθυμίαν, ἢ τὸ τοῦ ἔργου μέγεθος. Πολὺ πράττει, ὁ πολὺ ἀγαπῶν.

β'. Πολὺ πράττει, ὁ τὸ ἔργον καλῶς πράττων. Καλῶς πράττει, ὁ μᾶλλον τῇ τοῦ κοινοῦ ὠφελείᾳ, ἢ τῇ βουλήσει αὐτοῦ δουλεύων. Πολλάκις ἀγάπη φαίνεται, καὶ μᾶλλόν ἐστι πάθος σαρκικόν, ὅτι ἡ φυσικὴ ὁρμή, ἡ βούλησις ἰδία, ἡ ἐλπὶς τῆς ἀμοιβῆς, καὶ ἡ τοῦ συμφέροντος ἐπιθυμία σπανίως ἀπεῖναι ἐθέλουσιν.

γ'. Ο

3. Qui veram & perfectam charitatem habet, in nulla re ſeipſum quærit; ſed Dei ſolummodo gloriam, in omnibus fieri deſiderat. Nulli etiam inuidet, quia nullum priuatum gaudium amat; nec in ſeipſo vult gaudere, ſed in Deo, ſuper omnia bona, optat beatificari. Nemini aliquid boni attribuit, ſed totaliter ad Deum refert, à quo fontaliter omnia procedunt, in quo finaliter omnes ſancti fruibiliter quieſcunt. O qui ſcintillam haberet veræ charitatis, profectò omnia terrena ſentiret eſſe plena vanitatis.

## Cap. XVI.

### *De ſufferentia defectuum aliorum.*

1. QVæ homo in ſe, vel in alijs emendare non valet, debet patienter ſuſtinere, donec Devs aliter ordinet. Cogita, quia ſic fortè meliùs eſt, pro tua probatione & patientia, ſinè qua non ſunt multùm ponderanda merita noſtra. Debes tamen, pro talibus impedimentis ſupplicare: vt Devs tibi dignetur ſubuenire, & poſſis benignè portare.

2. Si quis ſemel aut bis admonitus; non acquieſcit, noli cum eo contendere; ſed totum Deo committe, vt fiat voluntas eius, & honor, in omnibus ſeruis ſuis, qui ſcit bene mala in bonum conuertere. Stude patiens eſſe in tolerando aliorum defectus, & qualescunque infirmitates: quia & tu multa habes, quæ ab alijs oportet tolerari. Si non potes te talem facere, qualem vis; quomodo poteris alium ad tuum habere beneplacitum? Libenter habemus alios perfectos, & tamen proprios non emendamus defectus.

3. Volu-

γ'. Ο τὴν ἀληθῆ καὶ τελείαν ἀγάπην ἔχων, ἐν μηδενὶ πράγματι ἑαυτὸν ζητεῖ, ἀλλὰ μόνον τὴν τοῦ θεοῦ δόξαν ἐν ἅπασι γίνεσθαι ἐπιθυμεῖ. Ἔτι δὲ μηδενὶ φθονεῖ, ὅτι μηδεμίαν χαρὰν ἰδίαν φιλεῖ, μηδ᾽ ἐν αὑτῷ χαίρειν ἐθέλει, ἀλλ᾽ ἐν τῷ θεῷ ὑπὲρ πάντα ἀγαθὰ μακαρισθῆναι εὔχεται. Μηδενὶ ἀγαθόν τι ἀνατίθησι, πάντων αἰτίαν εἰς τὸν θεὸν ἀναφέρων, ἀφ᾽ οὗ, ὥσπερ ἐκ πηγῆς, πάντα ἔξεισιν, ἐν ᾧ πάντες οἱ ἅγιοι τέλος δὲ ἀπολαυστικῶς ἀναπαύονται. Εἴθε τις εἶχε τῆς ἀληθοῦς ἀγάπης σπινθῆρα, ὄντως ἂν πάντα τὰ τῆς γῆς, πλήρη ματαιότητος ἐγίνωσκε.

## Κεφ. ιϛ'.

### Περὶ τῆς ὑπομονῆς ἐλλειμμάτων τῶν ἄλλων.

α'. Ἅπερ ὁ ἄνθρωπος ἐν αὑτῷ, ἢ ἐν τοῖς ἄλλοις κατορθῶσαι οὐ δύναται, ὀφείλει καρτερεῖν, ἕως ἂν ὁ θεὸς ἄλλως διατάξῃ. Ἐννόει τοῦτο ὧδε ἴσως εἰς τὴν δοκιμασίαν καὶ τὴν ὑπομονήν σου βέλτιον εἶναι, ἄνευ ἧς αἱ ἀξίαι ἡμῶν οὐ πάνυ τίμιαί εἰσιν. Ἀλλ᾽ ὅμως δεῖ σε οὕτως ἐμποδισθέντα ἱκετεύειν, ὅπως ὁ θεὸς ἀξιώσῃ βοηθεῖν σοι, καὶ δυνηθῇς ταῦτα ἀνεξικάκως φέρειν.

β'. Εἴ τις ἅπαξ ἢ δὶς παραινεθεὶς ἀπειθεῖ, μὴ ἔριζε πρὸς αὐτόν, ἀλλ᾽ ὅλον τῷ θεῷ ἐπίτρεπε, τοῦ γίνεσθαι τὸ θέλημα καὶ τιμὴν αὐτοῦ ἐν ἅπασι δούλοις αὐτοῦ, ὃς ἀκριβῶς τὰ κακὰ εἰς καλὸν μεταστρέφειν ἐπίσταται. Σπούδαζε μακροθυμεῖν ἐν τῷ ἐλλείμματα καὶ ὁποσασοῦν ἀσθενείας τῶν ἄλλων ὑπομεῖναι, ὅτι καὶ σὺ πολλὰ ἔχεις, ἅπερ χρὴ τοὺς ἄλλους ἀνέχεσθαι. Εἰ μὴ οἷός τ᾽ εἶ τοιοῦτον καταστῆσαι σεαυτόν, ὁποῖον βούλῃ, πῶς ἂν τὸν ἄλλον ἀρεστόν σοι ἔχειν δυνηθῇς; Ἡδέως τοὺς ἄλλους τελείους ἔχομεν, ἀλλ᾽ ὅμως τὰ ἴδια σφάλματα οὐ κατορθοῦμεν.

γ'. Τοὺς

3. Volumus, quòd alij ſtrictè corrigantur, & ipſi corrigi nolumus. Diſplicet larga aliorum licentia, & tamen nobis nolumus negari, quod petimus. Alios reſtringi per ſtatuta volumus, & ipſi nullatenùs patimur ampliùs cohiberi. Sic ergo patet, quàm rarò proximum, ſicut noſipſos penſamus. Si eſſent omnes perfecti, quid tunc haberemus ab alijs pro Deo pati?

4. Nunc autem Deus ſic ordinauit, vt diſcamus alter alterius onera portare: quia nemo ſine defectu, nemo ſine onere, nemo ſibi ſufficiens, nemo ſibi ſatis ſapiens: ſed oportet nos inuicem portare, inuicem conſolari, pariter adiuuare, inſtruere, & admonere. Quantæ autem virtutis quisque fuerit, meliùs patet occaſione aduerſitatis. Occaſiones namque hominem fragilem non faciunt, ſed qualis ſit, oſtendunt.

## CAP. XVII.

### *De monaſtica vita.*

1. OPortet, vt diſcas teipſum in multis frangere, ſi vis pacem & concordiam cum alijs tenere. Non eſt paruum in monaſterijs, vel in congregatione habitare, & inibi ſine querela conuerſari, & vſque ad mortem fidelis perſeuerare. Beatus, qui ibidem bene vixit, & feliciter conſummauit. Si vis debitè ſtare & proficere, teneas te tanquam exulem peregrinum ſuper terram. Oportet te ſtultum fieri propter Chriſtum, ſi vis religioſam ducere vitam.

2. Habitus & tonſura, modicum conferunt: ſed mutatio

γ΄. Τοὺς ἄλλους ἀκριβῶς ἐπιτιμᾶσθαι ἐθέλομεν, ἡμεῖς δ' ἐπιτιμώμενοι οὐκ ἀνεχόμεθα. πολλὴ προνομία τῶν ἄλλων ἡμῖν ἀπαρέσκει· ἡμεῖς δὲ πάντων τῶν αἰτηθέντων ἐπιτυχεῖν βουλόμεθα. Τοὺς ἄλλους τοῖς νόμοις διασφίγγεσθαι ποθοῦμεν, αὐτοὶ δὲ τὴν ἐπίσχεσιν οὐκ ἔτι πως ὑπομένοντες. οὕτω δῆλόν ἐστιν, ὡς σπανίως τὸν πλησίον, καθάπερ ἡμᾶς, τιμῶμεν. Εἰ πάντες τέλειοι ἦσαν, τί ποτ' ἂν διὰ τὸν θεὸν ὑπ' ἄλλων παθεῖν εἴχομεν;

δ΄. Νῦν δ' ὁ θεὸς τοῦτον τρόπον διέταξεν, ἵν' ἀλλήλων τὰ βάρη βαστάζειν μανθάνωμεν, ὅτι οὐδεὶς ἀνελλιπής, οὐδεὶς ἄφορτος, οὐδεὶς αὐτάρκης αὑτῷ, οὐδεὶς ἱκανῶς αὑτῷ φρόνιμός ἐστιν· ἀλλὰ δεῖ ἡμᾶς ἀλλήλους βαστάζειν, ἀλλήλους παρακαλεῖν, ἀλλήλοις βοηθεῖν, παιδεύειν, καὶ παραινεῖν. Ὁπόσος δ' ἂν τὴν ἀρετὴν ᾖ ἕκαστος, τῷ τῆς συμφορᾶς χρόνῳ μᾶλλον δηλοῦται. Αἱ γὰρ ἀφορμαὶ τὸν μὲν ἄνθρωπον οὐκ ἀπεργάζονται ἀσθενῆ, ὁποῖος δ' ἂν ᾖ, φανεροῦσι.

## Κεφ. ιζ΄.

### Περὶ τοῦ μοναστικοῦ βίου.

α΄. ΑΝαγκαῖόν ἐστι μανθάνειν σε ἐν πολλοῖς σεαυτὸν καταγνύναι, ἐὰν θέλῃς τὴν εἰρήνην καὶ ὁμόνοιαν μετ' ἄλλων τηρῆσαι. οὐ μικρόν ἐστιν ἐν μοναστηρίοις, ἢ ἐν συλλόγῳ οἰκεῖν, καὶ ἐκεῖ ἄμεμπτον διάγειν, καὶ ἕως τῆς τελευτῆς πιστὸν διαμένειν. μακάριος ὁ ἐκεῖ καλῶς βεβιωκώς, καὶ εὖ τελευτήσας. Εἰ θέλεις καλῶς ἑστάναι καὶ προκόπτειν, σεαυτὸν ὡς φυγάδα καὶ παρεπίδημον πάρεχε ἐπὶ τῆς γῆς. Χρὴ μωρόν σε διὰ χριστὸν γενέσθαι, εἰ θεοσεβῆ βίον διάγειν βούλῃ.

β΄. Τὸ μὲν σχῆμα καὶ ἡ κουρὰ μικρὸν συμφέρει, ἡ δὲ



Digitized by Google

mutatio morum, & integra mortificatio paſſionum, verum faciunt religioſum. Qui aliud quærit quàm purè Deum, & animæ ſuæ ſalutem, non inueniet niſi tribulationem & dolorem. Non poteſt etiam diu ſtare pacificus, qui non nititur eſſe minimus, & omnibus ſubiectus.

3. Ad ſeruiendum veniſti, non ad regendum: ad patiendum & laborandum, ſcias te vocatum, non ad otiandum vel fabulandum. Hic ergo probantur homines, ſicut aurum in fornace. Hic nemo poteſt ſtare, niſi ex toto corde ſe voluerit propter Deum humiliare.

## CAP. XVIII.

### *De exemplis ſanctorum patrum.*

1. INtuere ſanctorum patrum viuida exempla, in quibus vera perfectio refulſit & religio: & videbis, quàm modicum ſit, & penè nihil, quod nos agimus: Heu, quid eſt vita noſtra, ſi illis fuerit comparata? Sancti & amici Chriſti, Domino ſeruierunt in fame & ſiti, in frigore & nuditate, in labore & fatigatione, in vigilijs & ieiunijs, in orationibus & meditationibus ſanctis, in perſequutionibus & opprobrijs multis.

2. O quàm multas & graues tribulationes paſſi ſunt Apoſtoli, Martyres, Confeſſores, Virgines, & reliqui omnes, qui Chriſti veſtigia voluerunt ſequi? Nam animas ſuas in hoc mundo oderunt, ut in æternam vitam eas poſſiderent. O quàm ſtrictam & abdicatam vitam, ſancti Patres in eremo duxerunt? quàm longas & gra-

Digitized by Google

τῶν ἠθῶν μεταβολὴ, ϗ ὅλη νέκρωσις τῶν παθῶν, ἀληθῆ ἄσκησιν ἀπεργάζεται. Ὁ ἄλλο τι ἢ εἰλικρινῶς τὸν θεὸν, ϗ τὴν τῆς ψυχῆς αὐτοῦ σωτηρίαν ζητῶν, οὐχ εὑρήσει, εἰ μὴ θλίψιν ϗ ὀδύνην· ϗ οὐ δύναται πολὺν χρόνον εἰρηνεύειν, ὁ μὴ σπουδάζων εἶναι ἐλάχιστος, ϗ πᾶσιν ὑποταχθείς.

γ'. Τοῦ διακονεῖν ἦλθες, οὐ τοῦ ἐπιστατῆσαι· γίνωσκε, ὅτι εἰς τὸ πάσχειν ϗ πονεῖν, ἀλλ' οὐκ εἰς ἀργεῖν ϗ μυθεύεσθαι ἐκλήθης. Ἐνθάδε οὖν οἱ ἄνθρωποι, ὡς χρυσὸς ἐν χωνευτηρίῳ, δοκιμάζονται. Ἐνθάδε οὐδεὶς οἷός τ' ἐστι διαμεῖναι, πλὴν ὁ ἐξ ὅλης καρδίας ἑαυτὸν διὰ τὸν θεὸν ταπεινῶσαι βουλόμενος.

## Κεφ. ιη'.

### Περὶ τῶν παραδειγμάτων τῶν ἁγίων πατέρων.

α'. Εἰς τὰ τῶν ἁγίων πατέρων παραδείγματα ζῶα ἀπόβλεψον, ἐν οἷς ἡ ἀληθὴς τελειότης ϗ θεοσέβεια ἔλαμψε, ϗ γνώσῃ, ὡς μικρὸν ϗ σχεδὸν οὐδὲν, ὃ ἡμεῖς πράττομεν. φεῦ, τί ἐστιν ὁ βίος ἡμῶν πρὸς αὐτοὺς παραβληθείς; Οἱ ἅγιοι ϗ φιλόχριστοι τῷ κυρίῳ ἐν λιμῷ ϗ δίψει, ἐν ψύχει ϗ γυμνότητι, ἐν κόπῳ ϗ μόχθῳ, ἐν ἀγρυπνίαις ϗ νηστείαις, ἐν προσευχαῖς ϗ ἁγίαις μελέταις, ἐν διωγμοῖς ϗ ὀνείδεσι πολλοῖς ἐδούλευσαν.

β'. Ὡς πολλὰς ϗ δεινὰς θλίψεις ἔπαθον οἱ Ἀπόστολοι, οἱ μάρτυρες, οἱ ὁμολογηταὶ, αἱ παρθένοι, ϗ ἄλλοι πάντες, οἱ τοῖς τοῦ Χριστοῦ ἴχνεσιν ἀκολουθῆσαι ἠθέλησαν; τὰς γὰρ ψυχὰς αὐτῶν ἐν τῷδε τῷ κόσμῳ ἐμίσησαν, ἵνα αὐτὰς ἐν τῇ ζωῇ αἰωνίῳ κτήσασθαι. ὡς αὐστηρὸν ϗ ἐνδεῆ βίον ἐν τῇ ἐρήμῳ οἱ ἅγιοι πατέρες διῆγον; ὡς

& graues tentationes pertulerunt? quàm frequenter ab inimico vexati ſunt? quàm crebras & feruidas orationes Deo obtulerunt? quàm rigidas abſtinentias quotidie peregerunt? Quàm magnum zelum & feruorem ad ſpiritualem profectum habuerunt? Quàm forte bellum, aduerſus edomationem vitiorum geſſerunt? Quàm puram & rectam intentionem ad Deum tenuerunt? Per diem laborabant, & noctibus orationi diutinæ vacabant: quanquam laborando, ab oratione mentali, minimè ceſſarent.

3. Omne tempus vtiliter expendebant; omnis hora ad vacandum Deo breuis videbatur: & præ magna dulcedine contemplationis, etiam obliuioni tradebatur, neceſſitas corporalis refectionis. Omnibus diuitijs, dignitatibus, honoribus, amicis & cognatis, renunciabant: nil de mundo habere cupiebant, vix neceſſaria vitæ ſumebant: corpori ſeruire, etiam in neceſſitate dolebant. Pauperes igitur erant rebus terrenis, ſed diuites valde in gratia & virtutibus. Foris egebant, ſed intùs gratia & conſolatione diuina reficiebantur.

4. Mundo erant alieni, ſed Deo proximi ac familiares amici. Sibiipſis videbantur tanquam nihili, & huic mundo deſpecti: ſed erant in oculis Dei pretioſi & dilecti. In vera humilitate ſtabant, in ſimplici obedientia viuebant, in charitate & patientia ambulabant: & ideo quotidie in ſpiritu proficiebant, & magnam apud Deum gratiam obtinebant. Dati ſunt in exemplum omnibus religioſis: & plus prouocare nos debent ad bene proficiendum,

πολυχρονίους ϗ χαλεποὺς πειρασμοὺς ὑπέμεινον; ὡς συχνῶς ὑπὸ τοῦ ἐχθροῦ ἐκακώθησαν; ὡς συχνὰς ϗ ζεστὰς δεήσεις τῷ θεῷ προσήνεγκον; ὡς δεινὰς ἐγκρατείας καθ᾽ ἑκάστην συνετέλεσαν; ὡς μέγαν ζῆλον ϗ ζέσιν τῆς πνευματικῆς προκοπῆς εἶχον; ὡς βαρὺν πόλεμον τοῦ νικᾷν τὰς κακίας ἐποίησαν; ὡς καθαρὰν ϗ ὀρθὴν προαίρεσιν πρὸς τὸν θεὸν ἐτήρησαν; μεθ᾽ ἡμέραν ἐπόνουν, τὴν δὲ νύκτα ταῖς προσευχαῖς διηνεκέσιν ἐσχόλασαν, καίπερ ἐν τῷ πονεῖν, τῆς εὐχῆς τῆς νοερᾶς μηδαμῶς ἀναπαυόμενοι.

γʹ. Πάντα χρόνον χρησίμως διέτριβον, πᾶσα ἡ ὥρα εἰς τὸ τῷ θεῷ σχολάζειν βραχεῖα ἐδόκει, ϗ ὑπὸ μεγέθους ἡδύτητος τῆς θεωρίας, ϗ τῆς ἀναγκαίας βρώσεως τῆς σωματικῆς ἐπελανθάνοντο· παντὶ πλούτῳ, ἀξίαις, τιμαῖς, φίλοις ϗ συγγενέσιν ἀπετάσσοντο, ϗ μηδὲν τῶν τοῦ κόσμου ἔχειν ἤθελον, μόλις τὰ τοῦ βίου ἀναγκαῖα λαβόντες· ἐπὶ τῷ δουλεύειν τῷ σώματι ϗ ἀναγκασθέντες ἤχθοντο· πτωχοὶ μὲν οὖν τῷ πνεύματι, τῇ δὲ χάριτι ϗ ταῖς ἀρεταῖς πολὺ πλούσιοι ἐγίνοντο. ἔξω ἄποροι, ἔσω δὲ χάριτι ϗ παρακλήσει τοῦ θεοῦ ἀνεπαύοντο.

δʹ. Τοῦ κόσμου ἀλλότριοι, ἀλλὰ τῷ θεῷ ἐγγύτατοι ϗ οἰκεῖοι ἦσαν. ἑαυτοῖς μὲν οὐδὲν εἶναι ϗ τῷ κόσμῳ καταφρόνητοι ἐδόκουν, ἐνώπιον δὲ τοῦ θεοῦ τίμιοι ϗ ἀγαπητοὶ ἐγίνοντο. Ἐν ἀληθεῖ ταπεινότητι διῆγον, ἐν ἁπλῇ ὑπακοῇ ἔζων, ἐν ἀγάπῃ ϗ ὑπομονῇ περιεπάτουν, ϗ διὰ ταῦτα καθ᾽ ἑκάστην ἐν πνεύματι προέκοπτον, ϗ παρὰ τῷ θεῷ τῆς μεγάλης χάριτος ἐπετύγχανον. Εἰς παράδειγμα πᾶσιν ἀσκηταῖς ἐδόθησαν, ϗ διὰ τούτους μᾶλλον δεῖ ἡμᾶς παροξύνεσθαι ἐπὶ τὸ καλῶς

dum, quàm tepidorum numerus ad relaxandum.

5. O quantus feruor omnium religioſorum, in principio ſuæ ſanctæ inſtitutionis fuit? O quanta deuotio orationis? quanta æmulatio virtutis? quàm magna diſciplina viguit? quanta reuerentia & obedientia, ſub regula magiſtri, in omnibus effloruit? Teſtantur adhuc veſtigia derelicta, quòd verè viri ſancti & perfecti fuerunt: qui tam ſtrenuè militantes, mundum ſuppeditauerunt. Iam magnus putatur, ſi quis tranſgreſſor non fuerit: ſi quis, quod accepit, cum patientia tolerare potuerit.

6. O tepor & negligentia ſtatus noſtri, quòd tam citò declinamus à priſtino feruore: & iam tædet viuere, præ laſſitudine & tepore. Vtinam in te penitus non dormiret profectus virtutum, qui multa ſæpiùs exempla vidiſti deuotorum.

## CAP. XIX.

### *De exercitiis boni Religioſi.*

1. Vita boni religioſi, omnibus virtutibus pollere debet: vt ſit talis interiùs, qualis videtur hominibus exteriùs. Et meritò multò plus debet eſſe intus, quàm quod cernitur foris: quia inſpector noſter eſt Deus, quem ſummoperè reuereri debemus, vbicunque fuerimus, & tanquam angeli in conſpectu eius mundi incedere. Omni die, renouare debemus propoſitum noſtrũ, & ad feruorem nos excitare; quaſi hodie primùm ad conuerſionem veniſſemus, atque dicere: Adiuua me Domine Deus, in bono propoſito, & ſancto ſeruitio tuo: & da mihi nunc hodie perfectè incipere, quia nihil eſt, quod hactenus feci.

2. Secun-

ἐπιδοῦναι, ἢ διὰ τὸν ἀριθμὸν τῶν χλιαρῶν ἐπὶ τὸ χαλᾶν.

ε΄. Ὦ πόση ζέσις πάντων ἀσκητῶν ἐν τῇ ἀρχῇ τοῦ ἁγίου ἐπιτηδεύματος αὐτῶν γέγονεν; ὢ πόση εὐσέβεια τῆς προσευχῆς; πόσος ζῆλος τῶν ἀρετῶν; πόση παίδευσις ἤκμασε; πόση αἴδεσις καὶ ὑπακοὴ ὑπὸ κανόνι τοῦ διδασκάλου ἐν πᾶσιν ἐπήνθησεν; ἔτι καὶ νῦν τὰ ἴχνη καταλειφθέντα μαρτυρεῖ, ὡς ἄνδρες ἅγιοι καὶ τέλειοι ἐγένοντο, οἵτινες οὕτω γενναίως πολεμήσαντες τὸν κόσμον ὑφ᾽ ἑαυτοὺς ἐποιήσαντο. ἐν δὲ τῷ παρόντι μέγας νομίζεται, εἴτις τοὺς νόμους οὐ παραβαίνει· εἴ τις, ὅπερ ἔλαβε, ὑπομονητικῶς βαστάζειν δύναται.

ς΄. Ὦ τῆς χλιαρότητος καὶ ῥᾳθυμίας τῆς καταστάσεως ἡμῶν, ἀνθ᾽ ὧν οὕτω ταχέως ἀπὸ παλαιᾶς ζέσεως ἐκκλίνομεν· καὶ νῦν ὑπὸ κόπου καὶ χλιαρότητος, τὸ ζῆν φορτικὸν ἡγούμεθα. Εἴθε ἡ τῶν ἀρετῶν ἐπίδοσις ἐν σοὶ οὐ παντελῶς ἐκάθευδεν, ὃς πολλὰ τῶν εὐσεβῶν παραδείγματα πλεονάκις ἔβλεψας.

## Κεφ. ιθ΄.

### Περὶ τῶν γυμνασμάτων τοῦ ἀγαθοῦ ἀσκητοῦ.

α΄. ΤΟν βίον τοῦ καλοῦ ἀσκητοῦ δεῖ πάσαις ἀρεταῖς λαμπρύνεσθαι, ὡς εἴσω τοιοῦτον εἶναι, οἷος ἔξω τοῖς ἀνθρώποις φαίνεται. Καὶ εἰκότως εἴσω πλέον τοῦ ἔξω φαινομένου εἶναι προσήκει, ὅτι ἐπόπτης ἡμῶν Θεός ἐστιν, ὃν χρὴ ἡμᾶς, ὅπου ἂν ὦμεν, ὡς μάλιστα σέβεσθαι, καὶ τῶν ἀγγέλων καθαρῶν δίκην, ἐνώπιον αὐτοῦ περιπατεῖν. Καθ᾽ ἑκάστην τὴν προαίρεσιν ἡμῶν ἀνανεοῦν ὀφείλομεν, καὶ ἡμᾶς ὡς σήμερον πρῶτον ἐπιστραφέντας, πρὸς τὴν ζέσιν παροξύνειν, καὶ λέγειν· Βοήθει μοι κύριε θεέ, ἐν τῇ καλῇ προαιρέσει, καὶ τῇ ἁγίᾳ δουλείᾳ σου, καὶ παράσχου μοι νυνὶ σήμερον τελείως ἄρξασθαι, ὅτι τὸ πραχθέν μοι μέχρι τοῦδε, μηδέν ἐστι.

2. Secundum propoſitum noſtrum, curſus profectus noſtri: & multa diligentia opus eſt, bene proficere volenti. Quod ſi fortiter proponens, ſæpe deficit: quid ille, qui rarò aut minùs fixè, aliquid proponit? Variis tamen modis contingit, deſertio propoſiti noſtri: & leuis omiſſio exercitiorum, vix ſine aliquo diſpendio tranſit. Iuſtorum propoſitum, in gratia Dei potiùs, quàm in propria ſapientia pendet: in quo & ſemper confidunt, quicquid arripiunt. Nam homo proponit, ſed Deus diſponit, nec eſt in homine via eius.

3. Si pietatis cauſa, aut fraternæ vtilitatis propoſito, quandoque conſuetum omittitur exercitium, facilè poſtea poterit recuperari. Si autem tædio animi aut negligentia, faciliter relinquitur, ſatis culpabile eſt, & nociuum ſentietur. Conemur quantùm poſſumus, adhuc leuiter deficiemus in multis. Semper tamen aliquid certi proponendum eſt, & contra illa præcipuè, quæ ampliùs nos impediunt. Exteriora noſtra & interiora pariter, nobis ſcrutanda ſunt & ordinanda, quia vtraque expediunt ad profectum.

4. Si non continuè te vales colligere, ſaltem interdum: & ad minus ſemel in die, manè videlicet, aut veſperè. Manè propone, veſperè diſcute mores tuos; qualis hodie fuiſti in verbo, opere & cogitatione: quia in his ſæpiùs forſitan offendiſti Deum & proximum. Accinge te ſicut vir, contra diabolicas nequitias: frena gulam,

β'. Κατὰ τὴν προαίρεσιν ἡμῶν ὁ δρόμος τῆς ἐπιδόσεως ἡμῶν ὑπάρχει, καὶ πολλὴ ἐπιμέλεια ἀναγκαία ἐστὶ τῷ καλῶς ἐπιδοῦναι ἐθέλοντι. Εἰ ὁ βέβαιος τε προαιρούμενος, πολλάκις ἐπιλείπει, τί δεῖ ὁ σπανίως ἢ ἧττον στερεῶς προαιρούμενος ποιήσῃ; Ἀλλὰ μὴν ἡ τῆς προαιρέσεως ἡμῶν ἀπόλειψις πολυτρόπως συμβαίνει, καὶ ἡ κούφη παράλειψις τῶν ἀσκήσεων μόλις ἀβλαβῶς γίνεσθαι εἴωθεν. Ἡ τῶν δικαίων προαίρεσις ἐν τῇ τοῦ θεοῦ χάριτι μᾶλλον, ἢ ἐν τῇ ἰδίᾳ σοφίᾳ κρέμαται, ἐν ᾧ ἀεὶ πεποίθασιν, ὅ,τι ἂν ἄρξωνται. Ὁ γὰρ ἄνθρωπος προτίθεται, ὁ δὲ θεὸς διατίθεται, καὶ οὐκ ἐν ἀνθρώπῳ ἐστὶν ὁ βίος αὐτοῦ.

γ'. Ἐὰν δι' εὐσπλαγχνίαν, ἢ δι' ὠφέλειαν τοῦ ἀδελφοῦ τὸ εἰθισμένον ἄσκημά ποτε παραλείπηται, ῥᾳδίως ὕστερον πάλιν ἀναλαμβάνεσθαι δυνήσεται· εἰ δὲ δι' ἀηδίαν, ἢ ἀμέλειαν τῆς ψυχῆς ῥᾳδίως ἀφίεται, ἐπιμεμπτόν ἔσται, καὶ βλαβερὸν γνωρισθήσεται. σπουδάζωμεν, καθόσον δυνάμεθα, ἔτι ἐν πολλοῖς ῥᾳδίως ἀπολείψομεν. ἀλλ' ὅμως ἀεὶ χρὴ βέβαιόν τι προθεῖναι, μάλιστα δὲ κατὰ τῶν ἡμᾶς ἐπὶ πλεῖον ἐμποδιζόντων. τὰ ἔξω, καὶ εἴσω ἡμῶν ἅμα ἐξετάζειν καὶ διατάττειν ἐπάναγκες ἡμῖν ἐστιν, ὅτι ἀμφότερον τῇ προκοπῇ συμφέρει.

δ'. Εἰ συνεχῶς συλλέγειν σε οὐχ οἷός τ' εἶ, ἐνίοτε γοῦν, καὶ τοὐλάχιστον ἅπαξ καθ' ἡμέραν, πρωῒ δήπου καὶ ἑσπέρας. Πρωῒ πρόθες, ἑσπέρας δὲ τὰ ἤθη σου ἐξέτασον, ὁποῖος ἂν σήμερον γένῃ τῷ λόγῳ, τῷ ἔργῳ, καὶ τῇ διανοίᾳ, ὅτι τούτοις ἴσως τῷ θεῷ, καὶ τῷ πλησίον προσέκρουσας. Ζῶσαι, ὥσπερ ἀνὴρ, τὴν ὀσφύν σου, κατὰ τῶν τοῦ διαβόλου πονηριῶν· χαλιναγώγει τὴν

gulam, & omnem carnis inclinationem, facilius frenabis. Nunquam ſis ex toto otioſus: ſed aut legens, aut ſcribens, aut orans, aut meditans, aut aliquid utilitatis pro communi laborans. Corporalia tamen exercitia, diſcretè ſunt agenda, nec omnibus æqualiter aſſumenda.

5. Quæ communia non ſunt, non ſunt foris oſtendenda: nam in ſecreto, tutiùs exercentur priuata. Cauendum tamen, ne piger ſis ad communia, & ad ſingularia promptior: ſed expletis integrè & fideliter debitis & iniunctis, ſi iam vltra vacat, redde te tibi, prout deuotio tua deſiderat. Non poſſunt omnes habere vnum exercitium: ſed aliud iſti, aliud illi, magis deſeruit. Etiam pro temporis congruentia, diuerſa placent exercitia: quia alia in feſtis, alia in feriatis, magis ſapiunt diebus. Alijs indigemus tempore tentationis, & alijs tempore pacis, & quietis. Alia, quum triſtamur, libet cogitare: & alia, quum læti in Domino fuerimus.

6. Circa principalia feſta, renouanda ſunt bona exercitia: & ſanctorum ſuffragia feruentiùs imploranda. De feſto in feſtum proponere debemus, quaſi tunc de hoc ſeculo migraturi, & ad æternum feſtum peruenturi. Ideoque ſollicitè nos præparare debemus in deuotis temporibus, & deuotiùs conſeruari, atque omnem obſeruantiam ſtrictiùs cuſtodire, tanquam in breui præmium laboris noſtri à Deo percepturi.

7. Et ſi dilatum fuerit, credamus nos minùs benè præparatos, atque indignos tantæ adhuc gloriæ,

γαστριμαργίαν, καὶ πᾶσαν τὴν προπέτειαν τῆς σαρκὸς ῥᾷον χαλιναγωγήσεις. Μηδέποτε ἄργει παντελῶς, ἀλλ' ἢ ἀναγίνωσκε, ἢ γράφε, ἢ προσεύχου, ἢ μελέτα, ἢ ἄλλο τι χρήσιμον ὑπὲρ τοῦ κοινοῦ ἐργάζου. Ἀλλὰ μὴν τοῖς τοῦ σώματος ἀσκήμασιν οὐ δεῖ ἀκρίτως προσφέρεσθαι, ἢ πάντας αὐτὰ ἐξ ἴσου παραλαμβάνειν.

ε. Τὰ οὐ κοινὰ ὄντα οὐκ ἔξω ἀποδεικτέον, ὅτι τὰ ἴδια ἐν κρυπτῷ ἀσφαλέστερον ἀσκεῖται· εὐλαβοῦ δὲ πρὸς τὰ κοινὰ ῥᾳθυμεῖν, καὶ πρὸς τὰ ἴδια προχείρως ἔχειν· ἀλλὰ τὰ ὀφειλόμενα καὶ ἐπιταχθέντα τελείως καὶ πιστῶς περαίνας, εἰ ἔτι σοι σχολὴ ὑπάρχει, γίνου σεαυτοῦ, καθάπερ ἡ εὐσέβειά σου ποθεῖ. οὐ δύνανται πάντες τῇ αὐτῇ ἀσκήσει χρῆσθαι, ἀλλὰ τῷ μὲν αὕτη, τῷ δ' ἄλλη ἁρμόττει. Προσέτι κατὰ τὸν τοῦ χρόνου λόγον διάφοροι ἀσκήσεις ἀρέσκουσιν, ὅτι αἱ μὲν ἐν ταῖς ἑορτασίμοις, αἱ δ' ἐν ταῖς ἐργασίμοις ἡμέραις ἐπιτερπεῖς εἰσιν. Ἄλλων ἐν καιρῷ πειρασμοῦ, ἄλλων ἐν καιρῷ εἰρήνης καὶ ἡσυχίας δεόμεθα. Ἄλλα τοῖς λυπουμένοις, ἄλλα τοῖς ἐν κυρίῳ χαίρουσι, διανοῆσαι φίλον ἐστί.

ϛ'. Περὶ τὰς μεγάλας ἑορτὰς χρὴ τὰ καλὰ ἀσκήματα ἀνανεοῦσθαι, καὶ τὰς τῶν ἁγίων ἐντεύξεις ἀκριβέστερον ἐπικαλεῖσθαι. ἐξ ἑορτῆς εἰς ἑορτὴν προσελέσθαι ὀφείλομεν, ὡς τότε ἐκ τούτου αἰῶνος ἀποικήσοντες, καὶ εἰς τὴν ἑορτὴν τὴν αἰώνιον ἀφιξόμενοι. Καὶ διὰ ταῦτα ἐπὶ τῶν χρόνων εὐσεβέων ὀφείλομεν ἡμᾶς ἐπιμελῶς ἑτοιμάζειν, καὶ εὐλαβέστερον διάγειν, καὶ πάντας κανόνας σπουδαιότερον διατηρεῖν, ὡς ἐν βραχεῖ τὸ ἆθλον τοῦ πόνου ἡμῶν παρὰ τοῦ θεοῦ ληψόμενοι.

ζ. Καὶ ἐὰν ἀναβληθῇ, νομίζωμεν ἡμᾶς ἧττον καλῶς ἑτοιμασθῆναι, καὶ ἀναξίους τοσαύτης δόξης ἔτι γε-

gloriæ, quæ reuelabitur in nobis tempore præfinito: & ſtudeamus nos meliùs ad exitum præparare. Beatus ſeruus (ait Euangeliſta Lucas) quem cùm venerit Dominus, inuenerit vigilantem. Amen dico vobis, ſuper omnia bona ſua conſtituet eum.

## CAP. XX.

### *De amore ſolitudinis, & ſilentij.*

1. QVære aptum tempus vacandi tibi: & de beneficijs Dei frequenter cogita. Relinque curioſa. Tales perlege materias, quæ compunctionem magis præſtant, quàm occupationem. Si te ſubtraxeris à ſuperfluis loquutionibus & ocioſis circuitionibus, nec non à nouitatibus & rumoribus audiendis; inuenies tempus ſufficiens & aptum, pro bonis meditationibus inſiſtendis. Maximi ſanctorum humana conſortia, vbi poterant, vitabant, & Deo in ſecreto viuere eligebant.

2. Dixit quidam: Quoties inter homines fui, minor homo redij: Hoc ſæpiùs experimur, quando diu confabulamur. Faciliùs eſt omninò tacere, quàm verbo non excedere. Faciliùs eſt domi latere, quàm foris ſe poſſe ſufficienter cuſtodire. Qui igitur intendit ad interiora & ſpiritualia peruenire, oportet eum cum IESV à turba declinare. Nemo securè apparet, niſi qui libenter latet. Nemo ſecurè loquitur, niſi qui libenter tacet. Nemo ſecurè præeſt, niſi qui libenter ſubeſt. Nemo ſecurè præcipit, niſi qui bene obedire didicit.

3. Nemo

νέσθαι, ἢ ἐν ἡμῖν τῷ καιρῷ ὡρισμένῳ ἀποκαλυφθήσεται· καὶ σπουδάζωμεν ἡμᾶς βέλτιον ἐπὶ τὴν τελευτὴν παρασκευάσασθαι. Μακάριος ὁ δοῦλος (λέγει ὁ εὐαγγελιστὴς Λουκᾶς) ὃν ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντα. Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.

## Κεφ. κ'.

### Περὶ τοῦ φιλεῖν τὴν ἔρημον καὶ τὴν σιγήν.

α'. Ζήτει καιρὸν εὔκαιρον τοῦ σχολάζειν σεαυτῷ, καὶ τὰ τοῦ θεοῦ εὐεργετήματα συχνάκις ἐνθυμοῦ. ἄφες τὰ περίεργα· τοιαύτας ὑποθέσεις ἀνάγνωθι, αἳ μᾶλλον τὴν συνύνυξιν, ἢ τὴν ἀσχολίαν παρέχουσιν. Ἐν τῷ ὑπεξάγειν σεαυτὸν τῶν περισσῶν συνομιλιῶν, καὶ ἀργῶν περιδρομῶν, ἔτι δὲ καὶ τοῦ ἀκοῦσαι τὰς καινότητας καὶ φήμας, εὑρήσεις διαρκῆ καὶ ἐπιτήδειον χρόνον τοῦ σχολάζειν ταῖς ἀγαθαῖς μελέταις. Οἱ τῶν ἁγίων μέγιστοι, ὁπότε ἠδυνήθησαν, τὰς πρὸς ἀνθρώπους συνουσίας ἔφυγον, καὶ ἐν κρυπτῷ ζῆσαι τῷ θεῷ προείλοντο.

β'. Ἔφη τις· ὁποσάκις οὖν τοῖς ἀνθρώποις παρεγενόμην, ἐλάττων ἄνθρωπος ἀνεχώρησα· τοῦτο πολλάκις, πολὺν χρόνον συνομιλήσαντες, πεῖραν λαμβάνομεν. Ῥᾷόν ἐστι πάντως σιωπᾶν, ἢ ἐν λόγῳ οὐ πταίειν. Ῥᾷον οἴκοι κατακρύπτεσθαι, ἢ ἔξω ἑαυτὸν ἀρκούντως διαφυλάττειν. τὸν οὖν εἰς τὰ εἴσω καὶ πνευματικὰ ἀφικέσθαι ἐπιχειροῦντα, δεῖ μετὰ τοῦ Ἰησοῦ ἐκνεῦσαι ὄχλου. οὐδεὶς ἀσφαλῶς φαίνεται, εἰ μὴ ὁ ἀσμένως λανθάνων. οὐδεὶς ἀσφαλῶς λαλεῖ, εἰ μὴ ὁ ἀσμένως σιγῶν. οὐδεὶς ἀσφαλῶς ἄρχει, εἰ μὴ ὁ ἀσμένως ἀρχόμενος. οὐδεὶς ἀσφαλῶς προστάττει, εἰ μὴ ὁ πειθαρχεῖν καλῶς καταμαθών.



Digitized by Google

3. Nemo ſecurè gaudet, niſi bonæ conſcientiæ in ſe teſtimonium habeat. Semper tamen ſanctorum ſecuritas, plena timoris Dei extitit. Nec eo minùs ſolliciti, & humiles in ſe fuerunt, quia magnis virtutibus & gratia emicuerunt. Prauorum autem ſecuritas, ex ſuperbia & præſumptione oritur, & in fine in deceptionem ſui vertitur. Nunquam promittas tibi ſecuritatem in hac vita, quamuis bonus videaris cœnobita, aut deuotus eremita.

4. Sæpe meliores in æſtimatione hominum, grauiùs periclitati ſunt, propter ſuam nimiam confidentiam. Vnde multis vtiliùs eſt, ut non penitus tentationibus careant, ſed ſæpiùs impugnentur; ne nimium ſecuri ſint: ne fortè in ſuperbiam eleuentur; ne etiam ad exteriores conſolationes, licentiùs declinent. O qui nunquam tranſitoriam lætitiam quæreret: qui nunquam cum mundo ſe occuparet, quàm bonam conſcientiam ſeruaret? O qui omnem vanam ſollicitudinem amputaret, & duntaxat ſalutaria ac diuina cogitaret, & totam ſpem ſuam in Deo conſtitueret, quàm magnam pacem & quietem poſſideret?

5. Nemo dignus eſt cæleſti conſolatione, niſi diligenter ſe exercuerit in ſancta compunctione. Si vis corde tenus compungi, intra cubile tuum, & exclude tumultus mundi, ſicut ſcriptum eſt: In cubilibus veſtris compungimini. In cella inuenies, quod deforis ſæpiùs amittes. Cella continuata dulceſcit, & malè

cuſtodita

γ'. Οὐδεὶς ἀσφαλῶς χαίρει, εἰ μὴ ὁ ἐν ἑαυτῷ τὴν τῆς καλῆς συνειδήσεως μαρτυρίαν ἔχων. Ἀλλ' οὖν ἡ τῶν ἁγίων ἀσφάλεια, ἀεὶ πλήρης τοῦ φόβου τοῦ θεοῦ ἐγένετο. Καὶ τοὔνεκα οὐχ ἧττον εὐλαβεῖς, καὶ πρὸς ἑαυτοὺς ταπεινοὶ ἐγένοντο, ὅτι διὰ μεγάλας ἀρετὰς καὶ χάριν ἐξέλαμψαν. Ἡ δὲ τῶν κακῶν ἀσφάλεια ἐκ τῆς ὑπερηφανίας καὶ τῆς περιλήψεως πέφυκε, τὸ τελευταῖον εἰς τὴν ἀπάτην αὐτῶν μεταβάλλουσα. μηδέποτε σεαυτῷ τὴν ἀσφάλειαν ἐν τῇδε ζωῇ ὑπισχνοῦ, καίπερ καλοκἀγαθὸς κοινόβιος, ἢ ἐρημίτης εὐσεβὴς σοὶ δοκῶν.

δ'. Πολλάκις οἱ παρ' ἀνθρώποις μᾶλλον εὐδόκιμοι, διὰ τὴν αὐτῶν πεποίθησιν τὴν ἄγαν, δεινότερον ἐκινδύνευσαν. Διὸ πολλοῖς χρησιμώτερόν ἐστι, μὴ τῶν πειρασμῶν παντελῶς ἀπαλλαχθῆναι, ἀλλὰ πλεονάκις πολεμεῖσθαι, τοῦ μὴ ἄγαν αὐτοὺς ἀσφαλεῖς εἶναι, μήποτε μετεωρισθῶσιν, ἢ εἰς παραμυθίας τὰς ἔξω τολμηρότερον τραπῶσιν. ὁ μηδέποτε τὴν εὐφροσύνην ὀλιγοχρόνιον ζητῶν, μηδὲ περὶ τὸν κόσμον ἀσχολούμενος, ὡς καλὴν συνείδησιν ἂν διεφύλαττεν; ὁ πᾶσαν μέριμναν ματαίαν ἀναιρῶν, καὶ μόνον τὰ τῆς σωτηρίας καὶ τοῦ θεοῦ διανοῶν, καὶ ὅλην τὴν ἐλπίδα αὐτοῦ ἐν τῷ θεῷ ἔχων, ὡς πολλῆς εἰρήνης καὶ ἡσυχίας ἐτύγχανεν;

ε'. Οὐδεὶς τῆς παρακλήσεως τοῦ οὐρανίου ἄξιός ἐστι, πλὴν ὁ ἐν τῇ ἁγίᾳ κατανύξει ἑαυτὸν μετὰ σπουδῆς ἀσκήσας. Εἰ θέλεις τὴν καρδίαν κατανυχθῆναι, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ ἔκκλεισον τοὺς τοῦ κόσμου θορύβους, καθὼς γέγραπται· Ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. ἐν τῷ κελλίῳ εὑρήσεις, ὅπερ ἔξω πολλάκις ἀπολέσεις, Τὸ μὲν κελλίον θαμινὰ οἰκηθὲν γλυ-

κάζειν

cuſtodita tædium generat. Si in principio conuerſionis tuæ, bene eam incolueris, & cuſtodieris, erit tibi poſtea dilecta amica, & gratiſſimum ſolatium.

6. In ſilentio & quiete, proficit anima deuota, & diſcit abſcondita ſcripturarum. Ibi inuenit flumina lachrymarum, quibus ſingulis noctibus ſe lauet & mundet: vt conditori ſuo tantò familiarior fiat, quantò longiùs ab omni ſæculari tumultu degit. Qui ergò ſe abſtrahit à notis & amicis, appropinquabit illi Deus, cum angelis ſanctis. Meliùs eſt latere, & ſui curam agere: quàm ſe neglecto, ſigna facere. Laudabile eſt homini religioſo, raro foras ire, fugere videri, nolle etiam homines videre.

7. Quid vis videre, quod non licet habere? Tranſit mundus, & concupiſcentia eius. Trahunt deſideria ſenſualitatis ad ſpatiandum: ſed quum hora tranſierit, quid niſi grauitatem conſcientiæ, & cordis diſperſionem reportas? Lætus exitus, triſtem ſæpe reditum parit: & læta vigilia ſerotina, triſte manè facit. Sic omne carnale gaudium, blandè intrat: ſed in fine, mordet & perimit. Quid potes alibi videre, quod hic non vides? Ecce cælum, & terra, & omnia elementa; nam ex iſtis, omnia ſunt facta.

8. Quid potes alicubi videre, quod diu poteſt ſub ſole permanere? Credis te forſitan ſatiari, ſed non poteris pertingere. Si cuncta videres præſentia, quid eſſet niſi viſio vana? Leua oculos tuos ad Deum in excelſis, & ora pro peccatis

catis

κάζει, κακῶς δὲ φυλαχθὲν λυπεῖ. Ἐὰν ἐν ἀρχῇ τῆς ἐπιστροφῆς σου καλῶς οἰκήσῃς, καὶ φυλάξῃς αὐτὸ, ἔσαι σοι ὕστερον φίλτατον καὶ χαριέστατον.

ϛʹ. Ἐν σιγῇ καὶ ἡσυχίᾳ ἡ εὐλαβὴς ψυχὴ προσκόπτει, καὶ τὰ τῶν γραφῶν κρύφια μανθάνει. Ἐκεῖ εὑρίσκει τὰ ῥεῖθρα τῶν δακρύων, οἷς ἂν καθ' ἑκάστην νύκτα λούσῃ καὶ καθαρίσῃ ἑαυτὴν, τοῦ τῷ κτίστῃ αὐτῆς τοσούτῳ οἰκειοτέραν γενέσθαι, ὅσῳ πορρωτέρω παντὸς θορύβου κοσμικοῦ ἐστι. τῷ μὲν οὖν τῶν γνωστῶν καὶ φίλων ἑαυτὸν χωρίζοντι ὁ θεὸς σὺν τοῖς ἀγγέλοις ἁγίοις αὐτοῦ πλησιάσει. Βέλτιόν ἐστι λανθάνειν, καὶ αὐτοῦ ἐπιμελεῖσθαι, ἢ αὐτοῦ ἀμελοῦντα, σημεῖα ποιεῖν. τῷ θεοσεβεῖ ἀνδρὶ ἐπαινετόν ἐστι σπανίως ἔξω ἰέναι, φεύγειν τὸ φαίνεσθαι, καὶ μὴ βούλεσθαι τοὺς ἀνθρώπους ὁρᾶν.

ζʹ. Τί θέλεις βλέπειν, ὅ, τι ἔχειν οὐκ ἔξεστιν; ὁ κόσμος παρέρχεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ. Αἱ μὲν ποθήσεις αἰσθητικαὶ εἰς τὸ περιπατῆσαι ἑλκύουσι, τῆς δ' ὥρας παρελθούσης, τί ἄλλο, ἢ τὸ τῆς συνειδήσεως βάρυμα, καὶ τὸν τῆς καρδίας διασπασμὸν ἀνακομίζεις; ἡ φαιδρὰ ἔξοδος τὴν λυπηρὰν ἐπάνοδον πολλάκις παρέχει, καὶ ἡ ἱλαρὰ φυλακὴ τῆς ὀψίας, στυγερὸν ὄρθρον ποιεῖ. οὕτω πᾶσα χαρὰ σαρκικὴ μειλιχίως εἰσέρχεται, ἐν τέλει δὲ δάκνει καὶ καθαιρεῖ. τί δύνῃ ἄλλοθι βλέπειν, ὅ, τι ἐνταῦθα οὐ βλέπεις; Ἰδοὺ ὁ οὐρανὸς, καὶ ἡ γῆ, καὶ πάντα στοιχεῖα· πάντα γὰρ ἐκ τούτων ἐγένοντο.

ηʹ. Τί οἴει ποτ' εἶναι ἑκάστου βλέπειν, ὃ πολὺν χρόνον ὑπὸ τῷ ἡλίῳ διαμένειν δύναται; πιστεύεις ἴσως τοῦ κορεῖσθαι, ἀλλ' οὐ δυνήσῃ ἐφικέσθαι. εἰ πάντα τὰ παρόντα ἔβλεπες, τί ἦν ἂν εἰ μὴ ὅρασις ματαία; ἆρον τοὺς ὀφθαλμούς σου πρὸς τὸν θεὸν τὸν ἐν ὑψίστοις, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν καὶ

catis tuis & negligentijs. Dimitte vana vanis: tu autem intende illis, quæ tibi præcepit Deus. Claude ſuper te oſtium tuum, & voca ad te Ieſum, dilectum tuum. Mane cum eo in cella, quia non inuenies alibi tantam pacem. Si non exiſſes, nec quicquam de rumoribus audiſſes, meliùs in bona pace permanſiſſes. Ex quo noua delectat aliquando audire, oportet te exinde turbationem cordis tolerare.

## CAP. XXI.

### *De compunctione cordis.*

1. SI vis aliquid proficere, conſerua te in timore Dei, & noli eſſe nimis liber: ſed ſub diſciplina, cohibe omnes ſenſus tuos, nec ineptæ te tradas lætitiæ. Da te ad cordis compunctionem, & inuenies deuotionem. Compunctio multa bona aperit, quæ diſſolutio citò perdere conſueuit. Mirum eſt, quòd homo poteſt vnquam perfectè in hac vita lætari, qui ſuum exilium, & tam multa pericula animæ ſuæ, conſiderat & penſat.

2. Propter leuitatem cordis, & negligentiam defectuum noſtrorum, non ſentimus animæ noſtræ dolores: ſed ſæpe vanè ridemus, quando meritò flere deberemus. Non eſt vera libertas, nec bona lætitia, niſi in timore Dei cum bona conſcientia. Fœlix, qui abijcere poteſt omne impedimentum diſtractionis, & ad vnionem ſe recolligere ſanctæ compunctionis. Fœlix, qui ſe abdicat, quicquid conſcientiam ſuam maculare poteſt vel grauare. Certa viriliter, conſue-

Digitized by Google

τῶν καὶ ἀμελειῶν σου πρόσευξαι. Ἄφες τὰ μάταια τοῖς ματαίοις, σὺ δὲ τὸν νοῦν πρόσεχε τοῖς ὑπὸ τοῦ θεοῦ σοι ἐπιταχθεῖσιν. Ἀπόκλεισον τὴν θύραν ἐπὶ σοί, καὶ τὸν Ἰησοῦν τὸν ἀγαπητόν σου πρός σε κάλεσον. Παράμεινον αὐτῷ ἐν τῷ κελλίῳ, ὅτι ἄλλοθι τοιαύτην εἰρήνην οὐχ εὑρήσεις. Εἰ οὐκ ἐξῆλθες, καὶ μηδὲν περὶ τῶν φημῶν ἤκουσας, ἄμεινον ἂν ἐν τῇ εἰρήνῃ ἔμεινας. ἐπεὶ δὲ ποτε τῷ ἀκοῦσαι τὰ καινὰ ἐφήδῃ, διὰ ταῦτα χρή σε τὸν τῆς καρδίας ταραγμὸν ὑπομένειν.

## Κεφ. κά.

### Περὶ τῆς κατανύξεως τῆς καρδίας.

α. Εἰ θέλεις προκόπτειν, ἐν τῷ τοῦ θεοῦ φόβῳ σεαυτὸν διαφύλαττε, καὶ μὴ γίνου ἄγαν ἀδεής, ἀλλ' ἐν τῇ παιδεύσει ἐπέχε πάσας τὰς αἰσθήσεις σου, καὶ ἀτόπως μὴ χαῖρε. τῇ τῆς καρδίας κατανύξει σπούδαζε, καὶ τὴν θεοσέβειαν εὑρήσεις. Ἡ κατάνυξις πολλὰ ἀγαθὰ ἀνοίγει, ἅτινα ἡ ἄνεσις ταχέως ἀπολέσαι εἴωθε. Θαυμάζειν ἄξιον, ὅτι ἄνθρωπος ὁ τὴν φυγαδείαν αὐτοῦ, καὶ τηλικούτους κινδύνους τῆς ψυχῆς αὐτοῦ σκοπῶν καὶ λογιζόμενος, ἐν ταύτῃ ζωῇ τελείως ποτὲ χαίρειν δύναται.

β. Διὰ τὴν τῆς καρδίας κουφότητα καὶ ἀμέλειαν τῶν ἐλλειμμάτων ἡμῶν, τῶν ὀδυνῶν τῆς ψυχῆς ἡμῶν οὐκ αἰσθανόμεθα, ἀλλὰ πολλάκις ματαίως γελῶμεν, ὅτε ἂν εἰκότως κλαίειν ὀφείλομεν. οὐκ ἔστιν ἐλευθερία ἀληθής, οὐδὲ καλὴ χαρά, εἰ μὴ ἐν τῷ φόβῳ τοῦ θεοῦ σὺν ἀγαθῇ συνειδήσει. μακάριος, ὃς πᾶν ἐμπόδισμα τοῦ διασπασμοῦ ἀποῤῥίπτειν, καὶ εἰς τὴν τῆς ἁγίας κατανύξεως ἑνότητα ἑαυτὸν ἀναλαμβάνειν δύναται· μακάριος, ὃς οἷός τ' ἐστὶ χωρίσαι ἀφ' αὐτοῦ, ὅ,τι τὴν συνείδησιν αὐτοῦ μιαίνειν, ἢ βαρύνειν δύναται. Ἀγωνίζου ἀνδρείως,

τὸ ἔθος

conſuetudo conſuetudine vincitur. Si tu ſcis homines dimittere, ipſi bene te dimittent tua facta facere.

3. Non attrahas tibi res aliorum, nec te implices cauſis maiorum. Habe ſemper oculum ſuper te primùm, & admoneas teipſum specialiter, præ omnibus tibi dilectis. Si non habes fauorem hominum, noli ex hoc triſtari: ſed hoc ſit tibi graue, quia non habes te ſatis bene & circumſpectè, ſicut deceret Dei ſeruum, & deuotum religioſum conuerſari. Vtiliùs eſt ſæpe & ſecuriùs, quòd homo non habeat multas conſolationes in hac vita, ſecundùm carnem præcipuè. Tamen quòd diuinas non habemus, aut rariùs ſentimus: nos in culpa ſumus: quia compunctionem cordis non quærimus, nec vanas & externas omninò abijcimus.

4. Cognoſce te indignum diuina conſolatione, ſed magis dignum multa tribulatione. Quando homo eſt perfectè compunctus, tunc grauis & amarus eſt ei totus mundus. Bonus homo, ſufficientem inuenit materiam dolendi & flendi. Siue enim ſe conſiderat, ſiue de proximo penſat, ſcit quia nemo ſine tribulatione hîc viuit. Et quantò ſtrictiùs ſeſe conſiderat, tantò ampliùs dolet. Materiæ iuſti doloris & internæ compunctionis, ſunt peccata & vitia noſtra, quibus ita inuoluti iacemus, vt rarò cæleſtia contemplari valeamus.

5. Si frequentiùs de morte tua, quàm de longitudine

τὸ ἔθος τῷ ἔθει νικᾶται. Εἰ σὺ ἐπίστασαι τοὺς ἀνθρώπους ἀφιέναι, αὐτοὶ δὴ τὰ σὰ πράττειν σε ἐάσουσι.

γʹ. Μὴ ἀλλοτριοπράγει, μηδ' ἐμπλέκου εἰς τὰ τῶν πρωτευόντων· σεαυτὸν ἐπισκέπτου πρῶτον, καὶ πρὸ πάντων φίλων σου μάλιστα σεαυτὸν ἰδικῶς παραίνει. Εἰ ὑστερεῖς τῆς τῶν ἀνθρώπων εὐνοίας, μὴ λυποῦ, ἀλλὰ τόδε δεινόν σοι γινέσθω, ὅτι οὐ καλῶς καὶ περιεσκεμμένως ἔχεις, ὡς προσῆκον ἂν ᾖ τὸν τοῦ Θεοῦ δοῦλον καὶ εὐσεβῆ ἀσκητὴν διάγειν. Πολλάκις χρησιμώτερον καὶ ἀσφαλέστερόν ἐστι τὸν ἄνθρωπον τῶν ἐν τῇδε ζωῇ πολλῶν παρακλήσεων, μάλιστα δὲ τῶν κατὰ σάρκα οὐκ εὐπορεῖν. Τοῦ μέντοι ἡμᾶς θείας παρακλήσεις οὐκ ἔχειν, οὐδ' αὐτῶν σπανίως αἰσθέσθαι, τὸ αἴτιον ἐν ἡμῖν ἐστιν, ὅτι τὴν κατάνυξιν τῆς καρδίας οὐ ζητοῦμεν, οὔτε τὰς ματαίας καὶ τὰς ἔξω παρακλήσεις πάντως ἀποβάλλομεν.

δʹ. Γνῶθι ἀνάξιόν σε τῆς θείας παρακλήσεως, μᾶλλον δὲ πολλῆς θλίψεως ἄξιον. Τῷ ἀνθρώπῳ τελείως κατανυγέντι, ὅλος ὁ κόσμος φορτικὸς καὶ πικρός ἐστιν. Ὁ ἀγαθὸς ἄνθρωπος ἱκανὴν τοῦ λυπεῖσθαι καὶ τοῦ κλαίειν ὑπόθεσιν εὑρίσκει. Ἐάν τε γὰρ ἑαυτὸν σκοπῇ, ἐάν τε τὸν πλησίον λογίζηται, γινώσκει ὅτι οὐδεὶς ἀθλίπτως ἐνταῦθα ζῇ. Καὶ ὅσῳ ἀκριβέστερον ἑαυτὸν σκέπτεται, τοσούτῳ μᾶλλον λυπεῖται. Αἱ ὑποθέσεις ἱκανῆς λύπης καὶ κατανύξεως τῆς εἴσω, τὰ ἁμαρτήματα, καὶ κακίαι ἡμῶν εἰσιν, αἷς οὕτως ἐνεπλέχθημεν, ἵνα σπανίως τὰ οὐράνια σκοπεῖν δυνηθῶμεν.

εʹ. Εἰ πλεονάκις τὸν θάνατον, ἢ τὴν μακρο-

βιότητα

tudine vitæ cogitares, non dubium quin feruentiùs te emendares. Si etiam futuras inferni ſiue purgatorij pœnas, cordialiter perpenderes, credo quòd libenter laborem & dolorem ſuſtineres, & nihil rigoris formidares. Sed quia ad cor iſta non tranſeunt, & blandimenta adhuc amamus, ideò frigidi & valde pigri remanemus.

6. Sæpe eſt inopia ſpiritus, vnde tam leuiter conqueritur miſerum corpus. Ora igitur humiliter ad Dominum, vt det tibi compunctionis ſpiritum, & dic cum Propheta: Ciba me Domine pane lachrymarum, & potum da mihi in lachrymis, in menſura.

## CAP. XXII.

### *De conſideratione humanæ miſeriæ.*

1. MIſer es, vbicunque fueris, & quocunque te verteris, niſi ad Deum te conuertas. Quid turbaris, quia non ſuccedit tibi, ſicut vis & deſideras? Quis eſt, qui habet omnia, ſecundùm ſuam voluntatem? Nec ego, nec tu, nec aliquis hominum ſuper terram. Nemo eſt in mundo, ſine aliqua tribulatione, vel anguſtia, quamuis Rex ſit, vel Papa. Quis eſt, qui meliùs habet? vtique qui pro Deo, aliquid pati valet.

2. Dicunt multi imbecilles & infirmi, Ecce, quàm bonam vitam ille homo habet, quàm diues, quàm magnus, quàm potens & excelſus? Sed attende ad cæleſtia bona, & videbis quòd omnia iſta temporalia, nulla ſunt; ſed valdè incerta & magis grauantia: quia nunquam ſine ſollicitudine & timore poſſidentur. Non eſt hominis felicitas, habere temporalia ad abundantiam, ſed ſufficit ei mediocritas. Verè

βιότητά σου ἐνεθυμοῦ, οὐκ ἄδηλον, ὅτι σπουδαιότερον ἂν σὺ κατώρθους. προσέτι εἰ τὰς τοῦ ᾅδου, ἢ τοῦ πυρὸς καθαρτικοῦ ποινὰς μελλούσας διενοοῦ, τὸν κάματον καὶ τὴν ὀδύνην, οἶμαι, ἀσμένως ἂν ὑπέμενες, καὶ οὐδὲν χαλεπὸν ἐφοβοῦ. Ἀλλ' ὅτι τάδε εἰς ψυχὴν οὐ δίεισι, καὶ ἡμεῖς τὰ θωπεύματα ἔτι φιλοῦμεν, ψυχροὶ καὶ πάνυ ὀκνηροὶ διατελοῦμεν.

ς'. Πολλάκις διὰ τὴν τοῦ πνεύματος ἀπορίαν τὸ ἄθλιον σῶμα οὕτω κούφως ὀδύρεται. Ἀξίωσον οὖν ταπεινῶς τὸν κύριον, δοῦναί σοι τὸ τῆς κατανύξεως πνεῦμα, καὶ λέγε σὺν τῷ προφήτῃ· ψώμισόν με κύριε ἄρτον δακρύων, καὶ πότισόν με ἐν δάκρυσιν ἐν μέτρῳ.

## Κεφ. κβ'.

### Περὶ ἐπισκέψεως τῆς ἀνθρωπίνης ἀθλιότητος.

α'. Ἄθλιος εἶ, ὅπου ἂν ἦς, καὶ ὅποι τραπῇς, πλὴν ἐὰν ἐπιστραφῇς πρὸς τὸν θεόν. τί ταράττῃ, ὅτι οὐ προχωρεῖ σοι, ὡς βούλει, καὶ ἐπιθυμεῖς; τίς ἐστιν, ᾧτινι πάντα κατὰ γνώμην ὑπάρχει; οὔτ' ἐγώ, οὔτε σύ, οὔτ' ἄλλος ἄνθρωπος ἐπὶ τῆς γῆς. οὐδείς ἐστιν ἐν κόσμῳ ἄνευ θλίψεως ἢ στενοχωρίας, κἄπερ βασιλεὺς ἢ πάπας ᾖ. Τίς ἐστιν ὁ βέλτιον ἔχων; δῆλον ὅτι ὁ ὑπὲρ τοῦ θεοῦ πάσχειν τι δυνάμενος.

β'. Λέγουσι πολλοὶ ἀσθενεῖς, καὶ ἄῤῥωστοι, ὡς καλῶς ἐκεῖνος τὸν βίον διάγει, ὡς πλούσιος, ὡς μέγας, ὡς δυνατὸς καὶ ὑπέροχος τυγχάνει; ἀλλὰ τοῖς ἀγαθοῖς οὐρανίοις τὸν νοῦν πρόσεχε, καὶ γνώσῃ ὅτι μὲν πάντα τὰ πρόσκαιρα, οὐδέν ἐστι, πάνυ δ' ἄδηλα, καὶ μᾶλλον φορτικά, ὅτι μηδέποτε ἀμερίμνως καὶ ἀφόβως ἔχονται. οὐκ ἔστιν ἡ τοῦ ἀνθρώπου εὐδαιμονία τὰ πρόσκαιρα κτᾶσθαι κατακόρως, ἀλλ' αὐτῷ ἡ μετριότης ἀπόχρη.

Ἀληθῶς

Digitized by Google

Verè miſeria eſt viuere ſuper terram; Quantò homo voluerit eſſe ſpiritualior, tantò præſens vita fit ei amarior; quia ſentit meliùs, & videt clariùs humanæ corruptionis defectus. Nam comedere, bibere, vigilare, dormire, quieſcere, laborare, & cæteris neceſſitatibus naturæ ſubiacere, verè magna miſeria eſt, & afflictio homini deuoto, qui libenter eſſet abſolutus, & liber ab omni peccato.

3. Valdè enim grauatur interior homo, neceſſitatibus corporalibus in hoc mundo. Vnde Propheta deuotè rogat, quatenus liber ab iſtis eſſe valeat, dicens: De neceſſitatibus meis erue me Domine. Sed væ, non cognoſcentibus ſuam miſeriam: & ampliùs væ illis, qui diligunt hanc miſeram & corruptibilem vitam. Nam in tantum quidam hanc amplectuntur (licet etiam vix neceſſaria laborando, aut mendicando habeant) vt ſi poſſent hic ſemper viuere, de regno Dei nihil curarent.

4. O inſani & infideles corde, qui tam profundè in terris iacent, vt nihil, niſi carnalia ſapiant. Sed miſeri adhuc in fine grauiter ſentient, quàm vile & nihilum erat, quod amauerunt. Sancti autem Dei, & omnes deuoti amici Christi, non attenderunt, quæ carni placuerunt, nec quæ in hoc tẽpore floruerunt: ſed



Digitized by Google

Ἀληθῶς ἀθλιότης ἐστὶ ζῆν ἐπὶ τῆς γῆς. Ὅσῳ ἂν ἄνθρωπος θελήσῃ εἶναί τις πνευματικώτερος, τοσούτῳ κόσμος ὁ παρὼν αὐτῷ πικρότερος γίνεται· ὅτι τὰ τῆς ἀνθρωπίνου φθορᾶς ἐλλείμματα βέλτιον γινώσκει, καὶ σαφέστερον ὁρᾷ. τὸ γὰρ φαγεῖν, πιεῖν, γρηγορεῖν, καθεύδειν, ἡσυχάζειν, πονεῖν, καὶ ταῖς ἄλλαις ἀνάγκαις τῆς φύσεως ὑποτάττεσθαι, ὄντως μεγάλη ἀθλιότης ἐστί, καὶ κάκωσις τῷ θεοσεβεῖ ἀνθρώπῳ, ὃς ἂν ἀπαλλαχθῆναι, καὶ ἐλευθερωθῆναι παντὸς ἁμαρτήματος ἀσμένως ἐβούλετο.

γʹ. Ὁ γὰρ ἄνθρωπος ὁ εἴσω, ἐν τῷδε τῷ κόσμῳ ταῖς τοῦ σώματος ἀνάγκαις δεινῶς βαρύνεται. Διόπερ ὁ προφήτης ἐλευθερωθῆναι τούτων εὐσεβῶς ἀξιοῖ, λέγων· Ἐκ τῶν ἀναγκαίων μου ἐξάγαγέ με. οὐαὶ δὲ τοῖς τὴν ταλαιπωρίαν αὐτῶν ἀγνοοῦσι, καὶ μᾶλλον οὐαὶ τοῖς τοῦτον τὸν ταλαίπωρον καὶ φθαρτὸν βίον ἀγαπῶσιν. οὕτω γάρ τινες πρὸς αὐτὸν φιλικῶς διάκεινται (εἰ καὶ πονοῦντες, ἢ πτωχεύοντες τὰ πρὸς βίον ἀναγκαῖα μόλις ἔχουσι) ὅπως, ἦν ἂν ἀεὶ ἐνταῦθα βιοῦν δύνωνται, τῆς τοῦ θεοῦ βασιλείας μηδαμῶς ἐπιμελοῦνται.

δʹ. Ὦ ἀνόητοι καὶ ἄπιστοι τῇ καρδίᾳ, οἵτινες οὕτω βαθέως ἐν τῇ γῇ κατάκεινται, ὡς οὐδέν, εἰ μὴ σαρκικόν, φρονεῖν. ὕστερον δὲ οἱ σχέτλιοι γνώσονται, ὡς εὐτελὲς καὶ οὐδὲν ἦν τὸ αὐτοῖς ἀγαπηθέν. καὶ δὴ οἱ ἅγιοι τοῦ θεοῦ, καὶ πάντες εὐσεβεῖς φιλόχριστοι οὐ τοῖς τῇ σαρκὶ ἀρέστοις, οὐδὲ τοῖς νυνὶ ἀνθηροῖς προσεῖχον, ἀλλὰ

πᾶσα

tota ſpes eorum & intentio, ad æterna bona anhelabat. Ferebatur totum deſiderium ipſorum ſurſum ad manſura & inuiſibilia, ne amore viſibilium traherentur ad infima. Noli frater amittere confidentiam proficiendi ad ſpiritualia, adhuc habes tempus & horam.

5. Quare vis procraſtinare propoſitum tuum? Surge, & in inſtanti incipe, & dic: Nunc tempus eſt faciendi, nunc tempus eſt pugnandi, nunc aptum tempus eſt emendandi. Quando malè habes, & tribularis, tunc tempus eſt promerendi. Oportet te tranſire per ignem & aquam, antequam venias in refrigerium. Niſi tibi vim feceris, vitium non ſuperabis. Quamdiu iſtud fragile corpus gerimus, ſine peccato eſſe non poſſumus, nec ſine tædio & dolore viuere. Libenter haberemus ab omni miſeria quietem; ſed quia per peccatum perdidimus innocentiam, amiſimus etiam veram beatitudinem. Ideo oportet nos tenere patientiam, & DEI expectare miſericordiam; donec tranſeat iniquitas hæc, & mortalitas abſorbeatur à vita.

6. O quanta fragilitas humana, quæ ſemper prona eſt ad vitia? Hodie confiteris peccata tua, & cras iterum perpetras confeſſa. Nunc proponis cauere, & poſt horam agis, quaſi nihil propoſuiſſes. Meritò ergo noſipſos humiliare poſſu-

πάντα ἡ ἐλπὶς καὶ ἡ προαίρεσις αὐτοῦ, τὰ ἀγαθὰ αἰώνια ἐπεπόθει. ὅλη ἡ ἐπιθυμία αὐτοῦ εἰς τὰ βέβαια καὶ ἀόρατα ἐφέρετο, ὥστε τῷ ἔρωτι τῶν ὁρατῶν εἰς τὰ κατώτατα μὴ ἑλκυσθῆναι. Μὴ ἀπέλπιζε, ὦ ἀδελφέ, τοῦ ἐπιδοῦναι πρὸς τὰ πνευματικά, ἔτι καιρὸν καὶ ὥραν ἔχων.

ε'. Διὰ τί τὴν προαίρεσίν σου εἰς τὴν ὑστεραίαν βούλει ἀναβάλλεσθαι; ἔγειραι, καὶ παραχρῆμα ἄρχου λέγων· νῦν καιρός ἐστι τοῦ ποιεῖν, νῦν καιρός ἐστι τοῦ πολεμεῖν, νῦν καιρός ἐστιν ὁ ἐπιτήδειος τῆς κατορθώσεως. Ἡνίκα κακῶς ἔχεις καὶ θλίβῃ, τότε καιρός ἐστι τοῦ καταξιοῦσθαι τοῦ ἄθλου. Διὰ πυρὸς καὶ ὕδατος δεῖ σε διελθεῖν, πρὶν ἂν ἔλθῃς εἰς ἀνάψυξιν. Ἐὰν μὴ βιάσῃ σεαυτόν, τὴν κακίαν οὐ νικήσεις. ἐφ' ὅσον τοῦτο φθαρτὸν σῶμα βαστάζομεν, ἀναμάρτητοι εἶναι, ἀλύπως τε καὶ ἀναλγήτως βιοῦν οὐ δυνάμεθα. Ἡδέως μὲν ἂν ἁπάσης τῆς ταλαιπωρίας ἀπηλλαττόμεθα, ἀλλ' ὅτι τὴν ἀνευθυνίαν διὰ τῆς ἁμαρτίας ἀπωλέσαμεν, καὶ τῆς ἀληθοῦς μακαριότητος ἐστερήθημεν. Διότι χρὴ ἡμᾶς ὑπομονητικῶς ἔχειν, καὶ τὸ τοῦ θεοῦ ἔλεος προσδοκᾶν, ἕως ἂν παρέλθῃ ἡ ἀδικία, καὶ τὸ θνητὸν καταποθῇ ὑπὸ τῆς ζωῆς.

ς'. Ὢ πόση ἡ ἀνθρωπίνη ἀσθένεια, ἀεὶ πρὸς τὴν κακίαν καταφερής; σήμερον τὰς ἁμαρτίας σου ὁμολογεῖς, καὶ αὔριον πάλιν τὰς ὡμολογημένας ποιεῖς. Νῦν ὑποτίθεσαι εὐλαβεῖσθαι, καὶ μετὰ ὥραν, ὡς οὐχ ὑποθέμενος πράττεις. εἰκότως οὖν ἡμᾶς ταπεινοῦν,



Digitized by Google

poſſumus, nec vnquam aliquid magni de nobis ſentire, quia tam fragiles & inſtabiles ſumus. Citò poteſt etiam perdi per negligentiam, quod multo labore vix tandem acquiſitum eſt per gratiam.

7. Quid fiet de nobis adhuc in fine, qui tepeſcimus tam manè? Væ nobis, ſi ſic volumus declinare ad quietem, quaſi iam pax ſit & ſecuritas, quum necdum appareat veſtigium veræ ſanctitatis, in conuerſatione noſtra. Bene opus eſſet, quod adhuc iterum inſtitueremur, tanquam boni nouitij ad mores optimos: ſi fortè ſpes eſſet de aliqua futura emendatione, & maiori ſpirituali profectu.

## Cap. XXIII.

### *De meditatione mortis.*

1. Valde citò erit tecum hic factum, vide igitur quomodo te habeas: hodie homo eſt, & cras non comparet. Cùm autem ſublatus fuerit ab oculis, etiam citò tranſit à mente. O hebetudo & duritia cordis humani, quod ſôlùm præſentia meditatur, & futura non magis præuidet. Sic te in omni facto & cogitatu deberes tenere, quaſi hodie vel ſtatim eſſes moriturus. Si bonam conſcientiam haberes, non multùm mortem timeres. Meliùs eſſet peccata cauere, quàm mortem fugere. Si hodie non es paratus, quomodo cras eris? Cras eſt dies incerta, & qui ſcis an craſtinùm habebis?

2. Quid prodeſt diu viuere, quando tam parùm emendamur? Ah longa vita non ſemper emendat, ſed ſæpe culpam magis auget. Vtinam per vnam diem bene eſſemus conuerſati in hoc mūdo.

καὶ μηδέποτε μέγα φρονεῖν δυνάμεθα, ὅτι οὕτω ἀσθενεῖς καὶ ἀσταθεῖς τυγχάνομεν. Ταχέως γὰρ δι' ἀμελείας ἀπόλλυσθαι δυνατόν ἐστιν, ὅ,τι πολυπόνως μόλις ποτὲ διὰ χάριτος ἐπορίσθη.

ζ. Τί ἡμῖν ἐν τέλει γενήσεται, οἵτινες οὕτως ὀξέως χλιαροί ἐσμεν; οὐαὶ ἡμῖν, εἰ τόνδε τὸν τρόπον ἐπὶ τὴν ἡσυχίαν ἀποκλίνειν βουλόμεθα, ὡς ἂν νῦν ἡ εἰρήνη καὶ ἡ ἀσφάλεια ἐγένετο, μήπω τοῦ τῆς ἀληθοῦς ἁγιότητος ἴχνους ἐν τῇ διαγωγῇ ἡμῶν φαινομένου. Μεγάλη ἀνάγκη εἴη ἂν ἡμᾶς ὡς νεωτέρους πρὸς τὰ βέλτιστα ἤθη παιδευθῆναι, εἰ ἄρα κατορθώσεώς τινος μελλούσης, καὶ μείζονος προκοπῆς πνευματικῆς ἐλπὶς ἐσται.

## Κεφ. κγ΄.

### Περὶ τῆς μελέτης τοῦ θανάτου.

α΄. Πάνυ ταχέως οἰχήσῃ, διὸ πρόσεχε πῶς ἂν διαπθῇ· σήμερον ὁ ἄνθρωπος ὢν τυγχάνει, καὶ αὔριον οὐ φαίνεται. Ἀφαιρεθεὶς δ' ἀπὸ τῶν ὀφθαλμῶν, καὶ ἐν τάχει τῆς διανοίας ἀποίχεται. ὢ τῆς ἀνθρωπίνης ἀμβλύτητος, καὶ σκληροκαρδίας, τὰ μὲν παρόντα μόνον μελετώσης, τὰ δὲ μέλλοντα οὐ μᾶλλον προορώσης. Τοιοῦτος ἂν ὤφειλες ἐν παντὶ ἔργῳ καὶ ἐννοίᾳ εἶναι, ὡς σήμερον, ἢ παραχρῆμα θανούμενος. εἰ καλὴν συνείδησιν εἶχες, οὐκ ἂν σφόδρα τὸν θάνατον ἐφοβοῦ. βέλτιον ἂν ἦν τὰ ἁμαρτήματα εὐλαβεῖσθαι, ἢ τὸν θάνατον φεύγειν. Εἰ σήμερον οὐκ εἶ παρεσκευασμένος, πῶς αὔριον ἔσῃ; ἡ αὔριον ἄδηλος, καὶ πῶς οἶδας, εἰ τὴν αὔριον ἕξεις;

β΄. Τί συμφέρει πολὺν χρόνον βιοῦν, ὅτι οὕτως ὀλίγον ἐπανορθούμεθα; Αἰαῖ, ἡ μακροβιότης οὐκ ἀεὶ ἐπανορθοῖ, ἀλλὰ πολλάκις τὸ ἔγκλημα μᾶλλον πληθύνει. Εἴθε μίαν ἡμέραν ἐν τούτῳ κόσμῳ καλῶς διηγά-



Digitized by Google

do. Multi annos computant conuerſionis, ſed ſæpe paruus eſt fructus emendationis. Si formidoloſum eſt mori, forſitan periculoſiùs erit diutiùs viuere. Beatus, qui horam mortis ſuæ ſemper ante oculos habet, & ad moriendum quotidie ſe diſponit. Si vidiſti aliquando hominem mori, cogita, quia tu per eandem tranſibis viam.

3. Quum manè fuerit, puta te ad veſperum non peruenturum. Veſpere autem facto, manè non audeas tibi polliceri. Semper ergo paratus eſto, & taliter viue, vt nunquam te imparatum mors inueniat. Multi ſubitò & improuisè moriuntur. Nam hora, qua non putatur, filius hominis venturus eſt. Quando illa extrema hora venerit, multùm aliter ſentire incipies de tota vita tua præterita: & valde dolebis, quòd tam negligens & remiſſus fuiſti.

4. Quàm felix & prudens, qui talis nunc nititur eſſe in vita, qualis optat inueniri in morte. Dabit namque magnam fiduciam feliciter moriendi, perfectus contemptus mundi, feruens deſiderium in virtutibus proficiendi, amor diſciplinæ, labor pœnitentiæ, promptitudo obedientiæ, abnegatio ſui, & ſupportatio cuiuslibet aduerſitatis pro amore Chriſti. Multa bona potes operari, dum ſanus es: ſed infirmatus, neſcio, quid poteris. Pauci ex infirmitate meliorantur & emendantur: ſic & qui multùm peregrinantur, rarò ſanctificantur.

5. Noli confidere ſuper amicos & proximos, nec

γομεν. Πολλοὶ μὲν τὰ τῆς ἐπιστροφῆς ἔτη λογίζονται, ὁ δὲ τῆς ἐπανορθώσεως καρπὸς πολλάκις μικρός ἐστιν. Εἰ φοβερόν ἐστι θανεῖν, ἴσως πλείω χρόνον βιοῦν ἐπισφαλέστερον ἔσται. Μακάριος ὁ τὴν τῆς τελευτῆς αὐτοῦ ὥραν συνεχῶς προσβλέπων, καὶ ἐπὶ τὸ θανεῖν καθ' ἑκάστην αὐτὸν παρασκευαζόμενος. εἰ ἑώρακάς ποτε ἄνθρωπον ἀποθνήσκοντα, ἐννόει ὅτι σὺ τὴν αὐτὴν ὁδὸν διελεύσῃ.

γ'. Πρωΐας γινομένης, ἕως τῆς ἑσπέρας βιώσεσθαί σε οὐ νόμιζε· τῆς δὲ ἑσπέρας οὔσης, τὸν ὄρθρον σεαυτῷ ὑπισχνεῖσθαι μὴ τόλμα. Ἀεὶ τοίνυν γίνου ἕτοιμος, καὶ οὕτω βίωθι, ἵν' ὁ θάνατος μηδέποτέ σε ἀπαρασκεύαστον εὕρῃ. πολλοὶ αἰφνιδίως καὶ ἀπροσδοκήτως τελευτῶσιν, ὅτι ᾗ ὥρᾳ οὐ δοκοῦμεν, ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει ἔρχεσθαι. τῆς τελευταίας ἐκείνης ὥρας παρούσης, περὶ ὅλου τοῦ βίου σου παρελθόντος πάνυ ἄλλως ἄρξῃ γινώσκειν, καὶ ἐπὶ τῷ οὕτως ἀμελῆ καὶ ἀνειμένον σε γενέσθαι ἀλγήσεις.

δ'. Ὡς μακάριος καὶ φρόνιμός ἐστιν, ὁ τοιοῦτος ἐν τῷ βίῳ εἶναι σπουδάζων, οἷος ἐν τῷ θανάτῳ εὑρεθῆναι εὔχεται. μεγάλην γὰρ ἐλπίδα τοῦ εὐδαιμόνως ἀποθανεῖν δώσει ἡ τελεία καταφρόνησις τοῦ κόσμου, ἡ ζέουσα ἐπιθυμία τοῦ πρὸς ἀρετὰς ἐπιδοῦναι, τὸ φιλεῖν τὴν παίδευσιν, ὁ πόνος τῆς μετανοίας, ἡ προθυμία τοῦ ὑπακούειν, ἡ ἀπάρνησις ἑαυτοῦ, καὶ ἡ ὑπομονὴ ἁπάσης συμφορᾶς χάριν τοῦ Χριστοῦ. ὑγιαίνων μὲν πολλὰ ἔργα καλὰ ἐργάσασθαι δύνῃ, ἀρρωστῶν δ' οὐκ οἶδα τί ἂν δυνηθῇς. Ὀλίγοι ἐκ τῆς ἀσθενείας βελτίους γίνονται καὶ ἐπανορθοῦνται, οὕτως οἱ πολλάκις ἀποδημοῦντες σπανίως ἁγιάζονται.

ε'. Μὴ πέποιθε ἐπὶ τοὺς φίλους καὶ τοὺς πλησίον σου,

nec in futurum tuam differas ſalutem: quia citiùs obliuiſcentur tui homines, quàm exiſtimas. Meliùs eſt nunc tempeſtiuè prouidere, & aliquid boni præmittere, quàm ſuper aliorum auxilio ſperare. Si non es pro teipſo ſollicitus modò, quis erit pro te ſollicitus in futuro? Nunc tempus eſt valde pretioſum. Nunc ſunt dies ſalutis. Nunc tempus acceptabile. Sed proh dolor, quòd hoc vtiliùs non expendis, in quo promereri vales, unde æternaliter viuas. Veniet, quando vnum diẽ ſeu horam, pro emendatione deſiderabis, & neſcio, an impetrabis.

6. Eia chariſſime, de quanto periculo te poteris liberare: de quàm magno timore eripere, ſi modò ſemper timoratus fueris, & ſuſpectus de morte. Stude nunc taliter viuere, vt in hora mortis valeas potiùs gaudere, quàm timere. Diſce nunc mori mundo, vt tunc incipias viuere cum Chriſto. Diſce nunc omnia contemnere, vt tunc poſſis liberè ad Chriſtum pergere. Caſtiga nunc corpus tuum per pœnitentiam, vt tunc certam valeas habere confidentiam.

7. Ah ſtulte, quid cogitas te diu victurum, quum nullum diem habeas hic ſecurum? Quàm multi decepti ſunt, & inſperatè de corpore extracti? Quotiens audiſti à dicentibus, quia ille gladio cecidit, ille ſubmerſus eſt, ille ab alto ruens ceruicem fregit, ille manducando obriguit, ille ludendo finem fecit. Alius igne, alius ferro, alius peſte, alius latrocinio interiit: &

ſic o-

μηδ' εἰς τὸν χρόνον μέλλοντα τὰ τῆς σωτηρίας σου ἀναβάλλου, ὅτι ὀξύτερον τῆς δόξης σου, οἱ ἄνθρωποι ἀμνημονήσουσί σου· κρεῖττόν ἐστι νῦν εὐκαίρως προνοεῖν, καὶ ἀγαθόν τι προπέμπειν, ἢ ἐπὶ τῇ τῶν ἄλλων βοηθείᾳ πεποιθέναι. εἰ ἐν τῷ παρόντι οὐκ ἐπιμελῇ σεαυτοῦ, τίς ἐν τῷ μέλλοντι τὴν περὶ σοῦ φροντίδα ἕξει; νῦν καιρός ἐστι πολύτιμος. νῦν ἡμέραι τῆς σωτηρίας εἰσί. νῦν καιρὸς εὐπρόσδεκτος. Ἀλλὰ φεῦ φεῦ, ὅτι αὐτὸν οὐ χρησιμώτερον διατρίβεις, ἐν ᾧ ἀξιωθῆναι δύνῃ, ὅθεν ἂν αἰδίως ζήσῃς. ἥξει καιρὸς, ὅτε μιᾶς ἡμέρας, ἢ ὥρας εἰς τὴν ἐπανόρθωσιν ἐπιθυμήσεις, καὶ οὐκ οἶδα, εἰ αὐτῆς τεύξῃ.

ϛ. Εἶα ὦ φίλτατε, πόσου κινδύνου ἀπαλλαχθῆναι, καὶ πόσου φόβου ἀφεθῆναι δυνήσῃ, εἰ νῦν ἀεὶ εὐλαβῶς καὶ πεφυλαγμένως πρὸς τὸν θάνατον διατεθήσῃ; σπούδαζε νῦν τοιούτως βιοῦν, ἵν' ἐν τῇ τοῦ θανάτου ὥρᾳ μᾶλλον χαίρειν, ἢ λυπεῖσθαι δυνηθῇς. μάνθανε νῦν τῷ κόσμῳ ἀποθανεῖν, ὅπως τότε τῷ Χριστῷ συζῆσαι ἄρξῃ. μάνθανε νῦν πάντων καταφρονεῖν, ἵνα τότε πρὸς τὸν Χριστὸν ἀνεμποδίστως πορευθῆναι δυνηθῇς. ὑπωπίαζε νῦν τὸ σῶμά σου διὰ τῆς μετανοίας, ὅπως τότε βεβαίαν τὴν πεποίθησιν ἔχειν οἷός τε γίνῃ.

ζ. Ὦ ἀνόητε, τί ἐνθυμῇ μακρὰν σε ζήσεσθαι, ὁ μηδὲ μίαν ἡμέραν ἔνθα ἀσφαλῆ ἔχων; ὡς πολλοὶ ἠπατημένοι, καὶ ἀπροσδοκήτως τοῦ σώματος ἐξελκυσμένοι εἰσί; ποσάκις τῶν εἰπόντων ἤκουσας, ὅτι ὁ μὲν ἐξιφοκτονήθη, ὁ δὲ κατεποντίσθη, ὁ δ' ὑψόθεν καταπεσὼν ἐξετραχηλίσθη, ὁ δ' ἐν τῷ φαγεῖν ἀπεπνίχθη, ὁ δ' ἐν τῷ παίζειν ἐτελεύτησεν. Ἄλλος τῇ φλογὶ, ἄλλος τῷ σιδήρῳ, ἄλλος τῷ λοιμῷ, ἄλλος τῇ λῃστείᾳ ἀπόλωλε, καὶ

ſic omnium finis mors eſt, & vita hominum tanquam vmbra ſubitò pertranſit.

8. Quis memorabitur tui poſt mortem? & quis orabit pro te? Age, age, nunc chariſſime, quicquid agere potes: quia neſcis quando morieris, neſcis etiam quid te poſt mortem ſequetur. Dum tempus habes, congrega tibi diuitias immortales. Præter ſalutem tuam nihil cogites; ſolùm quæ Dei ſunt, cures. Fac nunc tibi amicos, venerando Dei ſanctos, & eorum actus imitando: vt cum defeceris in hac vita, illi te recipiant in æterna tabernacula.

9. Serua te tanquam peregrinum & hoſpitem ſuper terram, ad quem nihil ſpectat de mundi negotijs. Serua cor liberum, & ad Deum ſurſum erectum, quia non habes hic manentem ciuitatem. Illuc preces & gemitus quotidianos, cum lachrymis dirige, vt ſpiritus tuus mereatur ad Dominum poſt mortem feliciter tranſire. Amen.

## CAP. XXIV.

### *De iudicio & pœnis peccatorum.*

1. IN omnibus rebus reſpice finem, & qualiter ante diſtrictum ſtabis iudicem, cui nihil eſt occultum; qui muneribus non placatur, nec excuſationes recipit: ſed, quod iuſtum eſt, iudicabit. O miſerrime & inſipiens peccator, quid reſpondebis Deo omnia mala tua ſcienti: qui interdum formidas, vultum hominis irati? Vt quid non præuides tibi in die iudicij, quando nemo poterit per alium excuſari vel defendi: ſed vnuſquiſque ſufficiens onus erit ſibiipſi? Nunc labor

τόνδε τὸν τρόπον τὸ τέλος ἁπάντων ὁ θάνατός ἐστι, καὶ ἡ τῶν ἀνθρώπων ζωὴ ὡσεὶ σκιὰ ὀξέως παράγει.

η'. Τίς μνησθήσεταί σου μετὰ τὸν θάνατον; τίς εὔξεται ὑπὲρ σοῦ; ποίησον, ποίησον νῦν, ὦ ἀγαπητὲ, ὅ,τι ἂν ποιεῖν οἷός τ' ἦς· οὐ γὰρ οἶδας, ὁπότε ἀποθανῇ, ἢ τί τελευτήσαντί σοι μέλλει συμβήσεσθαι. ἕως τὸν καιρὸν ἔχεις, ἄθροισόν σοι τὸν πλοῦτον ἀθάνατον. Πλὴν τῆς σωτηρίας σου μηδὲν ἄλλο ἐννόει, τῶν τοῦ θεοῦ μόνον φρόντιζε. Νῦν τῷ τοὺς φίλους τοῦ θεοῦ τιμᾶν, καὶ τῷ τὰς πράξεις αὐτῶν μιμεῖσθαι ποίησόν σοι φίλους, ἵνα, ὅταν ἐκλίπῃς ἐν τῇδε ζωῇ, αὐτοὶ δέξωνταί σε εἰς τὰς αἰωνίους σκηνάς.

θ'. Πάρεχέ σε ὡς παρεπίδημον καὶ ξένον ἐπὶ τῆς γῆς, ᾧτινι τῶν τοῦ κόσμου οὐδὲν προσήκει. Διαφύλαξον τὴν καρδίαν ἐλευθέραν, καὶ εἰς τὸν θεὸν ἐπαρθεῖσαν, ὅτι ἐνθάδε μένουσαν πόλιν οὐκ ἔχεις. ἐκεῖσε τὰς δεήσεις καὶ τοὺς στεναγμοὺς τοὺς καθ' ἑκάστην σὺν τοῖς δάκρυσι κατεύθυνον, τοῦ τὸ πνεῦμά σου μετὰ τὴν τελευτὴν ἀξιωθῆναι, πρὸς τὸν κύριον εὐδαιμόνως ἔρχεσθαι. Ἀμήν.

## Κεφ. κδ'.

Περὶ τοῦ κρίματος, καὶ τῶν ποινῶν τῶν ἁμαρτημάτων.

α'. ΕΝ πάσαις πράξεσι πρὸς τὸ τέλος ἀπόβλεψον, καὶ πῶς παραστήσῃ τῷ ἀκριβοδικαίῳ κριτῇ, ᾧτινι οὐδέν ἐστιν ἀποκεκρυμμένον· ὃς τοῖς δώροις οὐ πραΰνεται, οὔτε τὰς προφάσεις ἀποδέχεται, ἀλλ' ὅτι δίκαιόν ἐστι, κρινεῖ. Ὦ ἀθλιώτατε, καὶ ἀνόητε ἁμαρτωλὲ, τί ἀποκριθήσῃ τῷ θεῷ, τῷ πάντα τὰ κακά σου εἰδότι, ὃς τὸ τοῦ ὀργισθέντος ἀνθρώπου πρόσωπόν ποτε περιφοβῇ; Διὰ τί οὐ προορᾷς σοι ἐν τῇ τοῦ κρίματος ἡμέρᾳ, ὅτ' οὐδεὶς ὑπὲρ ἄλλου ἀπολογεῖσθαι, ἢ συνηγορεῖν δυνήσεται, ἀλλ' ἕκαστος ἐξαρκὲς φορτίον ἑαυτῷ ἔσται; Νυνὶ

labor tuus eſt fructuoſus, fletus acceptabilis, gemitus exaudibilis, dolor ſatisfactorius, & purgatiuus.

2. Habet magnum & ſalubre purgatorium patiens homo, qui ſuſcipiens iniurias, plùs dolet de alterius malitia, quàm de ſua iniuria: qui pro contrariantibus ſibi libenter orat, & ex corde culpas indulget: qui veniam ab alijs petere non retardat: qui faciliùs miſeretur, quàm iraſcitur: qui ſibi ipſi violentiam frequenter facit, & carnem omninò ſpiritui ſubiugare conatur. Meliùs eſt modò purgare peccata, & vitia reſecare, quàm in futuro purganda reſeruare. Verè nos ipſos decipimus per inordinatum amorem, quem ad carnem habemus.

3. Quid aliud ignis ille deuorabit, niſi peccata tua? Quantò ampliùs tibi ipſi nunc parcis, & carnem ſequeris: tantò duriùs poſtea lues, & maiorem materiam comburendi reſeruas. In quibus homo peccauit, in illis grauiùs punietur. Ibi acedioſi, ardentibus ſtimulis pungentur: & guloſi, ingenti ſiti ac fame cruciabuntur. Ibi luxurioſi, & voluptatum amatores, ardenti pice & fœtido ſulphure perfundentur: Et ſicut furioſi canes, præ dolore inuidioſi vlulabunt.

4. Nullum vitium erit, quod ſuum proprium cruciatum non habebit. Ibi ſuperbi, omni confuſione replebuntur: & auari, miſerrima egeſtate arctabuntur. Ibi erit vna hora grauior in pœna, quàm hic centum anni, in amariſſima pœnitentia. Ibi

nulla

Digitized by Google

ὁ πόνος σου ὠφέλιμος, ὁ κλαυθμὸς εὐπρόσδεκτος, ὁ στεναγμὸς ἐξάκουστος, ἡ ἀλγηδὼν ἱκανοποιϊκὴ καὶ καθαρτική ἐστι.

β΄. Μέγα καὶ σωτηριῶδες πῦρ καθαρτήριον ὑπομένει ἄνθρωπος ἀνεξίκακος, ὃς ὑβρισθεὶς, ἐπὶ τῇ τοῦ ἄλλου πονηρίᾳ μᾶλλον, ἢ ἐπὶ τῇ ἀδικίᾳ αὐτοῦ λυπεῖται. ὃς ὑπὲρ τῶν ἐναντιουμένων αὐτῷ ἀσμένως εὔχεται, καὶ τὰς αἰτίας ἐκ τῆς καρδίας συγγινώσκει: ὃς πρὸς τὸ τὴν συγγνώμην παρὰ τῶν ἄλλων αἰτεῖσθαι οὐκ ὀκνηρῶς ἔχει· ὃς ῥᾷον ἐλεεῖ ἢ ὀργίζεται· ὃς ἑαυτὸν συχνῶς βιάζεται, καὶ τὴν σάρκα τῷ πνεύματι παντελῶς ὑποτάσσειν σπουδάζει. Ἄμεινόν ἐστι νῦν τὰς ἁμαρτίας καθαρίζειν, καὶ τὰς κακίας ἀναιρεῖν, ἢ εἰς τὸ καθαρίζεσθαι ἐν τῷ μέλλοντι τηρῆσαι· ἀληθῶς δι᾽ ἀτάκτου ἀγάπης, ἣν εἰς τὴν σάρκα ἔχομεν, ἡμᾶς αὐτοὺς ἐξαπατῶμεν.

γ΄. Τί ἄλλο ἐκεῖνο τὸ πῦρ καταφάγεται, εἰ μὴ τὰ ἁμαρτήματά σου; Ὅσῳ μᾶλλον νυνὶ σεαυτοῦ φείδῃ, καὶ τῇ σαρκὶ ἕπῃ, τοσούτῳ δεινότερον κολασθήσῃ, καὶ μείζω ὕλην τοῦ καίεσθαι τηρεῖς. ἐν οἷς ὁ ἄνθρωπος ἥμαρτεν, ἐν αὐτοῖς σκληρότερον κολασθήσεται. Ἐκεῖ οἱ ἀκηδεῖς πυρικαέσι κέντροις νυχθήσονται, καὶ οἱ γαστρίμαργοι μεγίστῳ λιμῷ ὀδυνηθήσονται. ἐκεῖ οἱ ἀσελγεῖς καὶ φιλήδονοι πίσσῃ καιομένῃ καὶ δυσώδει θείῳ καταρρυήσονται, καὶ ὡς κύνες λυσσώδεις οἱ φθονεροὶ ὑπ᾽ ὀδύνῃ ὀλολύξουσιν.

δ΄. Οὐδεμία κακία ἔσται, ἣ τὴν ἰδίαν αὐτῆς βάσανον οὐχ ἕξουσα. ἐκεῖ οἱ ὑπερήφανοι πάσῃ αἰσχύνῃ πληρωθήσονται, καὶ οἱ πλεονέκται ἀθλιωτάτῃ ἀπορίᾳ στενοχωρηθήσονται. ἐκεῖ μία ὥρα βαρυτέρα ἔσται ἐν τῇ ποινῇ, ἢ ἑκατὸν ἔτη ὧδε ἐν πικροτάτῃ μετανοίᾳ. Ἐκεῖ

οὐδεμία

nulla requies eſt, nulla conſolatio damnatis: hic tamen interdum ceſſatur à laboribus, atque amicorum fruitur ſolatijs. Eſto modò ſollicitus & dolens pro peccatis tuis: vt in die iudicij, ſecurus ſis cum beatis. Tunc enim iuſti ſtabunt, in magna conſtantia aduerſus eos, qui ſe anguſtiauerunt, & depreſſerunt. Tunc ſtabit ad iudicandum, qui modò ſe ſubijcit humiliter iudicijs hominum. Tunc magnam fiduciam habebit pauper & humilis, & pauebit vndique ſuperbus.

5. Tunc videbitur ſapiens in hoc mundo fuiſſe, qui pro Chriſto didicit ſtultus & deſpectus eſſe. Tunc placebit omnis tribulatio patienter perpeſſa, & omnis iniquitas oppilabit os ſuum. Tunc gaudebit omnis deuotus, & mœrebit omnis irreligioſus. Tunc plùs exultabit caro afflicta, quàm ſi in delitijs fuiſſet ſemper nutrita. Tunc ſplendebit habitus vilis, & obtenebreſcet veſtis ſubtilis. Tunc plùs laudabitur pauperculum domicilium, quàm deauratum palatium. Tunc plùs iuuabit conſtans patientia, quàm omnis mundi potentia. Tunc ampliùs exaltabitur ſimplex obedientia, quàm omnis ſæcularis aſtutia.

6. Tunc plùs lætificabit pura & bona conſcientia, quàm docta philoſophia. Tunc plùs ponderabit contemptus diuitiarum, quàm totus theſaurus terrigenarum. Tunc magis conſolaberis ſuper deuota oratione, quàm ſuper delicata comeſtione. Tunc potiùs gaudebis de ſeruato ſilentio, quàm de longa fabulatione. Tunc plùs valebunt ſancta opera, quàm multa

pulchra

Digitized by Google

ἀδεμία ἡσυχία, ἡ παράκλησις τοῖς κατακριθεῖσι γενήσεται· ἔξεστι δὴ ἐνθάδε ποτὲ τῶν καμάτων παύεσθαι, καὶ τὴν τῶν φίλων παραμυθίαν καρποῦσθαι. Ἤδη μερίμνα, καὶ ἐπὶ ταῖς ἁμαρτίαις σου ἄχθου, ὅπως ἐν τῇ τῆς κρίσεως ἡμέρᾳ σὺν τοῖς μακαρίοις ἀμεριμνήσῃς. τότε γὰρ στήσονται ἐν παῤῥησίᾳ πολλῇ οἱ δίκαιοι, κατὰ πρόσωπον τῶν θλιψάντων, καὶ ταπεινωσάντων αὐτούς. τότε στήσεται τοῦ δικάσαι, ὁ νῦν ἑαυτὸν τῇ τῶν ἀνθρώπων δίκῃ ταπεινῶς ὑποτάσσων. τότε ὁ πτωχὸς καὶ ταπεινόφρων σφόδρα θαρσήσει, καὶ ὁ ὑπερήφανος πανταχόθεν ἐκφοβηθήσεται.

ε. Τότε σοφὸς ἐν τῷδε τῷ κόσμῳ γενέσθαι δόξει, ὁ διὰ τὸν χριστὸν μωρὸς καὶ καταφρόνητος εἶναι μεμαθηκώς. τότε πᾶσα θλίψις καρτερηθεῖσα ἀρέσει, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. τότε χαρήσεται πᾶς θεοσεβὴς, καὶ πᾶς δυσσεβὴς ἀλγήσει. Τότε ἡ θλιφθεῖσα σὰρξ ἀγαλλιάσεται μᾶλλον τῆς ἀεὶ τῇ τρυφῇ ἐντεθραμμένης. τότε τὸ εὐτελὲς σχῆμα ἐκλάμψει, καὶ ἡ λεπτὴ ἐσθὴς σκοτισθήσεται. τότε πενιχρὸν οἰκημάτιον μᾶλλον ἐπαινεθήσεται, ἢ διάχρυσον παλάτιον. τότε πλέον συνοίσει ἡ βεβαία ὑπομονὴ, ἢ πᾶσα δύναμις τοῦ κόσμου. τότε μᾶλλον ὑψωθήσεται ἡ ἁπλοῦ ὑπακοὴ, ἢ πᾶσα κοσμικὴ πανουργία.

ϛ. Τότε μᾶλλον εὐφρανεῖ ἡ καθαρὰ καὶ ἀγαθὴ συνείδησις, ἢ ἡ πεπαιδευμένη φιλοσοφία. τότε μείζονος τιμηθήσεται ἡ τοῦ πλούτου καταφρόνησις, ἢ πᾶς θησαυρὸς τῶν γηγενῶν. τότε τῇ εὐσεβεῖ προσευχῇ μᾶλλον παρακληθήσῃ, ἢ τῇ τρυφερᾷ ἐδωδῇ. τότε μᾶλλον τῇ διατηρηθείσῃ σιγῇ, ἢ τῇ μακρολογίᾳ χαρήσῃ. τότε πλέον ἰσχύσει τὰ ἀγαθὰ ἔργα, ἢ πολλοὶ



Digitized by Google

pulchra verba. Tunc plùs placebit ſtricta vita & ardua pœnitentia, quàm omnis delectatio terrena. Diſce nunc in modico pati, vt tunc à grauioribus valeas liberari. Hic primò proba, quid poſſis poſtea. Si nunc tam parùm vales ſuſtinere, quomodo æterna tormenta poteris ſufferre ac ſuſtinere? Si modò modica paſſio tam impatientem efficit, quid gehenna tunc faciet? Ecce verè non potes duo gaudia habere, delectari hic in mundo, & poſtea regnare cum Chriſto.

7. Si vſque in hodiernum diem, ſemper in honoribus & voluptatibus vixiſſes: quid totum tibi profuiſſet, ſi iam mori in inſtanti contingeret? Omnia ergo vanitas, præter amare Deum, & illi ſoli ſeruire. Qui enim Deum, ex toto corde amat: nec mortem, nec ſupplicium, nec judicium, nec infernum metuit: quia perfectus amor, ſecurum ad Deum acceſſum facit. Quem autem adhuc peccata delectant, non mirum, ſi mortem & iudicium timeat. Bonum tamen eſt, vt ſi necdum amor à malo te reuocat, ſaltem timor gehennalis coërceat. Qui verò timorem Dei poſtponit, diu ſtare in bono non valebit, ſed diaboli laqueos citiùs incurret.

## CAP. XXV.

### *De feruenti emendatione totius vitæ noſtræ.*

1. ESto vigilans & diligens, in Dei ſeruitio, & cogita frequenter, ad quid veniſti, & cur ſæculum reliquiſti? Nonne vt

Deo

καλοὶ λόγοι. τότε μᾶλλον ἀρέσει ὁ αὐστηρὸς βίος, καὶ ἡ δεινὴ μετάνοια, ἢ πᾶσα τέρψις ἐπίγειος. Ἐν τῷ παρόντι μάνθανε τὸ ὀλίγον παθεῖν, ἵνα τότε τῶν δεινοτέρων ἀπαλλαχθῆναι οἷός τε γένῃ. ἔνθα πρῶτον τὴν πεῖραν λάμβανε, τί ἂν δύναιο παθεῖν ὕστερον. εἰ νῦν οὕτως ὀλίγον δύνῃ ἀνέχεσθαι, πῶς τὰς αἰωνίους τιμωρίας ὑπομένειν καὶ ἀνέχεσθαι δυνήσῃ; εἰ νῦν ὀλίγον πάθημα, οὕτω δυσχερῆ σε ἀπεργάζεται, τί τότε ἡ γέεννα ποιήσει; Ἰδού, τῷ ὄντι οὐ δύνῃ δύο χαρὰς ἔχειν, τέρπεσθαι μὲν ἐνθάδε ἐν τῷ κόσμῳ, ὕστερον δὲ τῷ Χριστῷ συμβασιλεύειν.

ζ. Εἰ μέχρι ταύτης τῆς ἡμέρας τὸν βίον ἀεὶ ἐν τιμαῖς καὶ τέρψεσι διήγαγες, τί ὅλον ὠφελήσειέ σε, τοῦ αἰφνιδίου θανάτου συμβαίνοντός σοι; πάντα τοίνυν ματαιότης, πλὴν τοῦ τὸν θεὸν φιλεῖν, καὶ αὐτῷ μόνῳ δουλεύειν. Ὁ γὰρ τὸν θεὸν ἐξ ὅλης καρδίας ἀγαπῶν, οὔτε τὸν θάνατον, οὔτε τὴν τιμωρίαν, οὔτε τὴν κρίσιν, οὔτε ᾅδην φοβεῖται, ὅτι ἡ τελεία ἀγάπη τὴν πρὸς τὸν θεὸν πρόσοδον ἀδεῆ καθίστησι. τὸν δὲ ταῖς ἁμαρτίαις ἔτι ἡδόμενον, οὐ θαυμαστὸν τόν τε θάνατον, καὶ τὴν κρίσιν δεδιέναι. καλὸν δ' ἐστίν, εἰ μήπω ἡ ἀγάπη, τῆς κακίας σε ἀποτρέπει, ἀλλά γε τῷ φόβῳ τῆς γεέννης ἀπείργεσθαι. ὁ δὲ τὸν φόβον τοῦ θεοῦ καταλείπων, πολὺν χρόνον ἑστάναι οὐ δύναται, ἀλλ' εἰς τὰς τοῦ διαβόλου παγίδας ταχέως ἐμπεσεῖται.

## Κεφ. κε'.

### Περὶ ζεστῆς ἐπανορθώσεως ὅλου τοῦ βίου ἡμῶν.

α. Γίνου γρηγορῶν καὶ ἐπιμελὴς ἐν τῇ τοῦ θεοῦ δουλείᾳ, καὶ πολλάκις λογίζου, τίνος ἕνεκεν ἦλθες, καὶ διὰ τί τὸν κόσμον κατέλιπες; οὐχὶ ἵνα τῷ

θεῷ

Deo viueres, & ſpiritualis homo fieres? Igitur ad profectum ferueas, quia mercedem laborum tuorum in breui recipies: nec erit tunc ampliùs timor aut dolor, in finibus tuis. Modicum nunc laborabis, & magnam requiem, imò perpetuam lætitiam, inuenies. Si tu permanſeris fidelis & feruidus in agendo, Deus procul dubio erit fidelis & locuples in retribuendo. Spem bonam retinere debes, quòd ad palmam peruenies: ſed ſecuritatem capere non oportet, ne torpeas, aut elatus fias.

2. Cùm quidam anxius, inter metum & ſpem frequenter fluctuaret, & quadam vice mœrore confectus, in Eccleſia ante quoddam altare ſe in oratione proſtrauiſſet, hæc inter ſe reuoluit dicens: O ſi ſcirem, quòd adhuc perſeueraturus eſſem: ſtatimque audiuit diuinum intus reſponſum. Quid, ſi hoc ſcires, quid facere velles? Fac nunc, quod tunc facere velles, & benè ſecurus eris. Moxq́ue conſolatus, & confortatus, diuinæ ſe commiſit voluntati, & ceſſauit anxia fluctuatio. Noluitq́ue inueſtigare, vt ſciret quæ ſibi eſſent futura: ſed magis ſtuduit inquirere, quæ eſſet voluntas Dei beneplacens & perfecta, ad omne opus bonum inchoandum & perficiendum.

3. Spera in Domino, & fac bonitatem (ait Propheta) & inhabita terram, & paſcêris in diuitijs eius. Vnum eſt, quod multos à profectu, & feruenti emendatione retrahit: horror difficultatis, ſeu labor certaminis. Enimuerò, illi maximè præ cæteris in virtutibus proficiunt: qui ea, quæ ſibi magis grauia & contraria ſunt, viriliùs vincere nituntur. Nã ibi homo plus

profi-

Digitized by Google

θεῷ δουλεύσῃς, καὶ πνευματικὸς ἄνθρωπος γένῃ; Διόπερ πρὸς τὸ προκόψαι ζέσον, ὅτι τὸν μισθὸν τῶν καμάτων σου ταχέως λήψῃ, καὶ τότε οὐκ ἔτι φόβος, οὔτ' ἄλγος ἔσται ἐν ὁρίοις σου. Ὀλίγον νῦν πονήσεις, καὶ μεγάλην ἡσυχίαν, μᾶλλον δὲ αἰώνιον χαρὰν εὑρήσεις. εἰ σὺ πιστὸς καὶ θερμὸς ἐν τῷ πράττειν διατελέσεις, ὁ θεὸς ἀναμφισβητήτως ἐν τῷ ἀνταποδοῦναι πιστὸς καὶ ἀφειδὴς ἔσται. χρὴ μὲν σε τὴν ἐλπίδα λαμβάνειν τοῦ ἄθλου τύχεσθαι, ἀδεῶς δ' οὐκ ἔχειν, ἵνα μὴ ῥᾳθυμήσῃς, μήτε ἐπαρθῇς.

ϛ. πολυμέριμνός τις μεταξὺ τῆς ἐλπίδος καὶ τοῦ φόβου πολλάκις σαλευόμενος, καὶ λύπῃ ποτὲ ἐκπονούμενος, ἐν τῷ ἱερῷ ἐνώπιον τοῦ θυσιαστηρίου ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσευχόμενος, καὶ ταῦτα πρὸς ἑαυτὸν λογιζόμενος εἶπεν· εἴθε ἐγίνωσκον, ὅτι ἔτι ἐπιμενῶ· καὶ εὐθέως τῆς θείας ἀποκρίσεως ἔσωθεν ἤκουσε. τί ἂν τοῦτο εἰδὼς ποιῆσαι ἤθελες; ποίησον νῦν, ὅ,τι τότε ποιεῖν ἂν ἐβούλου, καὶ πάνυ ἀδεὴς ἔσῃ· καὶ παραχρῆμα παρακληθεὶς καὶ ἐνδυναμωθεὶς τῷ τοῦ θεοῦ θελήματι ἑαυτὸν ἐπέτρεψε, καὶ ἡ πολυμέριμνος ἀπορία ἐκόπασε. Καὶ οὐκ ἐβουλήθη περιέργως τὰ συμβησόμενα ἑαυτῷ ἀναζητεῖν, μᾶλλον δ' ἐξετάζειν ἐσπούδασε, τί ἂν ἦν τὸ θέλημα τοῦ θεοῦ εὐάρεστον καὶ τέλειον, τοῦ πᾶν ἀγαθὸν ἔργον ἄρξασθαι καὶ ἐπιτελέσαι.

γ'. Ἔλπισον ἐπὶ κύριον, καὶ ποίει χρηστότητα (εἶπεν ὁ προφήτης) καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. ἕν ἐστι τὸ πολλοὺς τῆς προκοπῆς, καὶ τῆς ἀκριβοῦς ἐπανορθώσεως ἀποτρέπον, ἡ φρίκη τῆς χαλεπότητος, ἢ ὁ πόνος τοῦ ἀγῶνος. Ἀλλὰ μὴν ἐκεῖνοι μάλιστα τῶν ἄλλων πρὸς τὰς ἀρετὰς ἐπιδιδοῦσιν, οἵτινες τὰ δεινότερα καὶ ἐναντία αὐτοῖς ἀνδρειότερον νικῆσαι πειρῶνται. Ὁ γὰρ ἄνθρωπος μᾶλλον ἐκεῖ

προκό-

proficit,& gratiam meretur ampliorem :vbi magis ſeipſum vincit,& in ſpiritu mortificat.

4. Sed non omnes habent æquè multum, ad vincendum & moriendum. Diligens tamen æmulator, valentior erit ad proficiendum, etiam ſi plures habeat paſſiones, quàm alius benè morigeratus, minùs tamen feruens ad virtutes. Duo ſpecialiter ad magnam emendationem iuuant : videlicet, ſubtrahere ſe violenter,ad quod natura vitioſè inclinatur : & ferventer inſtare pro bono,quò ampliùs quis indiget. Illa etiam ſtudeas magis cauere & vincere,quæ tibi frequētiùs in alijs diſplicent.

5. Vbique profectum tuum capias : vt ſi bona exempla videas vel audias, ad imitandum accendaris. Si quid autem reprehenſibile conſideraueris, caue ne idem facias, aut ſi aliquando feciſti, citiùs emendare te ſtudeas. Sicut oculus tuus alios conſiderat,ſic iterum ab alijs notaris. Quàm iucundum & dulce eſt, videre feruidos & deuotos fratres, bene morigeratos & diſciplinatos. Quàm triſte eſt & graue, videre inordinatè ambulantes : qui ea, ad quæ vocati ſunt,non exercent. Quàm nociuum eſt, negligere vocationis ſuæ propoſitum:& ad non commiſſa,ſenſum inclinare.

6. Memor eſto arrepti propoſiti, & imaginem tibi propone crucifixi. Bene verecundari potes, inſpecta vita Ieſu Chriſti : quia necdum magis illi te conformare ſtuduiſti, licet diu in via Dei fuiſti. Religioſus, qui ſe intentè & deuotè, in ſanctiſſima vita & paſſione Domini exercet,omnia vtilia & neceſſaria ſibi, abun-

προκόπτει, καὶ μείζονος χάριτος ἄξιος τυγχάνει, ὅπου μᾶλλον ἑαυτὸν νικᾷ, καὶ ἐν τῷ πνεύματι νεκροῖ.

δ´. Ἀλλ' οὐ πάντες ἐξ ἴσου πολλὰ ἔχουσιν, ἅτινα νικῶσιν ἢ νεκρῶσιν. Ὁ δ' ἐπιμελὴς ζηλωτὴς, καίπερ περιπαθέστερος, δυνατώτερος ἔσται ἐπιδοῦναι, τοῦ ἄλλου εὐήθους μὲν ὄντος, ἧττον δὲ πρὸς τὰς ἀρετὰς ζέοντος. Δύο εἰς μεγάλην ἐπανόρθωσιν ἰδίως συλλαμβάνουσιν, ἤγουν, τὸ ἑαυτὸν βιαίως χωρίσαι τούτων, εἰς ἃ ἡ φύσις κακῶς καταφέρεται, καὶ τὸ θερμῶς σπουδάζειν περὶ τοῦ ἀγαθοῦ, οὗτινος ἐνδεέστερός τις ὑπάρχει. προσέτι ταῦτα μᾶλλον εὐλαβεῖσθαι καὶ νικᾶν πειρᾶ, ἅπερ ἄλλοις ἐγγινόμενα συχνότερόν σοι ἀπαρέσκει.

ε. Πανταχόθεν τὴν ἐπίδοσίν σου λάμβανε, οἷον εἰ βλέπων ἢ ἀκούων καλὰ παραδείγματα, παροξύνθητι μιμεῖσθαι αὐτά. σκοπῶν δ' ἐπιμεμφές τι, φυλάττου μὴ τὸ αὐτὸ ποιήσῃς, ἢ ποιήσας ποτὲ τάχιον ἐπανορθοῦν σπούδαζε. ὥσπερ ὁ ὀφθαλμός σου τοὺς ἄλλους σκοπεῖ, οὕτως ἀμοιβαδὸν ὑπὸ τῶν ἄλλων παρατηρῇ. ὡς τερπνὸν καὶ ἡδύ ἐστιν ἰδεῖν θερμούς, εὐσεβεῖς, τῷ ἤθει καὶ τῇ παιδείᾳ εὐδοκίμους ἀδελφούς; ὡς λυπηρὸν καὶ δεινὸν, ἀτάκτως περιπατοῦντας ἐπιβλέπειν; ὡς βλαβερὸν τοῦ τῆς κλήσεως αὐτῶν σκοποῦ ἀμελεῖν, καὶ ἐπὶ τὰ οὐκ ἐπιτραπέντα ἀποκλίνειν;

ς´. Μνήσθητι τῆς ποιηθείσης προαιρέσεώς σου, καὶ πρόθες σοι τὴν τοῦ σταυρωθέντος εἰκόνα. εἰκότως ἂν αἰσχύνοιο τὸν βίον τοῦ Χριστοῦ ἐφορῶν, ὅτι μήπω αὐτῷ σε συμμορφῶσαι μᾶλλον ἐσπούδακας, κἂν πολὺν χρόνον ἐν τῇ τοῦ θεοῦ ὁδῷ ἐγένου. Ἀσκητὴς ὁ περὶ τὸν ἁγιώτατον βίον καὶ τὸ πάθος τοῦ κυρίου διατεταμένως καὶ εὐσεβῶς ἑαυτὸν γυμνάζων, πάντα χρήσιμα καὶ ἀναγκαῖα αὐτῷ

ἀφθόνως

abundanter ibi inueniet: nec opus eſt, vt extra Ieſum, aliquid meliùs quærat. O ſi Ieſus crucifixus, in cor noſtrum veniret, quàm citò & ſufficienter, docti eſſemus?

7. Religioſus feruidus, omnia bene portat & capit, quæ illi iubentur. Religioſus negligens & tepidus, habet tribulationem ſuper tribulationem, & ex omni parte patitur anguſtiam: quia interiori conſolatione caret, & exteriorem quærere prohibetur. Religioſus extra diſciplinam viuens, graui patet ruinæ. Qui laxiora quærit & remiſſiora, ſemper in anguſtijs erit: quia aut vnum, aut reliquum ſibi diſplicebit.

8. Quomodo faciunt, tam multi alij religioſi: qui ſatis arctati ſunt, ſub diſciplina clauſtrali? Rarò exeunt, abſtractè viuunt, pauperrimè comedunt, groſsè veſtiuntur, multùm laborant, parum loquuntur, diu vigilant, maturè ſurgunt, orationes prolongant, frequenter legunt, & ſe in omni diſciplina cuſtodiunt. Attende Carthuſienſes, Ciſtertienſes, & diuerſæ religionis monachos ac moniales: qualiter omni nocte, ad pſallendum Domino aſſurgunt. Et ideo turpe eſſet, vt tu deberes in tam ſancto opere pigritare: vbi tanta multitudo religioſorum, incipit Deo iubilare.

**9. O ſi nihil aliud faciendum incumberet, niſi Dominum Deum noſtrum, toto corde & ore laudare? O ſi nunquam indigeres comedere, nec bibere, nec dormire: ſed ſemper poſſes Deũ laudare, & ſolummodò ſpiritualibus ſtudijs vacare: tunc multò felicior eſſes quàm modò, cùm carni ex qualicunque neceſſitate ſeruis.**

ἀφθόνως ἐκεῖ εὑρήσει, καὶ οὐ δεῖται, ἔξω τοῦ Ἰησοῦ βέλτιόν τι ζητεῖν. ὄφελον ὁ χριστὸς ὁ σταυρωθεὶς εἰς τὴν καρδίαν ἡμῶν ἤρχετο, ὡς ταχέως, καὶ ἐξαρκούντως παιδευθείημεν ἄν;

ζ. Ὁ μὲν θερμὸς ἀσκητὴς, πάντα τὰ προστεταγμένα καλῶς φέρει καὶ χωρεῖ. ὁ δ' ἀμελὴς καὶ χλιαρὸς θλῖψιν ἐπὶ θλῖψιν ἔχει, καὶ πανταχόθεν στενοχωρεῖται, ὅτι τῆς παραμυθίας τῆς εἴσω ἀπορεῖ, καὶ τὴν ἔξω ζητεῖν κωλύεται. Ἀσκητὴς ὁ χωρὶς παιδείας ὤν, δεινῇ συμφορᾷ περιπίπτειν κινδυνεύει. Ὁ τὰ χαλαστότερα καὶ χαυνότερα ἐπιζητῶν, ἀεὶ θλιφθήσεται ὅτι ἄρτι μὲν τοῦτο, ἄρτι δ' ἐκεῖνο ἀπαρέσει.

η. Πῶς πράττουσι τοσοῦτοι ἄλλοι ἀσκηταὶ οἱ τῇ παιδεύσει μοναστικῇ ἀκριβῶς κατακλεισθέντες; σπανίως ἐξίασι, ἰδίᾳ διάγουσιν, ἐνδεέστατον διατρέφονται, εὐτελῶς ἱματίζονται, πολλὰ κοπιάζουσιν, ὀλίγα λαλοῦσι, μακρὰν γρηγοροῦσι, πρωῒ ἐγείρονται, τὰς δεήσεις μηκύνουσι, πολλάκις ἀναγινώσκουσι, καὶ ἑαυτοὺς ἐν πάσῃ παιδείᾳ φυλάττουσιν. Ἐπιτήρει τοὺς Καρθουσιεῖς, τοὺς Κιστερκιεῖς, καὶ τοὺς τῆς διαφόρου ἀσκήσεως μοναχοὺς καὶ μοναστρίας· πῶς ἑκάστῃ νυκτὶ, τοῦ ψάλλειν τῷ κυρίῳ, ἐξεγείρονται. Καὶ διὰ τοῦτο αἰσχρὸν ἂν εἴη, ἐν τῷ οὕτως ἁγίῳ ἔργῳ σε κατοκνῆσαι, τοσούτου πλήθους τῶν ἀσκητῶν τῷ θεῷ ἀλαλάξαι ἀρχομένου.

θ. Εἴθε οὐκ ἄλλο ποιεῖν ἔδει, εἰ μὴ τὸν κύριον τὸν θεὸν ἡμῶν ὅλῃ καρδίᾳ καὶ στόματι ἐπαινεῖν. Εἴθ' οὔποτε χρείαν εἶχες τοῦ φαγεῖν, οὔτε τοῦ πιεῖν, οὔτε τοῦ καθεύδειν, ἀλλ' ἀεὶ οἷός τ' ἦς τὸν θεὸν αἰνεῖν, καὶ μόνον τοῖς τοῦ πνεύματος σπουδάζειν. τότε πολλῷ εὐτυχέστερος ἂν ἐγίνου, ἢ νῦν τῇ σαρκὶ ἐξ ὁποιασοῦν ἀνάγκης δου-

λεύων

ſeruis. Vtinam non eſſent iſtæ neceſſitates, ſed ſolummodò ſpirituales animæ refectiones, quas (heu) ſatis rarò deguſtamus.

10. Quando homo ad hoc peruenit, quòd de nulla creatura conſolationem ſuam quærit, tunc ei Deus primò perfectè ſapere incipit: tunc etiam bene contentus de omni euentu rerum erit. Tunc nec pro magno lætabitur; nec pro modico contriſtabitur: ſed ponit ſe integrè & fiducialiter in Deo, qui eſt ei omnia in omnibus: cui nihil vtique perit nec moritur, ſed omnia ei viuunt, & ad nutum incunctanter deſeruiunt.

11. Memento ſemper finis, & quia perditum non redit tempus. Sine ſollicitudine & diligentis, nunquam acquires virtutes. Si incipis tepeſcere, incipies malè habere. Si autem dederis te ad feruorem, inuenies magnam pacem, & ſenties leuiorem laborem propter Dei gratiam, & virtutis amorem. Homo feruidus & diligens, ad omnia eſt paratus. Maior labor eſt reſiſtere vitijs & paſſionibus, quàm corporalibus inſudare laboribus. Qui paruos non vitat defectus, paulatim labitur ad maiores. Gaudebis ſemper veſpere, ſi diem expendas fructuosè. Vigila ſuper teipſum, excita teipſum, admone teipſum; & quicquid de alijs ſit, non negligas teipſum. Tantùm proficies, quantùm tibiipſi vim intuleris. Amen.

FINIS.

LIBER

Digitized by Google

χεύων. Οφελον οὐκ ἦσαν αὗται ἀνάγκαι, ἀλλὰ μόνον αἱ τῆς ψυχῆς ἀναλήψεις πνευματικαί, ἃς, αἴ, αἴ, πάνυ σπανίως γευόμεθα.

ί. Ηνίκα ὁ ἄνθρωπος εἰς τοῦτο ἐλήλυθεν, ὥστε ἐκ μηδεμιᾶς κτίσεως παραμυθίαν αὐτοῦ ζητεῖν, τότε ὁ θεὸς αὐτῷ τελείως ἡδὺς γίνεται. τότε καὶ πᾶσαν ἡ τῶν πραγμάτων φορᾷ ἀγαπήσῃ. τότε μήτε ἐπὶ τῷ μεγάλῳ χαιρήσεται, μήτ' ἐπὶ τῷ σμικρῷ λυπηθήσεται, ἀλλὰ παντελῶς καὶ πεποιθότως ἑαυτὸν τῷ θεῷ ἐπιτρέπει, ὅς αὐτῷ τὰ πάντα ἐν πᾶσίν ἐστιν· ᾧτινι μὲν δήπου μηδὲν ἀπόλλυται, μήτ' ἀποθνήσκει, πάντα δ' αὐτῷ ζῇ, καὶ εἰς νεῦμα εὐθέως δουλεύει.

ια. Μέμνησο ἀεὶ τοῦ τέλους, καὶ ὅτι ὁ χρόνος ἀπολωλὼς οὐκ ἀναστρέφει. Αμερίμνως, καὶ ὀλιγώρως ἔχων οὐδέποτε τῶν ἀρετῶν ἐπιτεύξῃ. Εἰ ἄρχῃ χλιαίνεσθαι, ἄρξῃ κακῶς ἔχειν· εἰ δὲ σεαυτὸν τῇ θερμότητος σπουδάσῃς, εὑρήσεις μεγάλην εἰρήνην, καὶ διὰ τὴν τοῦ θεοῦ χάριν, καὶ τὴν φιλαρετίαν, τοῦ πόνου κουφοτέρου αἰσθήσῃ. Ανθρωπος θερμὸς καὶ ἐπιμελής, πρὸς πάντα πρόθυμος ὑπάρχει. μείζων πόνος ἐστὶ ταῖς κακίαις καὶ τοῖς πάθεσιν ἀντιστατεῖν, ἢ τοῖς σωματικοῖς πόνοις ἐνδιατρίβειν. Ος τὰ μικρὰ ἐλλείμματα οὐκ εὐλαβεῖται, ἠρέμα εἰς τὰ μείζω καταφέρεται. χαρήσῃ ἀεὶ τῆς ἑσπέρας γινομένης, εἰ τὴν ἡμέραν ὠφελίμως διατρίβεις. γρηγόρει ἐπὶ σεαυτόν, ἔγειρε σεαυτόν, παραίνει σεαυτόν, καὶ ὅ,τι ἂν τοῖς ἄλλοις γένηται, μὴ ἀμέλει σεαυτοῦ. Τοσοῦτον προκόψεις, ὅσον ἂν σεαυτὸν βιάσῃ. Αμήν.

Τέλος.

BIBΛΙ.

# LIBER SECVNDVS.

## CAP. I.

### *De interna conuerſatione.*

REGNVM Dei, intra vos eſt, dicit Dominus. Conuerte te ex toto corde tuo ad Dominum: & relinque hunc miſerum mundum, & inueniet anima tua requiem. Diſce exteriora contemnere, & ad interiora te dare, & videbis regnum Dei in te venire. Eſt enim regnum Dei, pax & gaudium in Spiritu ſancto, quod non datur impijs. Veniet ad te Chriſtus, oſtendens tibi conſolationem ſuam: ſi dignam illi ab intus, paraueris manſionem. Omnis gloria eius & decor ab intrà eſt, & ibi complacet ſibi. Frequens illi viſitatio cum homine interno, dulcis ſermocinatio, grata conſolatio, multa pax, familiaritas ſtupenda nimis.

2. Eia anima fidelis, præpara huic ſponſo cor tuum: quatenus ad te venire, & in te habitare dignetur. Sic enim dicit: Si quis diligit me, ſermonem meum ſeruabit, & ad eum veniemus, & manſionem apud eum faciemus. Da ergo Chriſto locum, & cæteris omnibus nega introitum. Cùm Chriſtum habueris, diues es, & ſufficit tibi. Ipſe erit prouiſor tuus, & fidelis procurator in omnibus, vt non ſit opus in hominibus ſperare. Homines enim citò mutantur, & deficiunt velociter: Chriſtus autem manet in æternum, & aſtat vſque in finem firmiter.

3. Non

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

## Κεφάλαιον α'.

### Περὶ τῆς ἀναστροφῆς τῆς ἔσω.

α'. Η βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστι, λέγει ὁ κύριος. ἐπίστρεψον πρὸς τὸν κύριον ἐξ ὅλης καρδίας, καὶ κατάλιπε τοῦτον τὸν ταλαίπωρον κόσμον, καὶ εὑρήσει ἡ ψυχή σου ἀνάπαυσιν. Μάνθανε τῶν ἔξω καταφρονῆσαι, καὶ τοῖς ἐντὸς σχολάσαι, καὶ ὄψει τὴν βασιλείαν τοῦ Θεοῦ εἰς σὲ ἐρχομένην. ἡ γὰρ βασιλεία τοῦ Θεοῦ ἐστιν ἡ εἰρήνη, καὶ ἡ χάρις ἐν πνεύματι ἁγίῳ, ἥτις τοῖς ἀσεβέσιν οὐ δίδοται. ἐλεύσεται πρός σε ὁ Χριστὸς, δεικνύων σοι τὴν αὐτοῦ παράκλησιν, ἐὰν αὐτῷ ἀξίαν μονὴν ἐντὸς ἑτοιμάσῃς· πᾶσα γὰρ ἡ δόξα καὶ τὸ κάλλος αὐτοῦ ἔσωθέν ἐστι, καὶ ἐκεῖ εὐδοκεῖ. συχνὴ αὐτῷ ἐπίσκεψις σὺν ἐνδοτέρῳ ἀνθρώπῳ, ἡδὺς ὁμιλία, χαρίεσσα παράκλησις, πολλὴ εἰρήνη, οἰκειότης ἄγαν θαυμασία.

β'. Ἄγε δὴ, ὦ πιστὴ ψυχὴ, ἑτοίμασον τούτῳ τῷ νυμφίῳ τὴν καρδίαν σου, ὅπως πρός σε ἐλθεῖν, καὶ ἔν σοι κατοικεῖν ἀξιώσῃ. Οὕτω γὰρ λέγει· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Δὸς οὖν τόπον τῷ Χριστῷ, καὶ πᾶσιν τοῖς ἄλλοις τὴν εἴσοδον ἀνάνευσον. εἰ τὸν Χριστὸν ἕξεις, πλουτεῖς, καὶ ἀρκεῖ σοι. αὐτὸς γὰρ προνοητὴς καὶ πιστὸς ἐπιμελητής σου ἔσται, ὥστε μὴ ἐπάναγκες εἶναι, ἐπὶ τοῖς ἀνθρώποις ἐλπίσαι. Οἱ γὰρ ἄνθρωποι εὐθέως ἀλλάττονται, καὶ ταχέως ἐκλείπουσιν· ὁ δὲ χριστὸς εἰς αἰῶνα μένει, καὶ μέχρι τέλους βεβαίως παρίσταται.



Digitized by Google

3. Non eſt magna fiducia ponenda, in homine fragili & mortali, etiam ſi utilis ſit & dilectus: neque triſtitia multa ex hoc capienda, ſi interdum aduerſetur & contradicat. Qui hodie tecum ſunt, cras contrariari poſſunt, & è conuerſo, ſæpe vt aura vertuntur. Pone totam fiduciam tuam in Deo, & ſit ipſe timor tuus & amor tuus. Ipſe pro te reſpondebit, & faciet bene, ſicut meliùs fuerit. Non habes hic manentem ciuitatem; & vbicunque fueris, extraneus es & peregrinus: nec requiem aliquando habebis, niſi Chriſto intimè fueris vnitus.

4. Quid hîc circumſpicis, cùm iſte non ſit locus tuæ requietionis? In cæleſtibus debet eſſe habitatio tua, & ſicut in tranſitu, cuncta terrena ſunt aſpicienda. Tranſeunt omnia, & tu cum eis pariter. Vide, vt non inhæreas; ne capiaris, & pereas. Apud altiſſimum ſit cogitatio tua: & deprecatio tua ad Chriſtum, ſine intermiſſione dirigatur. Si neſcis ſpeculari alta & cæleſtia, requieſce in paſſione Chriſti; & in ſacris vulneribus eius, libenter habita. Si enim ad vulnera, & pretioſa ſtigmata Ieſu, deuotè confugis, magnam in tribulatione confortationem ſenties: nec multum curabis hominum deſpectiones, faciliterque verba detrahentia perferes.

5. Chriſtus fuit etiam in mundo ab hominibus deſpectus: & in maxima neceſſitate, à notis & amicis, inter opprobria derelictus. Chriſtus pati voluit & deſpici, & tu audes de aliquo conqueri? Chriſtus habuit aduerſarios & obloqu-

γ΄. Οὐ δεῖ πολλὴν ἐλπίδα ἔχειν ἐπ᾽ ἄνθρωπον ἀσθενῆ καὶ θανάσιμον, καίπερ χρήσιμον καὶ ἀγαπητὸν ὄντα· οὐδὲ σφόδρα λυπεῖσθαι ἐπὶ τῷ αὐτόν ποτε ἐναντιοῦσθαι καὶ ἀντιλέγειν ἡμῖν. Οἱ σήμερον μετὰ σοῦ γινόμενοι, αὔριον ἀντιτάττεσθαι δύνανται, καὶ ἐξεναντίας, πολλάκις ὡς αὖρα στρέφονται. ὅλην τὴν ἐλπίδα σου θὲς ἐν τῷ θεῷ, καὶ αὐτὸς ὁ φόβος καὶ ὁ ἔρως σου ἔστω· αὐτὸς ὑπὲρ σοῦ ἀπολογήσεται, καὶ ποιήσει καθὼς ἂν βέλτιον ᾖ. Οὐκ ἔχεις ὧδε μένουσαν πόλιν, καὶ ὅπου ἂν ᾖς, ἀλλοδαπὸς καὶ ξένος εἶ· καὶ οὐδέποτε ἡσυχίαν ἕξεις, ἐὰν μὴ τῷ Χριστῷ ἐνδότατον ἑνωθῇς.

δ΄. Τί ἐνταῦθα περιβλέπεις, τούτου τόπου τῆς ἀναπαύσεώς σου οὐκ ὄντος; ἐν τοῖς ἐπουρανίοις δεῖ τὴν οἴκησίν σου εἶναι, καὶ ὡς ἐν παρόδῳ πάντα ἐπίγεια ἐπιβλέπειν. πάντα παρέρχεται, καὶ σὺ ἅμα μετ᾽ αὐτῶν· πρόσεχε μὴ προσκολλᾶσθαι, ἵνα μὴ ἁλοὺς ἀπόλῃ. Η διάνοιά σου παρὰ τῷ ὑψίστῳ ᾖ, καὶ ἡ δέησίς σου πρὸς τὸν Χριστὸν ἀδιαλείπτως κατευθύνηται. εἰ οὐ δύνῃ τὰ ὑψηλὰ καὶ τὰ οὐράνια θεωρεῖν, ἐν τοῖς τοῦ Χριστοῦ πάθεσι ἀναπαύου, καὶ ἐν τοῖς ἁγίοις τραύμασιν αὐτοῦ ἀσμένως κατοίκει. Εὰν γὰρ εἰς τὰ τραύματα καὶ πολυτελῆ στίγματα τοῦ Ιησοῦ θεοσεβῶς καταφύγῃ, μέγαν κρατυσμὸν ἐν τῇ θλίψει αἰσθήσῃ, καὶ οὐδέν σοι μελήσει τῆς τῶν ἀνθρώπων καταφρονήσεως, καὶ τὰς καταλαλιὰς ῥᾳδίως καρτερήσεις.

ε΄. Καὶ ὁ Χριστὸς ἐν τῷδε τῷ κόσμῳ ὑπὸ τῶν ἀνθρώπων κατεφρονήθη, καὶ ἐν μεγίστῃ ἀνάγκῃ ὑπὸ τῶν γνωστῶν τε καὶ φίλων ὀνειδισθεὶς, κατελείφθη. Ο Χριστὸς παθεῖν καὶ καταφρονηθῆναι ἠθέλησε, καὶ σὺ περὶ πράγματός τινος μέμφεσθαι τολμᾷς; ὁ Χριστὸς ἐναντίους καὶ

obloquutores,& tu vis omnes habere amicos & benefactores? Vnde coronabitur patientia tua, ſi nihil aduerſitatis occurrerit? Si nihil aduerſitatis vis pati, quomodo eris amicus Chriſti? Suſtine cum Chriſto,& pro Chriſto, ſi vis regnare cum Chriſto.

6. Si ſemel perfectè introiſſes in interiora Ieſu,& modicum de ardenti amore eius ſapuiſſes: tunc de proprio commodo vel incommodo nihil curares, ſed magis de opprobrio illato gauderes: quia amor Ieſu, facit hominem ſeipſum contemnere. Amator Ieſu & veritatis, & verus internus & liber ab affectionibus inordinatis, poteſt ſe ad Deum liberè conuertere, & eleuare ſupra ſeipſum in ſpiritu, ac fruitiuè quieſcere.

7. Cui ſapiunt omnia, prout ſunt, non vt dicuntur, aut æſtimantur; hic verè ſapiens eſt, & doctus magis à Deo, quàm ab hominibus. Qui ab intrà ſcit ambulare, & modicum ab extrà res ponderare, non requirit loca, nec expectat tempora, ad habenda deuota exercitia. Homo internus, citò ſe recolligit: quia nunquam ſe totum ad exteriora effundit. Non illi obeſt labor exterior, aut occupatio ad tempus neceſſaria: ſed ſicut res eueniunt, ſic ſe illis accommodat. Qui intùs bene diſpoſitus eſt & ordinatus, non curat mirabiles & peruerſos hominum geſtus. Tantùm homo impeditur & diſtrahitur, quantum ſibi res attrahit.

8. Si

καταλάλους εἶχε, καὶ σὺ πᾶσι φίλοις καὶ εὐεργέταις χρῆσθαι βούλει; Ὅθεν ἡ ὑπομονή σου στεφανωθήσεται, εἰ μὴ ἐναντίον τι συμβήσεται; εἰ μηδὲν ἐναντίον πάσχειν ἐθέλεις, πῶς φίλος τοῦ Χριστοῦ ἔσῃ; ἀνέχου σὺν Χριστῷ, καὶ ὑπὲρ Χριστοῦ, εἰ Χριστῷ συμβασιλεύειν βούλει.

ϛʹ. Εἰ ἅπαξ τελείως εἰσῆλθες εἰς τὰ ἐνδότερα τοῦ Ἰησοῦ, καὶ μικρόν τι περὶ τῆς περικαοῦς ἀγάπης αὐτοῦ ἤσθου, τότε τῆς ἰδίας ὠφελείας, ἢ τῆς βλάβης οὐδὲν ἂν ἐφρόντιζες, μᾶλλον δὲ τῷ γινομένῳ ὀνείδει ἔχαιρες· ὅτι ἡ τοῦ Χριστοῦ ἀγάπη, τὸ τὸν ἄνθρωπον καταφρονεῖν ἑαυτοῦ κατεργάζεται. Ὁ φιλητὴς τοῦ Ἰησοῦ καὶ τῆς ἀληθείας, καὶ ὁ περὶ τὰ ἔσω ὄντως σπουδάζων, καὶ τῶν ἀτάκτων παθῶν ἐλεύθερος ὑπάρχων, πρὸς τὸν Θεὸν ἐλευθέρως ἐπιστρέφειν, καὶ ἐν τῷ πνεύματι ἑαυτὸν αἴρειν, καὶ ἀπολαυστικῶς ἀναπαύεσθαι δύναται.

ϛʹ. Ὁ πάντα γινώσκων καθὼς εἰσιν, ἀλλ᾽ οὐ καθὼς λέγονται, ἢ δοκοῦσιν, ἀληθῶς σοφὸς, καὶ μᾶλλον ὑπὸ τοῦ Θεοῦ, ἢ ὑπὸ τῶν ἀνθρώπων πεπαιδευμένος ἐστίν. Ὁ ἔσωθεν περιπατεῖν, καὶ ὀλίγου τὰ ἔξω τιμᾶν ἐπιστάμενος, οὐ τόπους αἰτεῖ, οὐδὲ χρόνους προσδοκᾷ, τοῦ ἔχειν τὰς εὐσεβεῖς ἀσκήσεις. Ὁ ἄνθρωπος ὁ τοῖς ἔσω προσκείμενος, ἐν τάχει αὐτὸν συλλέγει, ὅτι μηδέποτε εἰς τὰ ἔξω ἑαυτὸν ἐκχέει. οὐ βλάπτει αὐτὸν ὁ πόνος ὁ ἔξω, ἢ ἀσχολία ἐπὶ χρόνον ἀναγκαία οὖσα, ἀλλὰ τοῖς πράγμασι, καθὼς συμβαίνει, αὐτὸν προσαρμόττει. Ὁ ἐντὸς καλῶς διακείμενος καὶ τεταγμένος, τῶν θαυμασίων καὶ πονηρῶν ἠθῶν τῶν ἀνθρώπων οὐδὲν φροντίζει. τόσον ἕκαστος ἐμποδίζεται, καὶ διασπᾶται, ὅσον αὐτῷ τὰ πράγματα ἐπισπᾷ.

8. Si rectè tibi eſſet, & bene purgatus eſſes, omnia tibi in bonum cederent, & profectum. Ideo multa tibi diſplicent, & ſæpe conturbant: quia adhuc non es perfectè tibiipſi mortuus, nec ſegregatus ab omnibus terrenis. Nil ſic maculat & implicat cor hominis, ſicut impurus amor in creaturis. Si renuis conſolari exteriùs, poteris ſpeculari cæleſtia, & frequenter iubilare interiùs.

## CAP. II.

### *De humili ſubmiſſione.*

1. NON magni pendas, quis pro te, vel contra te ſit: de hoc age & cura, vt Deus tecum ſit in omni re, quam facis. Habeas conſcientiam bonam, & Deus bene te defenſabit. Quem enim Deus adiuuare voluerit, nullius peruerſitas nocere poterit. Si tu ſcis tacere & pati, videbis proculdubio auxilium Domini. Ipſe nouit tempus & modum liberandi te, & ideo te debes illi reſignare. Dei eſt adiuuare, & ab omni confuſione liberare. Sæpè valdè prodeſt, ad maiorem humilitatem ſeruandam, quòd defectus noſtros alij ſciunt, & redarguunt.

2. Quando homo pro defectibus ſuis ſe humiliat, tunc faciliter alios placat, & leuiter ſatisfacit ſibi iraſcentibus. Humilem Deus protegit, & liberat: humilem diligit & conſolatur: humili homini ſe inclinat: humili largitur gratiam magnam, & poſt eius depreſſionem, leuat ad gloriam. Humili ſua ſecreta reuelat, & ad ſe dulciter trahit,

δ. Εἰ καλῶς ἔχοις, καὶ εὖ καθαρισθείης, πάντα καλῶς καὶ ὠφελίμως σοι ἂν προὐχώρει. διὰ τοῦτο πολλά σοι ἀπαρέσκει, καὶ πολλάκις σε συνταράττει, ὅτι οὔπω σοι ὅλως ἀπέθανες, οὐδὲ πάντων ἐπιγείων ἐχωρίσθης. Μηδὲν οὕτω τὴν τοῦ ἀνθρώπου καρδίαν ῥυπαίνει καὶ ἐμπλέκει, ὡς ἡ τῶν κτισμάτων ἀκάθαρτος ἀγάπη. Εἰ οὐ βούλει ἔξω παρακληθῆναι, τὰ ἐπουράνια θεωρεῖν καὶ θαμινὰ ἐντὸς ἀλαλάξασθαι δυνήσῃ.

### Κεφ. β'.

### Περὶ τῆς ταπεινῆς ὑποταγῆς.

α. ΜΗ σφόδρα μέλῃ σοι, τίς ἂν ὑπὲρ σοῦ, ἢ κατὰ σοῦ ᾖ. περὶ τούτου ἐπιμελοῦ καὶ φρόντιζε, ὅπως ὁ Θεὸς μετά σου ᾖ ἐν παντὶ πράγματι ὃ πράττεις. καλὴν συνείδησιν ἔχε, καὶ ὁ Θεὸς ὑπερασπίσει σου. ᾧ τινι γὰρ ὁ Θεὸς βοηθεῖν ἂν βουληθῇ, τοῦτον μηδενὸς κακία βλάπτειν δυνήσεται. εἰ σὺ σιωπᾷν καὶ πάσχειν ἐπίστασαι, ἀναμφισβητήτως ὄψει τὴν τοῦ κυρίου ἐπικουρίαν. αὐτὸς τόν τε χρόνον καὶ τὸν τρόπον τοῦ ῥύσασθαί σε γινώσκει, διὸ καὶ αὐτῷ σε ἐπιτρέπειν ὀφείλεις. τοῦ Θεοῦ ἐστι τὸ βοηθῆσαι, καὶ πάσης αἰσχύνης ἀπαλλάξαι. πολλάκις πρὸς τὸ μείζω ταπεινότητα τηρῆσαι ὠφέλιμόν ἐστι, τὸ ἄλλους τὰ ἐλλείμματα ἡμῶν εἰδέναι καὶ ἐλέγχειν.

β'. Ἐὰν ὁ ἄνθρωπος διὰ τὰ ἐλλείμματα ἑαυτοῦ ταπεινώσῃ ἑαυτόν, τότε ῥᾳδίως ἄλλους πραΰνει, καὶ εὐχερῶς τοὺς ὀργιζομένους κατηπιᾷ· τὸν ταπεινὸν ὁ Θεὸς διαφυλάττει καὶ ῥύεται· τὸν ταπεινὸν ἀγαπᾷ, καὶ παρακαλεῖ· πρὸς τὸν ταπεινὸν ἐγκλίνει ἑαυτόν· τῷ ταπεινῷ χάριν μεγάλην δωρεῖται, καὶ μετὰ τὴν ταπείνωσιν αὐτοῦ εἰς τὴν δόξαν ὑψοῖ· τῷ ταπεινῷ τὰ μυστήρια αὐτοῦ ἀποκαλύπτει, καὶ πρὸς ἑαυτὸν ἡδέως ἑλ-

trahit, & inuitat. Humilis, accepta confuſione, ſatis bene eſt in pace: quia ſtat in Deo, & non in mundo. Non repures te aliquid profeciſſe, niſi omnibus inferiorem te eſſe ſentias.

## Cap. III.

### *De bono & pacifico homine.*

1. TEne te primò in pace, & tunc poteris alios pacificare. Homo pacificus magis prodeſt, quàm bene doctus. Homo paſſionatus, etiam bonum in malum trahit, & faciliter malum credit. Bonus pacificus homo, omnia ad bonum conuertit. Qui bene in pace eſt, de nullo ſuſpicatur. Qui autem malè contentus eſt & commotus, varijs ſuſpicionibus agitatur: nec ipſe quieſcit, nec alios quieſcere permittit. Dicit ſæpe, quod dicere non deberet: & omittit, quod ſibi magis facere expediret. Conſiderat, quod alij facere tenentur: & negligit, quod ipſe facere tenetur. Habe ergo primò zelum ſuper teipſum, & tunc iuſtè zelare poteris etiam proximum tuum.

2. Tu bene ſcis facta tua excuſare & colorare, & aliorum excuſationes non vis recipere. Iuſtius eſſet, vt te accuſares, & fratrem tuum excuſares. Si portari vis, porta & alium. Vide, quàm longè es adhuc à vera charitate & humilitate: quæ nulli nouit iraſci, vel indignari, niſi tantùm ſibi. Non eſt magnum, cum bonis & manſuetis conuerſari, hoc enim omnibus naturaliter placet; & vnuſquiſque libenter pacem habet, & ſecum ſentientes magis diligit,

Sed

κύει ϗ καλεῖ. ὁ ταπεινὸς καταισχυνθεὶς, καλῶς εἰρηνεύει, ὅτι ἐν τῷ θεῷ, ϗ οὐκ ἐν τῷ κόσμῳ ἵσαται. μὴ νόμιζέ σε ἐπιδοῦναί τι, ἐὰν μὴ πάντων σε ἐλάττω εἶναι λογίσῃ.

## Κεφ. γ'.

### Περὶ τοῦ καλοῦ, ϗ εἰρηνοποιοῦ ἀνθρώπου.

α. ΠΡῶτον αὐτὸς εἰρήνευε, ϗ τότε σὺ ἄλλους εἰρηνοποιῆσαι δυνήσῃ. Ἄνθρωπος ὁ εἰρηνοποιὸς πεπαιδευμένου ὠφελιμώτερός ἐστιν. Ὁ ἐμπαθὴς ἄνθρωπος, ϗ τὸ ἀγαθὸν εἰς τὸ κακὸν ἑλκύζει, ϗ ῥᾳδίως τὸ κακὸν πιστεύει. ὁ καλὸς ϗ εἰρηνοποιὸς ἄνθρωπος πάντα εἰς καλὸν μεταστρέφει· ὁ μὲν καλῶς εἰρηνεύων, μηδένα ὑποπτεύει· ὁ δ' οὐκ ἀγαπήτως ἔχων ϗ διαπαραχθεὶς, παντοίαις ὑποψίαις σαλεύεται, αὐτὸς οὐχ ἡσυχάζων, οὐδ' ἄλλους ἡσυχάζειν ἐῶν. πολλάκις λέγει, ὅ,τι οὐκ ἂν ἔδει λέγεσθαι, ϗ ὅ,τι πραττόμενον, μᾶλλον αὐτῷ συνέφερε, παραλείπει. λογίζεται τὸ τοῖς ἄλλοις ποιητέον, ϗ τῶν δεόντων πράττειν ἀμελεῖ. πρῶτον οὖν ζήλωσον σεαυτῷ, ϗ τότε δικαίως τῷ πλησίον ζηλῶσαι δυνήσῃ.

β'. Γινώσκεις μὲν ὑπὲρ τῶν πράξεών σου καλῶς ἀπολογεῖσθαι, ϗ προφασίζεσθαι, τὰς δὲ τῶν ἄλλων ἀπολογίας ἀποδέχεσθαι οὐκ ἐθέλεις. δικαιότερον ἂν ἐγίνετο, εἰ κατηγόρεις σου, ϗ τῷ ἀδελφῷ σου συνηγόρεις. ἐὰν βουληθῇς βαστάζεσθαι, ϗ βάστασον ἄλλον. Ὅρα ὡς ἔτι πόῤῥω γίνῃ τῆς ἀληθοῦς ἀγάπης, ϗ τῆς ταπεινότητος, τοῦ μηδενὶ ὀργίζεσθαι, ἢ χαλεπαίνειν, εἰ μὴ ἑαυτῇ, ἐπισταμένης. οὐ μέγα τι τοῖς ἀγαθοῖς ϗ πρᾴοις ὁμιλεῖν, τοῦτο γὰρ πᾶσι φυσικῶς ἀρέσκει, ϗ ἕκαστος ἀσμένως εἰρηνεύει, ϗ τοὺς ὁμογνωμονοῦντας ἀγαπᾷ.



Digitized by Google

Sed cum duris & peruerſis, aut indiſciplinatis, aut nobis contrariantibus, pacificè poſſe viuere, magna gratia eſt, & laudabile nimis virileque factum.

3. Sunt, qui ſeipſos in pace tenent, & cum alijs etiam pacem habent. Et ſunt, qui nec pacem habent, nec alios in pace dimittunt: alijs ſunt graues, ſed ſibi ſemper grauiores. Et ſunt, qui ſeipſos in pace retinent, & ad pacem alios reducere ſtudent. Eſt tamen tota pax noſtra in hac miſera vita, potiùs in humili ſufferentia ponenda, quàm in non ſentiendo contraria. Qui meliùs ſcit pati, maiorem tenebit pacem. Iſte eſt victor ſui & dominus mundi, amicus Chriſti & hæres cæli.

## CAP. IV.

### *De pura mente, & ſimplici intentione.*

1. DVabus alis, homo ſubleuatur à terrenis, ſimplicitate ſcilicet & puritate. Simplicitas debet eſſe in intentione: puritas in affectione. Simplicitas intendit Deum, puritas apprehendit, & guſtat. Nulla bona actio te impediet, ſi liber intùs ab inordinato affectu fueris. Si nihil aliud, quàm Dei beneplacitum, & proximi vtilitatem intendis & quæris, interna libertate perfrueris. Si rectum cor tuum eſſet, tunc omnis creatura ſpeculum vitæ, & liber ſanctæ doctrinæ eſſet. Non eſt creatura tam parua & vilis, quæ Dei bonitatem non repræſentet.

2. Si tu eſſes intùs bonus & purus, tunc omnia ſine impedimento videres, & bene caperes. Cor purum

τοῖς δὲ σκληροῖς καὶ διεστραμμένοις, ἢ ἀκολάστοις ἢ ἡμῖν ἐναντιουμένοις εἰρηνικῶς συνδιάγειν δύνασθαι, μεγάλη χάρις, καὶ πάνυ ἐπαινετὸν καὶ ἀνδρῶδες ἔργον ἐστίν.

γʹ. Εἰσί τινες, οἳ πρὸς ἑαυτοὺς εἰρηνεύουσι, καὶ πρὸς ἄλλους εἰρήνην ἄγουσιν. ἔτι δέ εἰσιν οἳ οὐκ εἰρηνεύουσιν, οὐδὲ τοῖς ἄλλοις τὴν εἰρήνην συγχωροῦσιν· ἄλλοις μὲν δεινοὶ, ἑαυτοῖς δὲ ἀεὶ δεινότεροί εἰσι. καί εἰσιν, οἳ τὴν ἰδίαν εἰρήνην τηροῦσι, καὶ τοὺς ἄλλους διαλλάττειν σπουδάζουσιν. Ὅλη μέντοι εἰρήνη ἡμῶν ἡ ἐν τῷδε τῷ ταλαιπώρῳ βίῳ, μᾶλλόν ἐστιν ἐν τῷ ταπεινῶς ἀνέχεσθαι, ἢ ἐν τῷ μὴ πάσχειν. ὁ βέλτιον γινώσκων παθεῖν, μείζονα εἰρήνην ἕξει. οὗτος ἑαυτοῦ κρατεῖ, καὶ τοῦ κόσμου κυριεύει, χριστοφιλὴς καὶ κληρονόμος τοῦ οὐρανοῦ τυγχάνων.

## Κεφ. δʹ.

### Περὶ τῆς καθαρᾶς διανοίας καὶ ἁπλῆς προαιρέσεως.

αʹ. Δυσὶ πτέρυξιν ὁ ἄνθρωπος ἀπὸ τῶν ἐπιγείων ἀναίρεται, τῇ δήπου ἁπλότητι, καὶ τῇ καθαρότητι. καὶ τὴν μὲν ἁπλότητα τῇ προαιρέσει, τὴν δὲ καθαρότητα τῇ διαθέσει χρὴ ἐνεῖναι. ἡ ἁπλότης τὸν θεὸν προτίθεται, ἡ καθαρότης τοῦ αὐτοῦ ἐπιλαμβάνεται καὶ γεύεται. εἰ ἔσω ἐλεύθερος τῆς ἀτάκτου διαθέσεως ἔσῃ, οὐδεμία σε πρᾶξις ἐμποδίσει. εἰ μηδὲν ἄλλο, ἢ τὴν τοῦ θεοῦ εὐδοκίαν, καὶ τὴν τοῦ πλησίον ὠφέλειαν προτίθεσαι καὶ ζητεῖς, τῆς ἐντὸς ἐλευθερίας ἀπολαύσεις. εἰ ἡ καρδία σου ὀρθὴ ἦν, τότε πᾶσα κτίσις κάτοπτρον τῆς ζωῆς, καὶ βιβλίον τῆς ἁγίας διδαχῆς ἂν ἐγίνετο. οὐκ ἔστι κτίσις οὕτω μικρὰ καὶ εὐτελὴς, ἥπερ τὴν τοῦ θεοῦ ἀγαθότητα οὐκ ἂν ὑποτυπώσῃ.

βʹ. Εἰ σὺ ἔνδον ἦς ἀγαθὸς καὶ καθαρὸς, τότε πάντα ἀνεμποδίστως ἂν ἔβλεπες, καὶ καλῶς ἐχώρεις. καρδία

καθαρὰ

purum, penetrat cælum & infernum. Qualis vnuſquiſque intus eſt, taliter iudicat exteriùs. Si eſt gaudium in mundo, hoc vtique poſſidet puri cordis homo: Et ſi eſt alicubi tribulatio & anguſtia, hoc meliùs nouit mala conſcientia. Sicut ferrum miſſum in ignem, amittit rubiginem, & totum candens efficitur: ſic homo integrè ad Deum ſe conuertens, à torpore exuitur, & in nouum hominem tranſmutatur.

3. Quando homo incipit tepeſcere, tunc paruum metuit laborem, & libenter externam accipit conſolationem. Sed quando perfectè incipit ſe vincere, & viriliter in via Dei ambulare: tunc minùs ea reputat, quæ ſibi priùs grauia eſſe ſentiebat.

## CAP. V.

### *De propria conſideratione.*

1. NON poſſumus nobis ipſis nimis credere, quia ſæpè gratia nobis deeſt, & ſenſus. Modicum lumen eſt in nobis, & hoc citò per negligentiam amittimus. Sæpe etiam non aduertimus, quòd tam cæci intus ſumus. Sæpe malè agimus, & peiùs excuſamus. Paſſione interdum mouemur, & zelum putamus. Parua in alijs reprehendimus, & noſtra maiora pertranſimus. Satis citò ſentimus & ponderamus, quid ab alijs ſuſtinemus: ſed quantum alij de nobis ſuſtinent, non aduertimus. Qui bene & rectè ſua ponderaret, non eſſet, quod de alio grauiter iudicaret.

2. Internus homo, ſuiipſius curam, omnibus curis anteponit. Et qui ſibiipſi diligenter in-

καθαρὰ, τὸν οὐρανὸν καὶ τὸν ᾅδην διέρχεται. Ὁποῖός τις ἕκαστος ἐντός ἐστι, τοιούτως καὶ ἐκτὸς κρίνει. εἰ ἐν τῷ κόσμῳ χαρὰ γίνεται, ταύτην δήπου ὁ ἄνθρωπος τῇ καρδίᾳ καθαρὸς κτᾶται· καὶ εἰ ἐνιαχοῦ θλίψις καὶ στενοχωρία ἐστι, τοῦτο ἡ κακὴ συνείδησις ἀκριβῶς γινώσκει. ὥσπερ ὁ σίδηρος εἰς τὸ πῦρ βληθεὶς ἀποβάλλει τὸν ἰὸν, καὶ ὅλος διαπυροῦται· οὕτως ὁ ἄνθρωπος πρὸς τὸν θεὸν παντελῶς ἐπιστρεφόμενος τῆς χλιαρότητος ἀπαλλάττεται, καὶ εἰς καινὸν ἄνθρωπον μεταμορφοῦται.

γ'. Ὅτε ὁ ἄνθρωπος χλιαίνεσθαι ἄρχεται, τότε μικρὸν πόνον φοβεῖται, καὶ παραμυθίαν τὴν ἔξω λαμβάνων χαίρει· ἡνίκα δὲ τελείως ἑαυτοῦ κρατεῖν, καὶ ἐν τῇ τοῦ θεοῦ ὁδῷ ἀνδρειωδῶς πορεύεσθαι ἐπιχειρεῖ, τότε ὀλίγον φροντίζει τούτων, ἅτινα πρότερον αὐτῷ δεινὰ ἐδόκει.

## Κεφ. ε'.

### Περὶ τῆς ἰδίας σκοπήσεως.

α'. Ἡμῖν αὐτοῖς ἄγαν πιστεύειν οὐ δυνάμεθα, ὅτι τῆς χάριτος καὶ τοῦ νοῦ πολλάκις ἀποροῦμεν. μικρὸν φῶς ἐν ἡμῖν ἐστι, καὶ τοῦτο ταχέως δι' ἀμέλειαν ἀποστερούμεθα. ἔτι δὲ πολλάκις οὐκ αἰσθανόμεθα, ὅτι οὕτω τυφλοὶ ἐντός ἐσμεν. πολλάκις φαῦλα πράττομεν, καὶ περὶ αὐτῶν κάκιον ἀπολογούμεθα. τῷ πάθει ἐνίοτε ἐπαγόμεθα, καὶ ζῆλον εἶναι ἡγούμεθα. Τὰ μικρὰ τοῖς ἄλλοις ἐπιτιμῶμεν, καὶ τὰ μείζω ἡμῶν πάριμεν. παραυτίκα μὲν αἰσθανόμεθα καὶ σκοπούμεθα, τί ὑπ' ἄλλων κακοπαθοῦμεν. ὅσον δ' ἄλλοι παρ' ἡμῶν ἀνέχονται, οὐκ ἐννοοῦμεν. ὃς καλῶς καὶ ὀρθῶς τὰ αὑτοῦ ἐσκοπεῖτο, οὐκ εἰκότως ἂν περὶ τοῦ ἄλλου δεινῶς ἔκρινεν.

β'. Ὁ ἔσω ἄνθρωπος τὴν ἑαυτοῦ ἐπιμέλειαν πασῶν φροντίδων προαιρεῖται· καὶ ὁ αὑτῷ τὸν νοῦν ἀκρι-

βῶς

ter intendit, faciliter de alijs tacet. Nunquam eris internus & deuotus, niſi de alienis ſilueris, & ad teipſum ſpecialiter reſpexeris. Si tibi & Deo totaliter intendis, modicum te mouebit, quod foris percipis. Vbi es, quando tibiipſi præſens non es? Et quando omnia percurriſti, quid (te neglecto) profeciſti? Si debes habere pacem & vnionem veram: oportet, quòd totum adhuc poſtponas, & te ſolum præ oculis habeas.

3. Multùm proinde proficies, ſi te feriatum ab omni temporali cura conſerues. Valde deficies, ſi aliquid temporale reputaueris. Nil magnum, nil altum, nil gratum, nil acceptum tibi ſit, niſi purè Deus, aut de Deo ſit. Totum vanum exiſtima, quidquid conſolationis occurrit de aliqua creatura. Amans Deum anima, ſub Deo deſpicit vniuerſa. Solus Deus æternus & immenſus, implens omnia, ſolatium animæ, & vera cordis lætitia.

## Cap. VI.

### *De lætitia bonæ conſcientiæ.*

1. Gloria boni hominis, teſtimonium bonæ conſcientiæ. Habe bonam conſcientiam, & habebis ſemper lætitiam. Bona conſcientia, valde multa poteſt portare, & valde læta eſt inter aduerſa. Mala conſcientia, ſemper timida eſt & inquieta. Suauiter requieſces, ſi cor tuum te non reprehenderit. Noli lætari, niſi quum benefe-

Digitized by Google

βῶς προσέχων, ῥᾳδίως περὶ τῶν ἄλλων σιωπᾷ. οὐδέποτε πνευματικὸς καὶ εὐλαβὴς ἄνθρωπος ἔσῃ, εἰ μὴ περὶ τῶν ἀλλοτρίων σιγήσῃς, πρὸς σεαυτὸν ἰδίως ἀποβλέπων· εἰ τὴν γνώμην σεαυτῷ καὶ τῷ θεῷ παντάπασιν ἐπέχεις, μικρόν σε κινήσῃ, ὅπερ ἔξω αἰσθάνῃ. ποῦ εἶ, σεαυτῷ οὐ παρών; καὶ πάντα διαδραμών, τί ὠφεληθῇς, σοῦ ἀμελήσας; εἰ χρή σε εἰρήνην καὶ ἀληθινὴν ἕνωσιν κτήσασθαι, ἀναγκαῖόν ἐστι πάντων σε ὀλιγωροῦντα σεαυτὸν μόνον πρὸ ὀφθαλμῶν ἔχειν.

γʹ. Πολὺ τοίνυν ἐπιδώσῃς, σεαυτὸν πάσης φροντίδος προσκαίρου ἀπαλλαγέντα διαφυλάττων· πολὺ δὲ ἐλλείψεις, πρόσκαιρόν τι σκεπτόμενος. μηδὲν μέγα, μηδὲν ὑψηλὸν, μηδὲν εὐάρεστον, μηδὲν πρόσδεκτόν σοι γένοιτο, εἰ μὴ εἰλικρινῶς ὁ θεὸς, ἢ τὸ τοῦ θεοῦ. πᾶν μάταιον νόμιζε, ὅτι οὖν τῆς παραμυθίας περί τινος κτίσεως προσφέρεται. ἡ ψυχὴ ἡ θεόφιλος οὖσα, πάντων τῶν ὑπὸ τὸν θεὸν ὄντων καταφρονεῖ. μόνος ὁ θεὸς αἰώνιος, καὶ ἀμέτρητος, συμπληρῶν πάντα, τῆς ψυχῆς παράκλησις, καὶ τῆς καρδίας ἀληθὴς εὐφροσύνη ἐστί.

## Κεφ. ςʹ.

### Περὶ τῆς εὐφροσύνης τῆς ἀγαθῆς συνειδήσεως.

αʹ. Η τοῦ καλοῦ ἀνθρώπου καύχησις, τὸ μαρτύριον τῆς ἀγαθῆς συνειδήσεως ὑπάρχει. ἔχε ἀγαθὴν συνείδησιν, καὶ εὐφροσύνην ἀεὶ ἕξεις. ἡ ἀγαθὴ συνείδησις πλεῖστα καρτερεῖν δύναται, καὶ μεταξὺ τῶν ἐναντίων πάνυ χαίρει. ἡ κακὴ συνείδησις πάντοτε ἐπιδεὴς καὶ ἀνήσυχός ἐστιν. ἡδέως ἀναπαύσῃ, ἐὰν ἡ καρδία σου μὴ καταγινώσκῃ σοῦ. μὴ χαῖρε, εἰ μὴ ἀγαθοποιήσας. οἱ κακοὶ οὐδέποτε τὴν

ἀληθι-

Digitized by Google

beneſeceris. Mali nunquam habent veram lætitiam, nec internam ſentiunt pacem: quia non eſt pax impijs, dicit Dominus. Et ſi dixerint: In pace ſumus, non venient mala ſuper nos: & quis nobis nocere audebit? Ne credas eis: quoniam repentè exurget ira Dei, & in nihilum redigentur actus eorum, & cogitationes eorum peribunt.

2. Gloriari in tribulatione, non eſt graue amanti: ſic enim gloriari, eſt gloriari in cruce Domini. Breuis gloria, quæ ab hominibus datur, & accipitur. Mundi gloriam, ſemper comitatur triſtitia. Bonorum gloria, in conſcientijs eorum, & non in ore hominum. Iuſtorum lætitia, de Deo, & in Deo eſt: & gaudium eorum, de veritate. Qui veram & æternam gloriam deſiderat, temporalem non curat. Et qui temporalem requirit gloriam, aut non ex animo contemnit, minùs amare conuincitur cæleſtem. Magnam habet cordis tranquillitatem, qui nec laudes curat, nec vituperia.

3. Facilè erit contentus & pacatus, cuiùs conſcientia munda eſt. Non es ſanctior, ſi laudaris; nec vilior, ſi vituperaris. Quod es, hoc es; nec maior dici vales, quàm (Deo teſte) ſis. Si attendis, quid apud te ſis intùs, non curabis, quid de te loquantur homines foris. Homo videt in facie, Deus autem in corde. Homo conſiderat actus, Deus vero penſat intentiones. Bene ſemper agere, & modicum de ſe tenere, humilis animæ indicium

Digitized by Google

ἀληθινὴν εὐφροσύνην ἔχουσιν, οὐδὲ τῆς εἰρήνης τῆς ἐντὸς αἰσθάνονται· ὅτι οὐκ ἔστι εἰρήνη τοῖς ἀσεβέσι, λέγει ὁ κύριος. Καὶ ὅταν λέγωσιν, ἐν εἰρήνῃ ἐσμέν, οὐχ ἥξει κακὰ ἐφ' ἡμᾶς· καὶ τίς ἡμᾶς βλάπτειν τολμήσει; μὴ πίστευε αὐτοῖς, ὅτι ἐξαίφνης ἀναστήσεται ἡ ὀργὴ τοῦ θεοῦ, καὶ αἱ πράξεις αὐτῶν ἐξουδεναθήσονται, καὶ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν.

β. Ἐν τῇ θλίψει καυχᾶσθαι, τῷ ἀγαπῶντι οὐ χαλεπόν ἐστιν. οὕτω γὰρ καυχᾶσθαι, καυχᾶσθαί ἐστιν ἐν τῷ τοῦ κυρίου σταυρῷ. ἡ δόξα ἡ ὑπὸ τῶν ἀνθρώπων διδομένη καὶ λαμβανομένη, ὀλιγοχρόνιός ἐστι. τῇ τοῦ κόσμου δόξῃ ἡ λύπη ἀεὶ ἕπεται. ἡ τῶν ἀγαθῶν δόξα ἐν τῇ συνειδήσει αὐτῶν, καὶ οὐκ ἐν τῷ στόματι ἀνθρώπων ἐστίν. ἡ εὐφροσύνη τῶν δικαίων περὶ τοῦ θεοῦ, καὶ ἐν τῷ θεῷ, καὶ χαρὰ αὐτῶν ἐκ τῆς ἀληθείας γίνεται. ὁ τῆς ἀληθινῆς καὶ αἰωνίου δόξης ἐπιθυμῶν, τῆς προσκαίρου οὐ φροντίζει. καὶ ὁ τὴν πρόσκαιρον δόξαν ζητῶν, ἢ ἐκ τῆς καρδίας οὐ καταφρονῶν αὐτῆς, δῆλός ἐστι, τὴν οὐράνιον ἧττον ἀγαπῶν. μεγάλην εὐθυμίαν τῆς καρδίας ἔχει, ᾧ τινι μηδὲ τῶν ἐπαίνων, μηδὲ τῶν μέμψεων μέλει.

γ. Ῥᾳδίως ἀγαπήσει, καὶ εἰρηνεύσει ἐκεῖνος, οὗ τινος συνείδησις καθαρά ἐστιν. οὐχ ἁγιώτερος εἶ αἰνούμενος, οὐδ' εὐτελέστερος, ψεγόμενος· ὅπερ εἶ, τοῦτο εἶ, καὶ οὐ δύνῃ μείζων λέγεσθαι, ἢ, τοῦ θεοῦ μαρτυροῦντος, ὑπάρχεις. εἰ σκοπεῖς, τί ἂν πρὸς σεαυτὸν ἐντὸς γίνῃ, οὐ φροντίσεις, τί περὶ σοῦ οἱ ἄνθρωποι λαλοῦσιν ἐκτός. ὁ μὲν ἄνθρωπος ὄπτεται εἰς πρόσωπον, ὁ δὲ θεὸς ὄπτεται εἰς καρδίαν. ὁ ἄνθρωπος τὰς πράξεις σκέπτεται, ὁ δὲ θεὸς τὴν προαίρεσιν ἐξετάζει. καλῶς μὲν ἀεὶ πράττειν, καὶ περὶ ὀλίγου ἑαυτὸν ἡγεῖσθαι, ψυχῆς ταπεινῆς

τεκμή-

indicium eſt. Nolle conſolari ab aliqua creatura, magnæ puritatis, & internæ fiduciæ ſignum eſt.

4. Qui nullum extrinſecus pro ſe teſtimonium quærit, liquet quòd totaliter ſe Deo commiſit. Non enim, qui ſeipſum commendat ille probatus eſt (ait B. Paulus) ſed quem Deus commendat. Ambulare cum Deo intùs, nec aliqua affectione teneri foris, ſtatus eſt interni hominis.

## Cap. VII.

### *De amore IESV ſuper omnia.*

1. Beatus, qui intelligit, quid ſit amare Ieſum: & contemnere ſeipſum, propter Ieſum. Oportet dilectum pro dilecto relinquere, quia Ieſus vult ſolus ſuper omnia amari. Dilectio creaturæ fallax & inſtabilis: dilectio Ieſu, fidelis & perſeuerabilis. Qui adhæret creaturæ, cadet cum labili: qui amplectitur Ieſum, firmabitur in æuum. Illum dilige, & amicum tibi retine, qui omnibus recedentibus, te non relinquet, nec patietur in fine perire. Ab omnibus oportet te aliquando ſeparari ſiue velis, ſiue nolis.

2. Teneas te apud Ieſum, viuens & moriens: & illius fidelitati te committe, qui omnibus deficientibus, ſolus poteſt te iuuare. Dilectus tuus talis eſt naturæ, vt alienum non velit admittere: ſed ſolus vult cor tuum habere, & tanquam Rex in proprio throno ſedere. Si ſci-

Digitized by Google

τεκμήριόν ἐστιν. οὐ θέλειν ὑπὸ κτίσεώς τινος παρακληθῆναι, μεγάλης καθαρότητος καὶ πεποιθήσεως τοῦ ἔνδον σημεῖόν ἐστι.

δ'. Ὁ μηδεμίαν μαρτυρίαν ἑαυτῷ ἔξωθεν ζητῶν, φανερός ἐστιν ἑαυτὸν τῷ θεῷ παντελῶς ἐπιτρέψας. Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος (φησὶν ὁ μακάριος Παῦλος) ἀλλ' ὃν ὁ θεὸς συνίστησι. συμπορεύεσθαι τῷ θεῷ ἐντὸς, καὶ μηδενὶ πάθει κρατεῖσθαι ἐκτὸς, ἀνθρώπου τοῦ ἔσω κατάστασίς ἐστι.

## Κεφ. ζ'.

### Περὶ τῆς τοῦ Ἰησοῦ ἀγάπης τῆς ὑπὲρ πάντα.

α. Μακάριος ὁ συνιῶν, τί ἂν ᾖ τὸ φιλῆσαι τὸν Ἰησοῦν καὶ καταφρονῆσαι αὐτοῦ διὰ τὸν Ἰησοῦν. τὸν ἀγαπητὸν διὰ τὸν ἀγαπητὸν δεῖ καταλιπεῖν, ὅτι ὁ Ἰησοῦς μόνος ὑπὲρ πάντα ἀγαπᾶσθαι ἐθέλει. ἡ μὲν τῆς κτίσεως ἀγάπη ἀπατητική, καὶ ἀσταθής, ἡ δὲ τοῦ Ἰησοῦ ἀγάπη πιστὴ καὶ βεβαία. Ὁ τῇ κτίσει κολλώμενος, τῷ πτωσίμῳ συμπεσεῖται· ὁ τὸν Ἰησοῦν περιβάλλων, στερεωθήσεται εἰς αἰῶνα. αὐτὸν ἀγάπα, καὶ φίλον σοι συντήρει, ὃς, πάντων ἀπερχομένων, οὐ καταλείψει σε, καὶ εἰς τέλος ἀπολέσθαι οὐκ ἐάσει. ἑκοντὶ ἢ ἀκοντὶ χρὴ πάντων σέ ποτε χωρισθῆναι.

β. Τῷ Ἰησοῦ ζῶν τε καὶ θνήσκων παράμενε, καὶ τῇ αὐτοῦ πιστότητί σε ἐπίτρεπε, ὃς, πάντων ἐκλειπόντων, μόνος σοι βοηθῆσαι οἷός τε γίνεται· ὁ ἀγαπητός σου οὕτω πέφυκεν, ὥστε τὸν ἀλλότριον ἐφιέναι οὐ βούλεται· μόνος δὲ τὴν καρδίαν σου κτήσασθαι, καὶ ὥσπερ βασιλεὺς ἐν τῷ ἰδίῳ θρόνῳ καθίσαι ἐπιθυμεῖ.



Digitized by Google

Si ſcires te bene ab omni creatura euacuare, Ieſus deberet libenter tecum habitare. Penè totum perditum inuenies, quicquid extra Ieſum, in hominibus poſueris. Non confidas, nec innitaris ſuper calamum ventoſum: quia omnis caro fœnum, & omnis gloria eius, vt flos fœni cadet.

3. Citò decipieris, ſi ad externam hominum apparentiam tantum aſpexeris. Si enim tuum in alijs quæris ſolatium & lucrum, ſenties ſæpiùs detrimentum. Si quæris in omnibus Ieſum, inuenies vtique Ieſum. Si autem quæris teipſum, inuenies etiam teipſum, ſed ad tuam perniciem. Plus enim homo nocet ſibi, ſi Ieſum non quærit, quàm totus mundus, & omnes ſui aduerſarij.

## Cap. VIII.

### *De familiari amicitia IESV.*

1. Qvando Ieſus adeſt, totum bonum eſt, nec quicquam difficile videtur. Quando verò Ieſus non adeſt, totum durum eſt. Quando Ieſus intus non loquitur, conſolatio vilis eſt. Si autem Ieſus vnum tantùm verbum loquitur, magna conſolatio ſentitur. Nónne Maria Magdalena, ſtatim ſurrexit de loco, in quo fleuit, quando Martha illi dixit: Magiſter adeſt, & vocat te? Felix hora, quando Ieſus vocat de lachrymis ad gaudium ſpiritus. Quàm aridus & durus es ſine Ieſu. Quam inſipiens & vanus, ſi cupis aliquid extra Ieſum. Nónne hoc eſt maius damnum, quàm ſi totum perderes mundum?

2. Quid poteſt tibi mundus conferre, ſine Ieſu? Eſſe

Εἰ ἐγίνωσκες σεαυτὸν ἀπὸ πάσης κτίσεως κενῶσαι, ὁ Ἰησοῦς ἀσμένως ἂν μετὰ σοῦ ᾤκει. σχεδὸν εὑρήσεις ὅλον ἀπολωλὸς, ὅτι οὖν, ἂν ἔξω τοῦ Ἰησοῦ ἐν τοῖς ἀνθρώποις θῇς. μὴ πέποιθε, μήτ' ἐπερείδου τῷ καλάμῳ ὑπ' ἀνέμου σαλευομένῳ, ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου ἐκπεσεῖται.

γʹ. Ταχέως ἀπατηθήσῃ τὸ τῶν ἀνθρώπων πρόσωπον τὸ ἔξω μόνον σκεπτόμενος. εἰ γὰρ ἐν τοῖς ἄλλοις τὴν παραμυθίαν καὶ τὸ κέρδος σου ζητεῖς, πολλάκις ζημιωθήσῃ. εἰ ζητεῖς ἐν πᾶσι τὸν Ἰησοῦν, τὸν Ἰησοῦν δήπου εὑρήσεις. εἰ δὲ σεαυτὸν ζητεῖς, καὶ σεαυτὸν εὑρήσεις, ἀλλ' εἰς τὴν ἀπώλειάν σου. ὁ γὰρ ἄνθρωπος τὸν Ἰησοῦν οὐ ζητῶν, μᾶλλον ἑαυτὸν βλάπτει, ἢ ὅλος ὁ κόσμος, καὶ πάντες οἱ ἀντίδικοι αὐτοῦ.

## Κεφ. ηʹ.

### Περὶ τῆς οἰκείας φιλίας τοῦ Ἰησοῦ.

αʹ. ΤΟῦ Ἰησοῦ παραγινομένου, πᾶν ἀγαθὸν ὑπάρχει, καὶ οὐδὲν χαλεπὸν δοκεῖ. ἀπόντος δὲ τοῦ Ἰησοῦ, πᾶν σκληρὸν γίνεται. τοῦ Ἰησοῦ ἔσω οὐ λαλοῦντος, πᾶσα παραμυθία εὐτελής ἐστι. τοῦ δὲ Ἰησοῦ ἓν μόνον ῥῆμα ἔνδον λαλοῦντος, μεγάλης παρακλήσεως αἰσθανόμεθα. οὐχὶ ἡ Μαρία Μαγδαληνὴ εὐθέως ἐκ τοῦ τόπου, ἐν ᾧ ἔκλαυσεν, ἀνέστη, τῆς Μάρθας εἰπούσης· ὁ διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε; μακαρία ἡ ὥρα, ὅτε ὁ Ἰησοῦς ἀπὸ τῶν δακρύων εἰς τὴν χαρὰν τοῦ πνεύματος φωνεῖ. ὡς ξηρὸς καὶ σκληρὸς εἶ ἄνευ Ἰησοῦ; ὡς ἀσύνετος καὶ μάταιος γίνῃ ἐπιθυμῶν τινος ἔξω τοῦ Ἰησοῦ; οὐχὶ αὕτη μείζων βλάβη ἐστιν, ἢ εἰ πάντα τὸν κόσμον ἀπώλεσας;

βʹ. Τί ὁ κόσμος συμφέρειν σοι δύναται ἄνευ Ἰησοῦ

ἀπεῖναι

Digitized by Google

Eſſe ſine Ieſu, grauis eſt infernus: & eſſe cum Ieſu, dulcis paradiſus. Si fuerit tecum Ieſus, nullus poterit nocere inimicus.. Qui inuenit Ieſum, inuenit theſaurum bonum, immò bonum ſuper omne bonum. Et qui perdit Ieſum, perdit nimis multùm, & plus quàm totum mundum. Pauperrimus eſt, qui viuit ſine Ieſu: & ditiſſimus, qui bene eſt cum Ieſu.

3. Magna ars eſt, ſcire cum Ieſu conuerſari; & ſcire Ieſum tenere, magna prudentia. Eſto humilis & pacificus, & erit tecum Ieſus. Sis deuotus & quietus, & manebit tecum Ieſus. Potes fugare Ieſum, & gratiam eius perdere, ſi volueris ad exteriora declinare. Et ſi illum effugaueris & perdideris, ad quem fugies, & quem tunc quæres amicum? Sine amico, non potes bene viuere: & ſi Ieſus, non fuerit tibi præ omnibus amicus, eris nimis triſtis & deſolatus. Fatuè igitur agis, ſi in aliquo altero confidis, aut lætaris. Eligendum eſt magis, totum mundum habere contrarium, quàm Ieſum offenſum. Ex omnibus ergò charis, ſit Ieſus ſolus dilectus ſpecialis.

4. Diligantur omnes propter Ieſum, Ieſus autem propter ſeipſum. Solus Ieſus Chriſtus, ſingulariter eſt amandus: qui ſolus bonus & fidelis, præ omnibus inuenitur amicis. Propter ipſum, & in ipſo, tam amici, quàm inimici tibi ſint chari: & pro omnibus his
exoran-

ἀπεῖναι τοῦ Ἰησοῦ, δεινὸς ᾅδης ἐστί· καὶ παρεῖναι τῷ Ἰησοῦ, τερπνὸς παράδεισος τυγχάνει. παρόντος σοι τοῦ Ἰησοῦ, οὐδεὶς ἐχθρὸς κακῶσαι δυνήσεται. ὁ τὸν Ἰησοῦν εὑρίσκων, θησαυρὸν ἀγαθὸν, μᾶλλον δ' ἀγαθὸν ὑπὲρ πᾶν ἀγαθὸν εὑρίσκει. καὶ ὁ τὸν Ἰησοῦν ἀπολλύων, ἀπολλύει σφόδρα πολὺ, καὶ πλέον τοῦ ὅλου κόσμου. ἐνδεέστατος μέν ἐστιν ὁ ζῶν ἄνευ τοῦ Ἰησοῦ, πλουσιώτατος δὲ ὁ καλῶς ὢν μετὰ τοῦ Ἰησοῦ.

γ'. Μεγάλη ἐπιστήμη ἐστὶ τῷ Ἰησοῦ συνδιάγειν, καὶ ἐπίστασθαι τὸν Ἰησοῦν κρατεῖν μεγάλη φρόνησις. ἔσο ταπεινὸς καὶ εἰρηνοποιὸς, καὶ ὁ Ἰησοῦς σοι παρέσται. ἔσο εὐλαβὴς καὶ ἥσυχος, καὶ ὁ Ἰησοῦς σοι παραμενεῖ. δύνῃ μὲν τὸν Ἰησοῦν φυγαδεῦσαι, καὶ τὴν χάριν αὐτοῦ ἀπολέσαι, εἰ εἰς τὰ ἔξω ἐκκλίνειν βουλήσῃ. αὐτὸν δὲ φυγαδεύσας καὶ ἀπολέσας, πρὸς τίνα φεύξῃ, καὶ τίνα φίλον τότε ζητήσεις; ἄφιλος ὢν εὖ βιῶσαι οὐ δύνῃ, καὶ τοῦ Ἰησοῦ παρὰ πάντων φίλου σοι οὐ γινομένου, περίλυπος καὶ ἀπαράκλητος ἔσῃ. μωραίνεις οὖν, τῷ ἄλλῳ τινὶ θαῤῥῶν ἢ χαίρων. προαιρετέον μᾶλλον, ὅλον τὸν κόσμον ἀντιούμενον, ἢ τὸν Ἰησοῦν ὀργιζόμενον ἔχειν. διόπερ ἐκ πάντων ἀγαπητῶν ὁ Ἰησοῦς μόνος σοι ἰδίως ἀγαπητὸς ἔστω.

δ'. Πάντες μὲν διὰ τὸν Ἰησοῦν ἀγαπάσθωσαν, ὁ δὲ Ἰησοῦς δι' ἑαυτόν. τὸν Ἰησοῦν Χριστὸν μόνον χρὴ ὑπὲρ πάντας τοὺς ἄλλους φιλεῖν, ὃς μόνος ἀγαθὸς καὶ πιστὸς παρὰ πάντας φίλους εὑρίσκεται· δι' αὐτὸν, κἂν αὐτῷ οἱ φίλοι καὶ οἱ ἐχθροὶ ἀγαπητοὶ σοι γένοιντο· καὶ ὑπὲρ πάντων χρὴ αὐτὸν

ἱκετεύειν,

Digitized by Google

exorandus eſt, vt omnes ipſum cognoſcant & diligant. Nunquam cupias ſingulariter laudari vel amari, quia hoc ſolius Dei eſt, qui ſimilem ſibi non habet. Nec velis, quòd aliquis tecum in corde ſuo occupetur; neque tu cum alicuius occuperis amore: ſed ſit Ieſus in te, & in omni bono homine.

5. Eſto purus & liber ab intùs, ſine alicuius creaturæ implicamento. Oportet te eſſe nudum, & purum cor ad Deum gerere, ſi vis vacare & videre, quàm ſuauis ſit Dominus. Et reuera ad hoc non peruenies, niſi gratia eius fueris præuentus & intractus: vt omnibus euacuatis & licentiatis, ſolus cum ſolo vniaris. Quando enim gratia Dei venit ad hominem, tunc potens fit ad omnia. Et quando recedit, tunc pauper & infirmus erit, & quaſi tantùm ad flagella relictus. In his non debes deijci, nec deſperare; ſed ad voluntatem Dei æquanimiter ſtare, & cuncta ſuperuenientia tibi, ad laudem Ieſu Chriſti perpeti: quia poſt hyemem ſequitur æſtas; poſt noctem redit dies: & poſt tempeſtatem magna ſerenitas.

## Cap. IX.

### *De carentia omnis ſolatij.*

1. Non eſt graue, humanum contemnere ſolatium, cùm adeſt diuinum. Magnum eſt, & valde magnum, tam humano quàm diuino poſſe carere ſolatio: & pro honore Dei, libenter exilium cordis velle ſuſtinere: & in nullo ſeipſum quærere, nec ad proprium meri-

ἱκετεύειν, τοῦ πάντας αὐτὸν γνῶναι καὶ ἀγαπῆσαι. μηδέποτε ἐπιθύμει ἰδίως ἐπαινεῖσθαι, ἢ φιλεῖσθαι, ὅτι τοῦτο μόνου τοῦ θεοῦ ἐστι τοῦ ὅμοιον αὐτῷ οὐκ ἔχοντος. μὴ βούλει τὴν καρδίαν τινὸς διὰ σὲ ἄσχολον γίνεσθαι· μήτε σὺ ἄσχολος πρὸς τὸ φιλῆσαί τινα· ἀλλ' ὁ Ἰησοῦς ἐν σοὶ καὶ ἐν παντὶ ἀγαθῷ ἀνθρώπῳ ἔστω.

ε΄. Γίνου καθαρὸς, καὶ τῆς ἐπιπλοκῆς τῆς ἐν κτίσει τινὶ ἔσωθεν ἐλεύθερος. δεῖ σε γυμνὸν εἶναι, καὶ καθαρὸν τῇ καρδίᾳ τῷ θεῷ προσφέρεσθαι, εἰ ἐθέλεις σχολάσαι, καὶ ἰδεῖν ὡς χρηστός ἐστιν ὁ κύριος. Καὶ ὄντως εἰς τοῦτο οὐκ ἐλεύσῃ, εἰ μὴ τῆς χάριτος αὐτοῦ σε προφθασάσης καὶ ἑλκυσάσης, ἵνα πάντων γυμνωθεὶς, καὶ πᾶσιν ἀποταξάμενος μόνος τῷ μόνῳ συνενωθῇς. τῆς μὲν γὰρ χάριτος αὐτοῦ τῷ ἀνθρώπῳ ἐπερχομένης, εἰς πάντα αὐτὸς δυνατὸς γίνεται. αὐτῆς δὲ ἀποχωρούσης, ἀπορήσει καὶ ἀσθενήσει, ὡς μόνον εἰς τὰς μάστιγας καταλειφθείς. ἐπὶ ταύταις δ' οὐ χρή σε ἀθυμεῖν, οὐδ' ἀπογινώσκειν, ἀλλὰ τῇ τοῦ θεοῦ βουλήσει ἀνεπαχθῶς ἀγαπᾷν, καὶ πάντα τὰ ἐπερχόμενά σοι εἰς δόξαν τοῦ Ἰησοῦ Χριστοῦ ὑπομένειν· ὅτι τῷ χειμῶνι τὸ θέρος ἕπεται, μετὰ τὴν νύκτα ἡ ἡμέρα, καὶ μετὰ τὴν ζάλην μεγάλη εὐδία ἀναστρέφει.

## Κεφ. θ΄.

### Περὶ τῆς ἀπορίας πάσης παραμυθίας.

α΄. ΟΥ μὲν χαλεπὸν, τῆς ἀνθρωπίνης παραμυθίας καταφρονεῖν, παρούσης τῆς θείας. μέγα δὲ, καὶ λίαν μέγα τῆς τ' ἀνθρωπίνης καὶ τῆς θείας παρακλήσεως ἀπορεῖν δύνασθαι, καὶ ὑπὲρ τῆς τοῦ θεοῦ δόξης τὸν ἐξορισμὸν τῆς καρδίας ἀσμένως βούλεσθαι ὑπομένειν, καὶ ἐν μηδενὶ ἑαυτὸν ζητεῖν, μηδ' εἰς ἰδίαν

meritum reſpicere. Quid magni eſt, ſi hilaris ſis & deuotus, aduenıente gratia? optabilis cunctis hæc hora. Satis ſuauiter equitat, quem gratia Dei portat. Et quid mirum, ſi onus non ſentit: qui portatur ab omnipotente, & ducitur à ſummo ductore?

2. Libenter habemus aliquid pro ſolatio, & difficulter homo exuitur à ſeipſo. Vicit ſanctus martyr Laurentius ſæculum, cum ſuo ſacerdote: quia omne, quod in mundo delectabile videbatur, deſpexit: & ſummum Dei ſacerdotem Sixtum, quem maximè diligebat, pro amore Chriſti, etiam à ſe tolli clementer ferebat. Amore igitur creatoris, amorem hominis ſuperauit: & pro humano ſolatio, diuinum beneplacitum magis elegit. Ita & tu, aliquid neceſſarium, & dilectum amicum, pro amore Dei diſce relinquere. Nec grauiter feras, quum ab amico derelictus fueris, ſciens, quoniam oportet nos omnes tandem ab inuicem ſeparari.

3. Multum & diu, oportet hominem in ſeipſo certare, antequam diſcat ſeipſum plenè ſuperare, & totum affectum ſuum in Deum trahere. Quando homo ſtat ſuper ſeipſum, facilè labitur ad conſolationes humanas. Sed verus amator Chriſti, & ſtudioſus ſectator virtutum, non cadit ſuper conſolationes, nec quærit tales ſenſibiles dulcedines: ſed magis fortes exercitationes, & pro Chriſto duros ſuſtinere labores.

4. Cùm igitur ſpiritualis à Deo conſolatio datur,

ἀξίαν ἀποβλέπειν. τί μέγα ἐστὶν, ἐὰν εὔθυμος καὶ εὐλαβὴς ᾖς, ἐπερχομένης τῆς χάριτος; αὕτη ἡ ὥρα πᾶσιν εὐκταία. ἅλις ἡδέως οὗτος ἱππεύει, ὅνπερ ἡ χάρις τοῦ θεοῦ βαστάζει. Καὶ τί θαυμαστὸν, ἐὰν τοῦ φορτίου οὐκ αἰσθάνηται, ὃς ὑπὸ τοῦ παντοκράτορος βαστάζεται, καὶ ὑπὸ τοῦ ὑψίστου ἡγεμόνος ἄγεται;

β΄. Τῇ παραμυθίᾳ ἀσπασίως χρώμεθα, καὶ ὑφ' ἑαυτοῦ ὁ ἄνθρωπος χαλεπῶς ἐκδύεται. ὁ ἅγιος Λαυρέντιος ὁ μάρτυρ σὺν τῷ ἱερεῖ αὐτοῦ, τοῦ κόσμου ἐκράτησεν, ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ τερπνὸν δοκοῦν ὑπερεῖδε, καὶ τὸν ἄκρον τοῦ θεοῦ ἀρχιερέα τὸν Σίξτον, ὃν μάλιστα ἠγάπησε, διὰ τὴν χριστοφιλίαν, καὶ ἀφ' αὐτοῦ ἀφαιρεῖσθαι πράως ὑπέμεινε. τῇ οὖν ἀγάπῃ τοῦ κτίστου, τὴν τοῦ ἀνθρώπου φιλίαν ἐνίκησε, καὶ τὴν τοῦ θεοῦ εὐδοκίαν τῆς ἀνθρωπίνης παραμυθίας προὐτίμησε· τοῦτον τὸν τρόπον καὶ σὺ ἀναγκαῖόν τι, καὶ ἀγαπητόν τινα φίλον, διὰ τὴν θεοφιλίαν, καταλιπεῖν μάνθανε. μὴ δυσχέραινε παρὰ τοῦ φίλου καταλειφθεὶς, ἀλλὰ γίνωσκε, ὅτι ἡμᾶς πάντας χρὴ εἰς τέλος ἀλλήλων χωρισθῆναι.

γ΄. Πολὺ καὶ διὰ μακροῦ ὁ ἄνθρωπος πρὸς ἑαυτὸν ἀγωνίζεσθαι ὀφείλει, πρὸ τοῦ μαθεῖν ἑαυτοῦ τελείως κρατῆσαι, καὶ πᾶσαν τὴν διάθεσιν αὐτοῦ πρὸς τὸν θεὸν εὐθῦναι. ὁ μὲν ἄνθρωπος ἑαυτῷ πεποιθὼς, ῥᾳδίως εἰς τὰς ἀνθρωπίνας παρακλήσεις ὀλισθεῖ. ὁ δ' ἀληθῶς χριστόφιλος, καὶ ἀκριβῶς φιλάρετος ὢν οὐ διώκει τὰς παραμυθίας, οὐδὲ τοιαύτας ἡδύτητας αἰσθητὰς ζητεῖ, ἀλλὰ μᾶλλον χαλεπὰς ἀσκήσεις, καὶ δεινοὺς πόνους ὑπὲρ τοῦ Χριστοῦ φέρειν ἐπιθυμεῖ.

δ΄. Διόπερ ὅτι πνευματικὴ παράκλησις ἀπὸ τοῦ θεοῦ

datur, cum gratiarum actione accipe eam: ſed Dei munus intellige eſſe, non tuum meritum. Noli extolli, noli nimium gaudere, nec inaniter præſumere: ſed eſto magis humilior ex dono, cautior quoque & timoratior in cunctis actibus tuis: quoniam tranſibit hora illa, & ſequetur tentatio. Quum ablata fuerit conſolatio, non ſtatim deſperes: ſed cum humilitate & patientia, expecta cæleſtem viſitationem: quoniam potens eſt Deus ampliorem tibi redonare conſolationem. Iſtud non eſt nouum, nec alienum viam Dei expertis: quia in magnis ſanctis & in antiquis Prophetis, fuit ſæpe talis alternationis modus.

5. Vnde quidam, præſente iam gratia dicebat: Ego dixi in abundantia mea, non mouebor in æternum. Abſente verò gratia, quid in ſe fuerit expertus, adiungit dicens: Auertiſti faciem tuam à me, & factus ſum conturbatus. Inter hæc tamen nequaquam deſperat, ſed inſtantiùs Dominum rogat, & dicit: Ad te Domine clamabo, & ad Deum meum deprecabor. Denique orationis ſuæ fructum reportat, & ſe exauditum teſtatur dicens: Audiuit Dominus, & miſertus eſt mei: Dominus factus eſt adiutor meus. Sed in quo? Conuertiſti, inquit, planctum meum in gaudium mihi, & circumdediſti me lætitia. Si ſic actum eſt cum magnis ſanctis, non eſt deſperandum nobis infirmis & pauperibus, ſi interdum in feruore, & interdum in frigiditate ſumus: quoniam ſpiritus venit & recedit, ſecundum ſuæ beneplacitum voluntatis. Vnde beatus Iob ait: Viſitas eum diluculo, & ſubitò probas illum.

6. Super

Digitized by Google

δίδοται, αὐτὴν ἀποδέχου εὐχαριστῶν, καὶ αὐτὴν θεόσδοτον εἶναι, ἀλλ' οὐ κατὰ τὴν ἀξίαν σου γενέσθαι σοι νομίζων. μὴ μεγαλοφρόνει, μήτε ἄγαν χαῖρε, μήτε ματαίως περιλάμβανε· ἀλλὰ γίνου μὲν τῷ δώρῳ ταπεινότερος, ἐν ταῖς δὲ πράξεσί σου φρονιμώτερός τε, καὶ εὐλαβέστερος, ὅτι ἡ ὥρα ἐκείνη παρελεύσεται, καὶ ἕψεται ὁ πειρασμός. τῆς παραμυθίας ἀφαιρεθείσης, μὴ εὐθέως ἀπέλπιζε, ἀλλὰ ταπεινῶς καὶ ὑπομονητικῶς τὴν ἐπίσκεψιν οὐράνιον προσδόκα, ὅτι δυνατός ἐστιν ὁ θεὸς μείζω παράκλησίν σοι ἀποδοῦναι· τοῦτο τοῖς γνοῦσι τὴν ὁδὸν τοῦ θεοῦ οὐκ ἔστι καινὸν οὐδ' ἀλλότριον, ὅτι τοιαύτης ἀμοιβῆς τρόπος πολλάκις τοῖς τε τῇ ἁγιότητι προέχουσι, καὶ τοῖς πάλαι προφήταις ἐνῆν.

ε. Διόπερ τις, παραγινομένης ἤδη τῆς χάριτος, ἔλεγεν· ἐγὼ εἶπα ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. ἀπούσης δὲ τῆς χάριτος, τίνος ἂν πεῖραν αὐτὸς ἐν αὐτῷ ἔλαβε, προσέθετο εἰπών· ἀπέστρεψας τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ἐγενήθην τεταραγμένος. ἀλλ' ὅμως ἐπὶ τούτοις μηδαμῶς ἀπογινώσκει, ἀλλὰ πολὺ μᾶλλον τὸν κύριον λιπαρεῖ λέγων· πρὸς σὲ κύριε κεκράξομαι, καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι· τέλος δὲ τοῦ τῆς δεήσεως αὐτοῦ καρποὺς κομίζεται, καὶ ὅτι εἰσηκούσθη, μαρτυρεῖ λέγων· ἤκουσε κύριος, καὶ ἠλέησέ με· κύριος ἐγενήθη βοηθός μου. ἀλλ' ἐν τίνι; ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, καὶ περιέζωσάς με εὐφροσύνην. εἰ οὕτως εἶχον οἱ τῇ ἁγιότητι διαφέροντες, ἡμᾶς τοὺς ἀσθενεῖς καὶ πτωχοὺς ὄντας οὐ δεῖ ἀπελπίζειν, εἰ ἐνίοτε ζεστοί, ἐνίοτε δὲ ψυχροί ἐσμεν· ὅτι τὸ πνεῦμα ἔρχεται, καὶ ὑπάγει κατὰ τὴν εὐδοκίαν αὐτοῦ. ὅθεν ὁ ἅγιος Ἰὼβ λέγει· ἐπισκέπτῃ αὐτὸν πρωΐας, καὶ ἀφνιδίως ἐκδοκιμάζεις αὐτόν.

6. Super quid igitur ſperare poſſum, aut in quo confidere debeo, niſi in ſola magna miſericordia Dei, & in ſola ſpe gratiæ cæleſtis? Siue enim adſint homines boni, ſiue deuoti fratres, vel amici fideles; ſiue libri ſancti, vel tractatus pulchri; ſiue dulcis cantus & hymni; omnia hæc modicum iuuant, modicum ſapiunt, quando deſertus ſum à gratia, & in propria paupertate relictus. Tunc non eſt melius remedium, quàm patientia, & abnegatio mei in voluntate Dei.

7. Nunquam inueni aliquem tam religioſum & deuotum, qui non habuerit interdum gratiæ ſubtractionem, aut non ſenſerit feruoris diminutionem. Nullus ſanctus fuit tam altè raptus & illuminatus, qui priùs, vel poſtea, non fuerit tentatus. Non enim dignus eſt, alta Dei contemplatione, qui pro Deo non eſt exercitatus aliqua tribulatione. Solet enim ſequentis conſolationis, tentatio præcedens eſſe ſignum. Nam tentationibus probatis, cæleſtis promittitur conſolatio. Qui vicerit, inquit, dabo ei edere de ligno vitæ.

8. Datur autem conſolatio diuina, vt homo fortior ſit, ad ſuſtinendum aduerſa. Sequitur etiam tentatio, ne ſe eleuet de bono. Non dormit diabolus, nec caro adhuc mortua eſt: ideò non ceſſes te præparare ad certamen: quia à dextris & à ſiniſtris hoſtes ſunt, qui nunquam quieſcunt.

## Cap. X.

### *De gratitudine, pro gratia Dei.*

1. Cur

ϛʹ. Ἐν τίνι οὖν ἐλπίζειν δύναμαι, ἢ τίνι πεποιθέναι ὀφείλω, εἰ μὴ τῷ μεγάλῳ ἐλέει τοῦ θεοῦ, καὶ μόνῃ τῇ ἐλπίδι τῆς χάριτος οὐρανίου: εἴτε γὰρ παραγίνονται ἄνθρωποι ἀγαθοὶ, εἴτε ἀδελφοὶ εὐλαβεῖς, ἢ φίλοι πιστοὶ· εἴτε ἅγια βιβλία, ἢ συγγράμματα καλὰ, εἴτε ἡδὺ ᾆσμα καὶ ὕμνοι· ἅπαντα ταῦτα ἐμὲ τῆς χάριτος ἀποροῦντα καὶ ἐν ἰδίᾳ πενίᾳ καταλειφθέντα ὀλίγον ὠφελεῖ καὶ ὀλίγον εὐαρεστεῖ· τότε βελτίων θεραπεία οὐχ ὑπάρχει τῆς ὑπομονῆς, καὶ τῆς ἀπαρνήσεως ἐμοῦ ἐν τῷ τοῦ θεοῦ θελήματι.

ζʹ. Οὔποτε εὗρόν τινα οὕτω περὶ τὰς ἀσκήσεις καὶ τὴν εὐλάβειαν σπουδάζοντα, ᾧ τινι ἡ χάρις ἐνίοτε οὐκ ἀφῃρέθη, ἢ ὃς μείωσιν τῆς ζέσεως οὐκ ᾔσθετο. οὐδεὶς ἅγιος οὕτως ὑψηλῶς ἐξέστη, ἢ διεφωτίσθη, ὃς πρότερον, ἢ ἔπειτα, οὐκ ἐπειράσθη. οὐ γὰρ τῆς τοῦ θεοῦ θεωρίας ὑψηλῆς ἄξιός ἐστιν, ὃς θλίψει τινὶ ὑπὲρ θεοῦ οὐκ ἠσκήθη. καὶ γὰρ ὁ προελθὼν πειρασμὸς τῆς ἑπομένης παρακλήσεως σημεῖόν ἐστιν, ἐπεὶ τοῖς δοκιμασθεῖσιν διὰ τῶν πειρασμῶν, ἡ τῆς ἐπουρανίου παρακλήσεως ὑπόσχεσις γίνεται· τῷ νικῶντι, φησι, δώσω φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς.

ηʹ. Ἡ δὲ θεία παραμυθία δίδοται, τοῦ εἶναι τὸν ἄνθρωπον ἰσχυρότερον εἰς τὸ ὑπομένειν τἀναντία. καὶ ὁ πειρασμὸς ἕπεται, τοῦ μὴ τῷ ἀγαθῷ ὑπεραίρεσθαι. οὐ καθεύδει ὁ διάβολος, καὶ οὔπω ἡ σὰρξ ἀπέθανε· διόπερ μὴ λῆγε παρασκευαζόμενός σε πρὸς τὸν ἀγῶνα, ὅτι ἐκ δεξιῶν καὶ εὐωνύμων πολέμιοί εἰσιν, οἱ οὐδέποτε ἀναπαυόμενοι.

Κεφ. ιʹ.

Περὶ τῆς εὐχαριστίας ὑπὲρ τῆς τοῦ θεοῦ χάριτος.

1. CVr quæris quietem, cùm natus ſis ad laborem? Pone te ad patientiam magis, quàm ad conſolationes: & ad crucem portandam magis, quàm ad lætitiam. Quis enim ſæcularium, non libenter conſolationem & lætitiam ſpiritualem acciperet, ſi ſemper obtinere poſſet? Excedunt enim ſpirituales conſolationes, omnes mundi delitias, & carnis voluptates. Nam omnes deliciæ mundanæ, aut vanæ ſunt, aut turpes. Spirituales verò delitiæ, ſolæ iucundæ & honeſtæ, ex virtutibus progenitæ, & à Deo puris mentibus infuſæ. Sed iſtis diuinis conſolationibus, nemo ſemper pro ſuo affectu frui valet: quia tempus tentationis, non diu ceſſat.

2. Multùm autem contrariatur ſupernæ viſitationi, falſa libertas animi, & magna confidentia ſui. Deus bene facit conſolationis gratiam dando: ſed homo malè agit, non totum Deo, cum gratiarum actione, retribuendo. Et ideò non poſſunt in nobis dona gratiæ fluere, quia ingrati ſumus auctori: nec totum refundimus fontali origini. Semper enim debetur gratia, dignè gratias referenti: & auferetur ab elato, quod dari ſolet humili.

3. Nolo conſolationem, quæ mihi aufert compunctionem: nec affecto contemplationem, quæ ducit in elationem. Non enim omne altum, ſanctum: nec omne dulce, bonum: nec omne deſiderium, purum: nec omne charum, Deo gratum. Libenter accepto gratiam, vnde ſemper humilior & timoratior

inue-

Digitized by Google

α΄. Διὰ τί τὴν ἡσυχίαν ζητεῖς εἰς τὸ πονεῖν γεγεννημένος; παρασκεύασόν σε πρὸς τὴν ὑπομονὴν μᾶλλον, ἢ πρὸς τὰς παρακλήσεις, καὶ μᾶλλον ἐπὶ τὸ βαστάζειν τὸν σταυρὸν, ἢ ἐπὶ τὴν εὐφροσύνην. τίς γὰρ τῶν τοῦ κόσμου οὐκ ἂν ἀσμένως παραμυθίαν, καὶ χαρὰν πνευματικὴν ἔλαβεν, εἰ πάντοτε ἔχειν ἐδύνατο; αἱ γὰρ πνευματικαὶ παραμυθίαι πασῶν τρυφῶν τοῦ κόσμου, καὶ τῶν ἡδονῶν τῆς σαρκὸς ὑπερέχουσι· πᾶσαι γὰρ τρυφαὶ κοσμικαὶ, ἢ μάταιαι, ἢ αἰσχραί εἰσιν. αἱ δὲ πνευματικαὶ τρυφαὶ, μόναι ἡδεῖαι καὶ καλαὶ οὖσαι ἐκ τῶν ἀρετῶν γεγόνασι, καὶ παρὰ τοῦ θεοῦ ταῖς καθαραῖς ψυχαῖς ἐγχέονται. Ἀλλὰ μὴν τῶνδε τῶν θείων παρακλήσεων οὐδεὶς ἀεὶ κατὰ τὴν γνώμην ἀπολαύειν οἷός τε γίνεται, ὅτι ὁ τοῦ πειρασμοῦ χρόνος οὐ διὰ πολλοῦ λήγει.

β΄. Η δὲ ψευδὴς ἐλευθερία τῆς ψυχῆς, καὶ μεγάλη πεποίθησις ἡ περὶ αὐτοῦ, τῇ ἐπισκέψει τῇ ἄνωθεν πολὺ ἐναντιοῦται. ὁ μὲν θεὸς εὖ ποιεῖ τὴν τῆς παραμυθίας χάριν διδούς· ὁ δ' ἄνθρωπος κακῶς πράττει, ὁ οὐχ ὅλον τῷ θεῷ σὺν εὐχαριστίᾳ ἀποδιδούς. καὶ διὰ τοῦτο, τὰ τῆς χάριτος δῶρα ἐν ἡμῖν οὐ δύναται ῥέειν, ὅτι πρὸς τὸν δοτῆρα ἀχαριστοῦμεν, οὐδὲ ὅλον εἰς τὴν πηγαίαν ἀρχὴν ἀναχέομεν. ἡ γὰρ χάρις ἀεὶ ὀφείλεται τῷ τὴν χάριν ἀξίως ἀποδιδόντι, καὶ ἀφαιρεθήσεται τοῦ ἐπηρμένου, ὅ, τι τῷ ταπεινῷ δίδοσθαι εἴωθεν.

γ΄. Οὐκ ἐθέλω τὴν παράκλησιν, τὴν σύννυξίν με ἀφαιροῦσαν· οὐδ' ἐπιθυμῶ τῆς θεωρίας τῆς εἰς ἔπαρσίν με ἐξαγούσης. οὐ γὰρ πᾶν ὑψηλὸν, ἅγιον· οὐδὲ πᾶν ἡδὺ, καλόν· οὐδὲ πᾶσα ἐπιθυμία καθαρά· οὐδὲ πᾶν ἀγαπητὸν, τῷ θεῷ εὐάρεστον. Ἀσμένως ἀποδέχομαι τὴν χάριν, ἐξ ἧς ἂν ταπεινότερος καὶ εὐλαβέστερος ἀεὶ

inueniar: atque ad relinquendum me paratior fiam. Doctus dono gratiæ, & eruditus ſubtractionis verbere, non ſibi audebit quicquam boni attribuere: ſed potiùs ſe pauperem, & nudum confitebitur. Da Deo, quod Dei eſt: & tibi adſcribe, quod tuum eſt: hoc eſt, Deo gratias pro gratia tribue; tibi autem ſoli culpam & dignam pœnam, pro culpa deberi ſentias.

4. Pone te ſemper ad infimum, & dabitur tibi ſummum: nam ſummum non ſtat ſine infimo. Summi ſancti apud Deum, minimi ſunt apud ſe. Et quantò glorioſiores, tantò in ſe humiliores. Pleni veritate & gloria cæleſti, non ſunt vanæ gloriæ cupidi. In Deo confirmati & fundati, nullo modo poſſunt eſſe elati. Et qui totum Deo aſcribunt, quicquid boni acceperunt, gloriam ab inuicem non quærunt: ſed gloriam, quæ à ſolo Deo eſt, volunt: & Deum in ſe, & in omnibus ſanctis, laudare ſuper omnia cupiunt, & ſemper in idipſum tendunt.

5. Eſto igitur gratus pro minimo, & eris dignus maiora accipere. Sit tibi minimum, etiam pro maximo: & magis contemptibile, pro ſpeciali dono. Si dignitas datoris inſpicitur, nullum datum paruum, aut nimis vile videbitur. Non enim paruum eſt, quod à ſummo Deo donatur. Etiam ſi pœnas & verbera dederit, gratum eſſe debet: quia ſemper pro ſalute noſtra facit, quicquid nobis aduenire permittit. Qui gratiam Dei retinere deſiderat, ſit gratus pro gratia data, patiens pro ablata.

Oret,

εὑρεθῶ, καὶ εἰς τὸ καταλιπεῖν με ἑτοιμότερος γένωμαι. ὁ τῷ τῆς χάριτος δώρῳ διδαχθεὶς, καὶ τῇ μάστιγι τῆς ἀφαιρέσεως αὐτῆς παιδευθεὶς, οὐ τολμήσει ἑαυτῷ ἀγαθόν τι ἀνατιθέναι, ἀλλὰ μᾶλλον ἑαυτὸν πτωχὸν καὶ γυμνὸν ὁμολογήσει. τῷ θεῷ δὸς τὰ τοῦ θεοῦ· σοὶ δὲ τὸ σοῦ ἀνάθες, τοῦτ' ἔστι, τῷ θεῷ τὴν χάριν ἀντὶ τῆς χάριτος ἀπόδος, σοὶ δὲ τὴν αἰτίαν καὶ τὴν ἀξίαν ποινὴν ὑπὲρ τῆς αἰτίας ὀφείλεσθαι γνῶθι.

δ'. Κατακλίθητι ἀεὶ εἰς τὸ κατώτατον, καὶ τὸ ἀνώτατόν σοι δοθήσεται, ὅτι τὸ ἀνώτατον ἄνευ τοῦ κατωτάτου οὐχ ὑφίσταται. οἱ ἅγιοι οἱ παρὰ τῷ θεῷ μέγιστοι, ἐνώπιον αὐτῶν ἐλάχιστοί εἰσι, καὶ ὅσῳ ἐνδοξότεροι, τοσούτῳ καθ' ἑαυτοὺς ταπεινότεροι γίνονται. τῆς ἀληθείας καὶ τῆς δόξης οὐρανίου πλήρεις ὄντες, οὐ κενοδοξοῦσιν· οἱ ἐν τῷ θεῷ βεβαιωθέντες καὶ θεμελιωθέντες μηδαμῶς ἐπαρθῆναι δύνανται. καὶ οἱ πᾶν, ὅ,τι ἔλαβον, τῷ θεῷ ἀνατιθέντες, δόξαν παρ' ἀλλήλων οὐ ζητοῦσιν, ἀλλὰ τὴν δόξαν τὴν παρὰ μόνου θεοῦ ἐπιποθοῦντες, καὶ τὸν θεὸν ἐν ἑαυτοῖς, καὶ ἐν πᾶσι τοῖς ἁγίοις ἐπαινεῖν ὑπὲρ πάντα ἐφίενται, καὶ πάντοτε ἐπὶ τὸ αὐτὸ τείνουσι.

ε'. Γίνου τοίνυν εὐχάριστος ἀντὶ τοῦ ἐλαχίστου, καὶ τῶν μειζόνων ἀξιωθήσῃ. Περὶ πλείστου καὶ τὸ ἐλάχιστον ποιοῦ, καὶ τὸ εὐκαταφρονητότερον, ἴδιον δῶρον νόμιζε. ἐὰν τὸ τοῦ δοτῆρος ἀξίωμα σκοπῆται, μηδὲν δώρημα μικρὸν, ἢ ἄγαν εὐτελὲς δοκήσει. οὐ γὰρ μικρόν ἐστι τὸ παρὰ τοῦ θεοῦ δοθέν. εἰ καὶ τὰς ποινὰς καὶ τὰς μάστιγας δίδωσιν, εὐπρόσδεκτον δεῖ ἡγεῖσθαι· ἐπειδὴ ἀεὶ ὑπὲρ τῆς σωτηρίας ἡμῶν ποιεῖ, ὅ,τι ἡμῖν συμβαίνειν ἐᾷ. Ὁ τὴν τοῦ θεοῦ χάριν διαφυλάττειν ἐπιθυμῶν, ἀντὶ τῆς δοθείσης χάριτος εὐχάριστος, καὶ αὖ τῆς ἀφαιρεθείσης, ὑπομονητικὸς γινέσθω·

δεηθή-

Digitized by Google

Oret, vt redeat: cautus ſit & humilis, ne amittat.

## CAP. XI.

### *De paucitate amatorum crucis* IESV.

1. HAbet Ieſus nunc multos amatores regni ſui cæleſtis, ſed paucos baiulatores ſuæ crucis. Multos habet deſideratores conſolationis, ſed paucos tribulationis. Plures inuenit ſocios menſæ, ſed paucos abſtinentiæ. Omnes cupiunt cum eo gaudere, pauci volunt pro eo, aut cum eo aliquid ſuſtinere. Multi Ieſum ſequunrur, vſque ad fractionem panis: ſed pauci vſque ad bibendum calicem paſſionis. Multi miracula eius venerantur, pauci ignominiam crucis ſequuntur. Multi Ieſum diligunt, quamdiu aduerſa non contingunt. Multi illum laudant & benedicunt, quamdiu conſolationes aliquas ab ipſo percipiunt. Si autem Ieſus ſe abſconderit, & modicum eos reliquerit, aut in querimoniam, vel in deiectionem nimiam cadunt.

2. Qui autem Ieſum propter Ieſum, & non propter ſuam propriam aliquam conſolationem diligunt, ipſum in omni tribulatione & anguſtia cordis, ſicut in ſumma conſolatione, benedicunt. Et ſi numquam eis conſolationem dare vellet, ipſum tamen ſemper laudarent, & ſemper gratias agere vellent.

3. O quantum poteſt amor Ieſu purus, nullo proprio commodo, vel amore permixtus? Nónne omnes mercenarij ſunt dicendi, qui conſolationes ſemper quærunt? Nónne amatores ſui magis, quàm Chriſti probantur, qui ſua commoda.

δεηθήτω αὐτὴν ἀναστρέφειν· εὐλαβὴς καὶ ταπεινὸς ἔστω, μὴ ἀπολέσῃ.

## Κεφ. ια.

### Περὶ τῆς ὀλιγότητος τῶν φιλοσταύρων τοῦ Ἰησοῦ.

α. ΕΧει νῦν ὁ Ἰησοῦς πολλοὺς φιλητὰς τῆς βασιλείας αὐτοῦ τῆς ἐν οὐρανοῖς, ἀλλ' ὀλίγους τοῦ σταυροῦ αὐτοῦ βαστάκτας. πολλοὺς μὲν ἔχει ἐπιθυμητὰς τῆς παρακλήσεως, ὀλίγους δὲ τῆς θλίψεως. πλείους εὑρίσκει ἑταίρους τῆς τραπέζης, ἀλλ' ὀλίγους τῆς ἀποχῆς. πάντες μετ' αὐτοῦ χαίρειν ἐφίενται, ὀλίγοι δὲ ὑπὲρ αὐτοῦ, ἢ μετ' αὐτοῦ ὑπομένειν τι βούλονται. πολλοὶ ἀκολουθοῦσι τῷ Ἰησοῦ ἕως τῆς κλάσεως τοῦ ἄρτου· ὀλίγοι δὲ μέχρι τοῦ πιεῖν τὸ ποτήριον τοῦ πάθους. πολλοὶ τὰ θαύματα αὐτοῦ σέβονται, ὀλίγοι τὴν ἀτιμίαν τοῦ σταυροῦ διώκουσι. πολλοὶ τὸν Ἰησοῦν ἀγαπῶσιν, ἐφ' ὅσον τὰ ἀτυχήματα οὐ συμβαίνει. πολλοὶ αὐτὸν ἐπαινοῦσι καὶ εὐλογοῦσιν, ἕως παρ' αὐτοῦ τὰς παρακλήσεις τινὰς ἔχουσιν. ἐὰν δὲ ὁ Ἰησοῦς κρυβῇ, καὶ μικρὸν αὐτοὺς καταλίπῃ, ἢ εἰς τὴν μεμψιμοιρίαν, ἢ εἰς τὴν ἀθυμίαν τὴν ἄγαν ἐμπίπτουσιν.

β. Οἱ δὲ Ἰησοῦν διὰ τὸν μὲν Ἰησοῦν, οὐδὲ διὰ τὴν ἰδίαν τινὰ παράκλησιν ἀγαπῶσιν, αὐτὸν ἐν πάσῃ θλίψει καὶ μικροψυχίᾳ, ὥσπερ ἐν μεγίστῃ παραμυθίᾳ εὐλογοῦσι. καὶ εἰ αὐτοῖς μηδέποτε παράκλησιν διδόναι ἤθελεν, ὅμως αὐτὸν ἀεὶ ἐπαινεῖν, καὶ ἀεὶ εὐχαριστεῖν ἂν ἐβούλοντο.

γ. Ω πόσον ἡ τοῦ Χριστοῦ ἀγάπη καθαρὰ ἰσχύει, μηδεμιᾷ ἰδίᾳ ὠφελείᾳ ἢ φιλαυτίᾳ μεταμιγεῖσα; οὐχὶ πάντας μισθωτοὺς δεῖ ὀνομάζειν, οἵτινες ἀεὶ τὰς παρακλήσεις ζητοῦσιν; οὐχὶ δῆλόν ἐστιν ὅτι φίλαυτοι μᾶλλον, ἢ φιλόχριστοί εἰσιν, οἵτινες πάντοτε τὴν ὠφέ-

λειαν,

moda, & lucra ſemper meditantur? Vbi inuenietur talis, qui velit Deo ſeruire gratis?

4. Raró inuenitur tàm ſpiritualis aliquis, qui omnibus ſit nudatus. Nam verum pauperem ſpiritu, & ab omni creatura nudum quis inueniet? Procul & de vltimis finibus pretium eius. Si dederit homo omnem ſubſtantiam ſuam, adhuc nihil eſt. Et ſi fecerit pœnitentiam magnam, adhuc exiguum eſt. Et ſi apprehenderit omnem ſcientiam, adhuc longè eſt. Et ſi habuerit virtutem magnam, & deuotionem nimis ardentem, adhuc multum ſibi deeſt: Scilicet vnum, quod ſummè ſibi neceſſarium eſt. Quid illud? Vt omnibus relictis ſe relinquat, & à ſe totaliter exeat, nihilque de priuato amore retineat. Cumque omnia fecerit, quæ facienda nouerit, nil ſe feciſſe ſentiat.

5. Non grande ponderet, quod grande æſtimari poſſit: ſed in veritate ſeruum inutilem ſe pronunciet, ſicut veritas ait: Cùm feceritis omnia, quæ præcepta ſunt vobis, dicite, Serui inutiles ſumus. Tunc verè pauper, & nudus ſpiritu eſſe poterit, & cum Propheta dicere: Quia vnicus & pauper ſum ego. Nemo tamen iſto ditior, nemo potentior, nemo liberior: qui ſe & omnia relinquere ſcit, & ad infimum ſe ponere.

## CAP. XII.

### *De regia via ſancta Crucis.*

1. DVrus multis videtur hic ſermo: Abnega temetipſum, tolle crucem tuam, & ſeque-

λειαν, καὶ τὰ κέρδη αὐτῶν σκέπλονται; ποῦ τοιοῦτος εὑρεθήσεται, ὃς ἂν τῷ Χριστῷ ἀμισθὶ δουλεύειν βούληθῇ;

δ'. Σπανίως οὕτω πνευματικός τις εὑρίσκεται, ὃς πάντων ἐγυμνώθη. τὸν γὰρ ἀληθῶς τῷ πνεύματι πλωχὸν, καὶ πασῶν κτίσεων γυμνὸν τίς εὑρήσει; πόῤῥωθεν καὶ ἀπ' ἐχάτων ὅρων τὸ τίμημα αὐτοῦ. ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ, μηδὲν ἔτι ἐςί. κἂν μεγάλην μετάνοιαν ὑπομείνῃ, μικρὸν ἔτι ἐςί. κἂν πᾶσαν γνῶσιν εἰδῇ, ἔτι μακρὰν ἀπέχει. κἂν ἔχῃ μεγάλην δύναμιν, καὶ ὑλάβειαν τὴν λίαν ζεςὴν, ἔτι πολλῶν ἀπορεῖ, ἑνὸς δήπου αὐτῷ ἀναγκαιεςάτου. τί τοῦτο; τὸ πάντα καταλιπόντα, καὶ ἑαυτὸν καταλιπεῖν, παντελῶς αὐτοῦ ἐξελθεῖν, μηδὲν τῆς φιλαυτίας διατηρῆσαι, καὶ τὰ πάντα ποιήσαντα, ἅπερ ἔγνω ποιητέα, μηδὲν αὐτὸν ποιῆσαι, νομίσαι.

έ. Οὐ περὶ πολλοῦ ποιήσαιτο, ὅ, τι ἂν τις περὶ πολλοῦ ποιεῖσθαι δύναιτο· ἀληθῶς δὲ ὁμολογήσαι, ἑαυτὸν δοῦλον ἀχρεῖον εἶναι, καθὼς ἡ ἀλήθεια λέγει· ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν. τότ' ὄντως πλωχὸς, καὶ τῷ πνεύματι γυμνὸς εἶναι, καὶ σὺν τῷ προφήτῃ εἰπεῖν δυνήσεται· ὅτι μονογενὴς καὶ πλωχός εἰμι ἐγώ. ἀλλ' ὅμως οὐδεὶς πλουσιώτερος, οὐδεὶς δυνατώτερος, οὐδεὶς ἐλευθερώτερος ὑπάρχει, τοῦ ἑαυτὸν καὶ πάντα καταλιπεῖν, καὶ εἰς τὸ κατώτατον κατακλιθῆναι ἐπιςαμένου.

## Κεφ. ιβ'.

### Περὶ τῆς δημοσίας ὁδοῦ τοῦ ἁγίου σταυροῦ.

α. ΟΥτος ὁ λόγος πολλοῖς σκληρὸς εἶναι δοκεῖ· ἀπάρνησαι σεαυτὸν, καὶ ἆρον τὸν σταυρόν σου, καὶ ἀκο-

Digitized by Google

& ſequere Ieſum. Sed multò durius erit, audire illud extremum verbum: Diſcedite à me maledicti in ignem æternum. Qui enim modò libenter audiunt, & ſequuntur verbum crucis; tunc non timebunt, ab auditione æternæ damnationis. Hoc ſignum crucis erit in cælo, cùm Dominus ad iudicandum venerit. Tunc omnes ſerui crucis, qui ſe crucifixo conformauerunt in vita, accedent ad Chriſtum iudicem, cum magna fiducia.

2. Quid igitur times tollere crucem, per quam itur ad regnum? In cruce ſalus, in cruce vita, in cruce protectio ab hoſtibus; in cruce infuſio ſupernæ ſuauitatis, in cruce robur mentis, in cruce gaudium ſpiritus; in cruce ſumma virtutis, in cruce perfectio ſanctitatis. Non eſt ſalus animæ, nec ſpes æternæ vitæ, niſi in cruce. Tolle ergo crucem tuam, & ſequere Ieſum, & ibis in vitam æternam. Præceſſit ille baiulans ſibi crucem, & mortuus eſt pro te in cruce: vt & tu tuam portes crucem, & mori affectes in cruce. Quia ſi commortuus fueris, etiam cum illo pariter viues. Et ſi ſocius fueris pœnæ, eris & gloriæ.

3. Ecce in cruce totum conſtat, & in moriendo totum iacet: & non eſt alia via ad vitam, & ad veram internam pacem, niſi via ſanctæ crucis, & quotidianæ mortificationis. Ambula vbi vis, quære quodcunque volueris: & non inuenies altiorem viam ſuprà, nec ſecuriorem viam infrà, niſi viam ſanctæ crucis. Diſpone & ordina omnia, ſecundum tuum velle & videre: & non inuenies, niſi

ſemper

Digitized by Google

καὶ ἀκολούθει τῷ Ἰησοῦ. πολλῷ δὲ σκληρότερον ἐστὶ ἐκείνου τοῦ ἐσχάτου λόγου ἀκοῦσαι· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον. Οἱ γὰρ νῦν ἀσμένως ἀκούοντες, καὶ τῷ λόγῳ τοῦ σταυροῦ ἀκολουθοῦντες, ἀπ' ἀκοῆς τοῦ αἰωνίου κρίματος οὐ φοβηθήσονται. τοῦτο τὸ σημεῖον τοῦ σταυροῦ ἔσται ἐν τῷ οὐρανῷ, ὅταν ὁ κύριος εἰς τὸ κρίνειν ἔλθῃ. τότε πάντες οἱ δοῦλοι τοῦ σταυροῦ, οἱ τῷ Χριστῷ ἐν τῇ ζωῇ συμμορφωθέντες, τῷ Χριστῷ κρίνοντι σὺν μεγάλῃ πεποιθήσει προσελεύσονται.

β'. Τί οὖν φοβῇ τὸν σταυρὸν τὸν εἰς τὴν βασιλείαν ἄγοντα; ἐν τῷ σταυρῷ ἡ σωτηρία, ἐν τῷ σταυρῷ ἡ ζωή, ἐν τῷ σταυρῷ τὸ σκέπασμα ἀπὸ τῶν ἐχθρῶν, ἐν τῷ σταυρῷ ἡ ἔγχυσις τῆς ἄνω ἡδύτητος, ἐν τῷ σταυρῷ ἡ ῥώμη τῆς ψυχῆς, ἐν τῷ σταυρῷ ἡ χαρὰ τοῦ πνεύματος, ἐν τῷ σταυρῷ τὸ κεφάλαιον τῆς ἀρετῆς, ἐν τῷ σταυρῷ ἡ τελειότης τῆς ἁγιωσύνης. οὐκ ἔστι σωτηρία τῆς ψυχῆς, οὐδ' ἐλπὶς τῆς ζωῆς αἰωνίου, εἰ μὴ ἐν τῷ σταυρῷ. ἆρον οὖν τὸν σταυρόν σου, καὶ ἀκολούθει τῷ Ἰησοῦ, καὶ ἐλεύσῃ εἰς τὴν ζωὴν τὴν αἰώνιον. προήγαγεν αὐτὸς βαστάσας αὐτῷ τὸν σταυρὸν, ἵνα καὶ σὺ βαστάσῃς τὸν σταυρόν σου, καὶ ἐπιθυμήσῃς θανεῖν ἐν τῷ σταυρῷ. εἰ γὰρ αὐτῷ συνθανῇ, καὶ ἅμα συζήσεις αὐτῷ· καὶ εἰ ἔσῃ κοινωνὸς τῆς ποινῆς, ἔσῃ καὶ τῆς δόξης.

γ'. Ἰδοὺ ἐν τῷ σταυρῷ τὸ πᾶν ἐτέθη, καὶ ἐν τῷ θανεῖν τὸ πᾶν κεῖται· καὶ εἰς τὴν ζωὴν, καὶ τὴν ἀληθινὴν εἰρήνην τῆς ἔσω. οὐκ ἔστιν ἄλλη ὁδὸς, πλὴν τῆς ἁγίου σταυροῦ, καὶ τῆς νεκρώσεως τῆς καθ' ἡμέραν. περιπάτει, ὅπου ἂν ἐθέλῃς, ζήτει ὅπου δὴ βούλῃ, καὶ ὑψηλοτέραν ὁδὸν οὐχ εὑρήσεις ἄνω, οὐδ' ἀσφαλεστέραν κάτω, εἰ μὴ τὴν ὁδὸν τοῦ ἁγίου σταυροῦ. διάθες καὶ διάταξον πάντα κατὰ τὴν βούλησιν, καὶ τὴν δόκησίν σου, καὶ οὐχ εὑρήσεις εἰ μὴ τὸ

χρῆν

Digitized by Google

ſemper aliquid pati debere, aut ſponte, aut inuitè: & ita crucem ſemper inuenies. Aut enim in corpore dolorem ſenties, aut in anima ſpiritus tribulationem ſuſtinebis.

4. Interdum à Deo relinquêris, & interdum à proximo exercitaberis, & quod amplius eſt, ſæpe tibimetipſi grauis eris; nec tamen aliquo remedio vel ſolatio, liberari ſeu alleuiari poteris: ſed donec Deus voluerit, oportet vt ſuſtineas. Vult enim Deus, vt tribulationem ſine conſolatione, pati diſcas, & vt illi totaliter te ſubijcias, & humilior ex tribulatione fias. Nemo ita cordialiter ſentit paſſionem Chriſti, ſicut is, cui contigerit ſimilia pati. Crux ergo ſemper parata eſt, & vbique te expectat. Non potes effugere, quocunque cucurreris: quia quocunque ieris, teipſum tecum portas, & ſemper teipſum inuenies. Conuerte te ſuprà, conuerte te infrà: conuerte te extrà, conuerte te intrà: & in his omnibus, inuenies crucem: & neceſſe eſt te vbique tenere patientiam, ſi internam vis habere pacem, & perpetuam promereri coronam.

5. Si libenter crucem portas, portabit te, & ducet te ad deſideratum finem: vbi ſcilicet finis patiendi erit, quamuis hîc non erit. Si inuitè portas, onus tibi facis, & teipſum magis grauas: & tamen oportet, vt ſuſtineas. Si abijcis vnam crucem, aliam proculdubio inuenies, & forſitan grauiorem.

6. Credis tu euadere, quòd nullus mortalium

potuit

χρὴ ἀεὶ παθεῖν τι ἢ ἑκόντι ἢ ἄκοντι, καὶ οὕτω πάντοτε τὸν σταυρὸν εὑρήσεις. ἢ γὰρ τὸ σῶμα ἀλγήσεις, ἢ ἐν τῇ ψυχῇ τὴν τοῦ πνεύματος θλίψιν ὑπομενεῖς.

δ'. Ἐνίοτε ὑπὸ τοῦ θεοῦ καταλειφθήσῃ, ἐνίοτε ὑπὸ τοῦ πλησίον ἀσκηθήσῃ, καὶ τὸ πλέον, πολλάκις σεαυτῷ φορτικὸς ἔσῃ, οὐδενὶ δὲ φαρμάκῳ ἢ παρακλήσει ἀπαλλαγῆναι ἢ θεραπευθῆναι δυνήσῃ· ἀλλὰ μέχρις οὗ ὁ θεὸς ἂν βούληται, δεῖ σε ἀνέχεσθαι. Ὁ γὰρ θεὸς ἐθέλει, ἵνα τὴν θλίψιν ἄνευ τῆς παραμυθίας παθεῖν μάθῃς, παντάπασί τ' αὐτῷ ὑποταγῇς, καὶ ταπεινότερος ἐκ τῆς θλίψεως γένῃ. οὐδεὶς οὕτως ἐκ τῆς καρδίας, τοῦ πάθους τοῦ Χριστοῦ αἰσθάνεται, ὡς ἐκεῖνος, ᾧ τινι παθεῖν συμβῇ. ὁ τοίνυν σταυρὸς πάντοτε ἕτοιμός ἐστι, καὶ πανταχοῦ σε προσδοκᾷ. οὐχ οἷός τ' ἔσῃ ἐκφυγεῖν, ὅποι ἂν δράμῃς, ὅτι ὅποι ἂν πορευθῇς, σεαυτὸν σὺν σεαυτῷ βαστάζεις, καὶ ἀεὶ σεαυτὸν εὑρήσεις. ἐπιστράφητι ἄνω, ἐπιστράφητι κάτω, ἐπιστράφητι ἔξω, ἐπιστράφητι εἴσω, καὶ ἐν πᾶσι τούτοις τὸν σταυρὸν εὑρήσεις, καὶ πανταχοῦ ὑπομονῆς ἔχεις χρείαν, εἰ θέλεις εἴσω εἰρηνεῦσαι, καὶ τοῦ στεφάνου τοῦ αἰωνίου τυχεῖν.

ε'. Εἰ ἀσμένως τὸν σταυρὸν βαστάζεις, βαστάσει σε, καὶ εἰς τὸ τέλος ἐπιπόθητον ἄξει σε, ὅπου δηλονότι τὸ τέλος τοῦ παθεῖν ἔσται, κἂν ἐνταῦθα οὐ γίνηται. εἰ ἄκοντι βαστάζεις, φορτίον σοι μὲν κατεργάζῃ, καὶ σεαυτὸν μᾶλλον βαρύνεις, ὑπομένειν δέ σοι ἐπάναγκες. εἰ ἀπορρίπτεις ἕνα σταυρὸν, ἀληθῶς ἄλλον, καὶ ἴσως βαρύτερον, εὑρήσεις.

ϛ'. Σὺ νομίζεις ἐκφεύξεσθαι, ὅπερ οὐδεὶς τῶν

ἀνθρώ-

potuit præterire; Quis ſanctorum in mundo, ſine cruce & tribulatione fuit? Nec enim Ieſus Chriſtus, Dominus noſter, vna hora ſine dolore paſſionis fuit, quamdiu vixit. Oportebat (ait) Chriſtum pati, & reſurgere à mortuis, & ita intrare in gloriam ſuam. Et quomodo tu aliam viam quæris, quàm hanc regiam viam, quæ eſt via ſanctæ crucis.

7. Tota vita Chriſti, crux fuit & martyrium: & tu quæris requiem & gaudium? Erras, erras, ſi aliud quæris, quàm pati tribulationes; quia tota vita iſta mortalis, plena eſt miſerijs, & circum ſignata crucibus. Et quantò altiùs quis in ſpiritu profecerit, tantò grauiores ſæpe cruces inuenit: quia exilij ſui pœna magis ex amore creſcit.

8. Sed tamen, iſte ſic multipliciter afflictus, non eſt ſine leuamine conſolationis: quia fructum maximum ſibi ſentit accreſcere, ex ſufferentia ſuæ crucis. Nam dum ſponte ſe illi ſubijcit, omne onus tribulationis, in fiduciam diuinæ conſolationis conuertitur. Et quantò caro magis per afflictionem atteritur, tantò ſpiritus ampliùs per internam gratiam roboratur. Et nonnunquam in tantùm confortatur, ex affectu tribulationis & aduerſitatis, ob amorem conformitatis crucis Chriſti, vt ſe ſine dolore & tribulatione eſſe non vellet: quoniam tantò ſe acceptiorem Deo credit, quantò plura & grauiora, pro eo perferre potuerit. Nõ eſt iſtud hominis virtus, ſed gratia Chriſti, quem

tanta

Digitized by Google

ἀνθρώπων ἐκκλίνειν ἐδυνήθη; τίς τῶν ἁγίων ἐν τῷ κόσμῳ χωρὶς σταυροῦ καὶ θλίψεως ἐγένετο; οὐ γὰρ ὁ Ἰησοῦς Χριστὸς, ὁ κύριος ἡμῶν, οὐδεμίαν ὥραν ἄνευ τῆς ἀλγηδόνος τοῦ πάθους διέμεινεν, ἕως ἔζη. οὐχὶ (φησι) ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ οὕτως εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; πῶς δὲ σὺ ἄλλην ὁδὸν ζητεῖς, ἢ τήνδε τὴν δημοσίαν, ἥπερ ἐστὶν ἡ ὁδὸς τοῦ ἁγίου σταυροῦ;

ζ. Ὅλος ὁ βίος τοῦ Χριστοῦ, σταυρὸς καὶ μαρτύριον γέγονε· καὶ σὺ ἀνάπαυσιν καὶ χαρὰν ζητεῖς; πλανᾷ, πλανᾷ ἄλλο ζητῶν, ἢ τὸ παθεῖν τὰς θλίψεις, ὅτι πᾶς ὁ βίος οὗτος ὁ θανάσιμος γέμει ταλαιπωριῶν, καὶ τοῖς σταυροῖς περισσημειώθη. καὶ ὅσῳ τις ὑψηλότερον τῷ πνεύματι προκόπτει, τοσούτῳ δεινοτέρους σταυροὺς πολλάκις εὑρίσκει, ὅτι ἡ τοῦ ἐξορισμοῦ αὐτοῦ ποινὴ ἐκ τῆς ἀγάπης μᾶλλον αὐξάνεται.

η. Ἀλλ᾽ ὅμως οὗτος τόνδε τὸν τρόπον πολλαπλασίως κακοπαθῶν, τοῦ τῆς παραμυθίας κουφισμοῦ οὐκ ἀπορεῖ, ὅτι μέγιστον καρπὸν ἐκ τοῦ τὸν σταυρὸν αὐτοῦ ὑπομένειν αὔξεσθαι αἰσθάνεται. ἑκουσίως γὰρ ἑαυτὸν τῷ σταυρῷ ὑποτάττοντι, ἅπαν τὸ τῆς θλίψεως φορτίον, εἰς τὴν τῆς θείας παρακλήσεως πεποίθησιν μεταβάλλεται. καὶ ὅσῳ μᾶλλον ἡ σὰρξ τῇ κακώσει κατατρίβεται, τοσούτῳ πλέον τὸ πνεῦμα τῇ ἔσω χάριτι κραταιοῦται. καὶ δή ποτε οὕτως ἐνισχύει ἐκ τοῦ ἐπιθυμεῖν τῆς θλίψεως καὶ τῆς συμφορᾶς διὰ τὴν ἀγάπην τῆς συμμορφώσεως τοῦ σταυροῦ τοῦ Χριστοῦ, ἵνα μὴ ἀναλγήτως καὶ ἀκακώτως βιῶσαι βουληθῇ, ὅτι πιστεύει τοσούτῳ χαριέστερον τῷ θεῷ γίνεσθαι, ὅσῳπερ ἂν πλείω καὶ δεινότερα ὑπὲρ αὐτοῦ ἀνέχεσθαι δυνηθείη. τοῦτο οὐκ ἔστιν ἡ δύναμις τοῦ ἀνθρώπου, ἀλλ᾽ ἡ χάρις τοῦ Χριστοῦ, ἣ

τοσοῦτο

Digitized by Google

tanta poteſt & agit in carne fragili: vt quod naturaliter ſemper abhorret & fugit, hoc feruore ſpiritus aggrediatur & diligat.

9. Non eſt ſecundùm hominem crucem portare, crucem amare, corpus caſtigare & ſeruituti ſubijcere: honores fugere, contumelias libenter ſuſtinere, ſeipſum deſpicere & deſpici optare: aduerſa quæque cum damnis perpeti, & nihil proſperitatis in hoc mundo deſiderare. Si ad te ipſum reſpicis, nihil huiuſmodi ex te poteris. Sed ſi in Domino confidis, dabitur tibi fortitudo de cælo, & ſubijcientur ditioni tuæ, mundus & caro. Sed nec inimicum diabolum timebis, ſi fueris fide armatus, & cruce Chriſti ſignatus.

10. Pone te ergo, ſicut bonus & fidelis ſeruus Chriſti, ad portandam viriliter crucem Domini tui, pro te ex amore crucifixi. Præpara te, ad toleranda multa aduerſa & varia incommoda, in hac miſera vita: quia ſic tecum erit, vbicunque fueris: & ſic reuerà eum inuenies, vbicunque latueris. Oportet ita eſſe, & non eſt remedium euadendi à tribulatione malorum & dolore, quàm vt patiaris. Calicem Domini affectanter bibe, ſi amicus eius eſſe, & partem cum eo habere deſideras. Conſolationes Deo committe: faciat ipſe cum talibus, ſicut ſibi magis placuerit. Tu vero, pone te ad ſuſtinendum tribulationes,

& repu-

τοῦτο δυναμένη καὶ κατεργαζομένη ἐν τῇ σαρκὶ ἀσθενεῖ· ὅπως, ὅ, τι φυσικῶς ἀεὶ μυσάττεται καὶ φεύγει, τόδε τῇ ζέσει τοῦ πνεύματος ἐπιχειρήσῃ καὶ φιλήσῃ.

θ΄. Οὐ πέφυκεν ὁ ἄνθρωπος τὸν σταυρὸν βαστάζειν, τὸν σταυρὸν φιλεῖν, τὸ σῶμα ὑπωπιάζειν καὶ δουλαγωγεῖν, τὰς τιμὰς φεύγειν, τὰς ὕβρεις ἀσμένως ὑπομένειν, ἑαυτοῦ καταφρονεῖν, καὶ τοῦ καταφρονεῖσθαι ἐπιθυμεῖν· πᾶσαν ἀτυχίαν καὶ βλάβην πάσχειν, καὶ μηδεμίαν εὐτυχίαν ἐν τούτῳ κόσμῳ ἐπιποθεῖν. εἰ εἰς σεαυτὸν μὲν ἀποβλέπεις, μηδὲν τούτων ἐκ σεαυτοῦ δυνήσῃ. εἰ δὲ τῷ θεῷ πέποιθας, ἡ ἰσχὺς οὐρανόθεν σοι δοθήσεται, καὶ ὁ κόσμος καὶ ἡ σάρξ σοι ὑποταχθήσεται. Ἀλλ' οὐδὲ τὸν ἐχθρὸν τὸν διάβολον φοβηθήσῃ, ἐὰν τῇ πίστει ὁπλισθῇς, καὶ τῷ τοῦ Χριστοῦ σταυρῷ σημειωθῇς.

ι. Διόπερ ἀδελφέ, ὡς ἀγαθὸς καὶ πιστὸς δοῦλος τοῦ Χριστοῦ, τὸν σταυρὸν τοῦ κυρίου σου ὑπὲρ σοῦ ἐξ ἀγάπης ἐσταυρωμένου, ἀνδρείως βαστάζειν. παρασκεύασόν σε ἐπὶ τὸ φέρειν πολλὰ δεινὰ καὶ διάφορα δυστυχήματα ἐν τῷδε τῷ ταλαιπώρῳ βίῳ, ὅτι οὕτω μετὰ σοῦ αὐτὸς ἔσται, ὅπου ἂν ᾖς· καὶ οὕτω τῷ ὄντι αὐτὸν εὑρήσεις, ὅπου ἂν κρυβῇς. ἀναγκαῖον οὕτως εἶναι τοῦτο, καὶ οὐχ ὑπάρχει τρόπος τοῦ ἐκφυγεῖν τὴν θλῖψιν τῶν κακῶν καὶ τὴν λύπην, πλὴν τὸ παθεῖν. τὸ ποτήριον τοῦ κυρίου ἐπιθυμητικῶς πῖνε, εἰ φίλος αὐτοῦ εἶναι, καὶ μέρος μετ' αὐτοῦ ἔχειν ἐθέλεις. τὰς παρακλήσεις τῷ θεῷ ἐπίτρεπε· διατιθείη ἂν αὐτὸς ταύτας κατὰ τὸ μᾶλλον ἀρέσκειν αὐτῷ. σὺ δὲ ἕτοιμος γίνου ὑπομένειν τὰς θλίψεις,

καὶ νο-

& reputa eas maximas conſolationes. quia non ſunt condignæ paſſiones huius temporis, ad futuram gloriam promerendam, etiam ſi ſolus omnes poſſes ſuſtinere.

11. Quando ad hoc veneris, quòd tribulatio tibi dulcis eſt, & ſapit pro Chriſto: tunc bene tecum eſſe exiſtima, quia inueniſti paradiſum in terra. Quamdiu pati graue tibi eſt, & fugere quæris; tamdiu malè habebis, & ſequetur te vbique fuga tribulationis.

12. Si ponis te, ad quod eſſe debes, videlicet ad patiendum & moriendum, fiet citò meliùs, & pacem inuenies. Etiam ſi raptus fueris, vſque ad tertium cælum cum Paulo, non es propterea ſecuratus, de nullo contrario patiendo. Ego (inquit Ieſus) oſtendam illi, quanta oporteat eum, pro nomine meo pati. Pati ergò tibi remanet, ſi Ieſum diligere, & perpetuò illi ſeruire placet.

13. Vtinam dignus eſſes, aliquid pro nomine Ieſu pati: quàm magna gloria remaneret tibi, quanta exultatio omnibus ſanctis Dei, quanta quoque ædificatio eſſet proximi? Nam patientiam omnes recommendant, quamuis pauci tamen pati velint. Meritò deberes libenter modicum pati pro Chriſto, cùm multi maiora patiantur pro mundo.

**14. Scias pro certo, quia morientem te oportet ducere vitam. Et quantò quiſque plus ſibi moritur, tantò magis Deo viuere incipit. Nemo aptus eſt ad comprehendendum cæleſtia, niſi ſe ſubmiſerit ad portandum pro Chriſto aduerſa.**

**Nihil**

Digitized by Google

καὶ νόμιζε αὐτὰς εἶναι μεγίστας παρακλήσεις, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὸ τῆς μελλούσης δόξης ἐπιτυχεῖν, κἂν μόνος πάντα ὑποφέρειν δυνηθῇς.

ια. Ἐὰν εἰς τοῦτο ἔλθῃς, ὥστε τὴν θλῖψιν ἡδεῖαν καὶ ὑπὲρ τοῦ Χριστοῦ εὐάρεστόν σοι εἶναι, τότε ἡγοῦ σε καλῶς ἔχειν, ὅτι ἐπὶ τῆς γῆς τὸν παράδεισον εὗρες. ἐφ' ὅσον τὸ παθεῖν σοι χαλεπὸν γίνεται, καὶ ἐκφεύγειν ἐπιθυμεῖς, ἐπὶ τοσοῦτον κακῶς ἕξεις, καὶ ἡ θλῖψις, ἣν φεύγεις, πανταχοῖ σοι ἀκολουθήσει.

ιβ. Εἰ παρασκευάζεις σε πρὸς ὃ δεῖ, πρὸς τὸ παθεῖν δήπου, καὶ τὸ θανεῖν, ταχέως βέλτιον ἕξεις, καὶ τὴν εἰρήνην εὑρήσεις. εἰ καὶ σὺν τῷ ἁγίῳ Παύλῳ, ἕως τοῦ τρίτου οὐρανοῦ ἁρπαχθήσῃ, οὐ διὰ τοῦτο ἀσφαλὴς εἶ τοῦ μηδὲν δεινὸν ὑπομένειν. Ἐγὼ (λέγει ὁ Ἰησοῦς) ὑποδείξω αὐτῷ, ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. λοιπὸν οὖν σοι τὸ παθεῖν, εἰ τὸν Ἰησοῦν ἀγαπᾶν, καὶ ἀϊδίως αὐτῷ δουλεύειν ἐθέλεις.

ιγ. Εἴθε ἄξιος ἦς παθεῖν τι ὑπὲρ τοῦ ὀνόματος τοῦ Ἰησοῦ· πόση δόξα ἀπέκειτο σοι, πόση ἀγαλλίασις πᾶσι τοῖς ἁγίοις τοῦ Θεοῦ, πόση οἰκοδομὴ τοῦ πλησίον ἐγένετο; τὴν γὰρ ὑπομονὴν πάντες συνίστασιν, εἰ καὶ ὀλίγοι ὑπομένειν βούλονται. εἰκότως ἂν ἔδει σε ἀσμένως παθεῖν μικρὸν ὑπὲρ τοῦ Χριστοῦ, πολλῶν μείζω παχόντων ὑπὲρ τοῦ κόσμου.

ιδ. Εὖ ἴσθι, ὅτι χρὴ θνήσκοντά σε βιῶσαι, καὶ ὅσῳ μᾶλλόν τις ἑαυτῷ ἀποθνήσκει, τοσούτῳ πλέον τῷ Θεῷ βιοῦν ἄρχεται. οὐδεὶς εὔθετός ἐστιν εἰς τὸ καταλαβέσθαι τὰ οὐράνια, εἰ μὴ ὁ ἑαυτὸν ὑποτάττων εἰς τὸ τὰ δεινὰ φέρειν ὑπὲρ τοῦ Χριστοῦ.



Digitized by Google

Nihil DEO acceptius, nihil tibi ſalubrius in mundo iſto, quàm libenter pati pro Chriſto. Et ſi eligendum tibi eſſet, magis optare deberes, pro Chriſto aduerſa pati, quàm multis conſolationibus recreari: quia Chriſto ſimilior eſſes, & omnibus ſanctis conformior. Non enim ſtat meritum noſtrum, & profectus ſtatus noſtri, in multis ſuauitatibus & conſolationibus: ſed potiùs in magnis grauitatibus, & tribulationibus perferendis.

15. Si quidem aliquid melius & vtilius ſaluti hominum, quàm pati, fuiſſet, Chriſtus vtique verbo & exemplo oſtendiſſet. Nam & ſequentes ſe diſcipulos, omneſque eum ſequi cupientes, manifeſtè ad crucem portandam hortatur, & dicit: Si quis vult venire poſt me, abneget ſemetipſum, & tollat crucem ſuam, & ſequatur me. Omnibus ergò perlectis & ſcrutatis, ſit hæc concluſio finalis: Quoniam per multas tribulationes, oportet nos intrare in regnum Dei.

FINIS.

LIBER

μηδὲν τῷ Θεῷ μᾶλλον προσδεκτόν, μηδὲν σοὶ ἐν τῷδε τῷ κόσμῳ σωτηριώτερον τοῦ ἀσμένως ὑπὲρ τοῦ Χριστοῦ παθεῖν. καὶ εἰ αἱρετέον σοι, μᾶλλον ἂν εὔχεσθαι ὤφειλες, τὸ ὑπὲρ τοῦ Χριστοῦ τὰ δεινὰ παθεῖν, ἀντὶ τοῦ πολλαῖς παραμυθίαις ἱλαρῦσθαι, ὅτι τῷ Χριστῷ ὁμοιότερος, καὶ πᾶσι τοῖς ἁγίοις συμμορφότερος ἐγίνου. οὐ γὰρ κεῖται ἡ ἀξία ἡμῶν, καὶ ἡ ἐπίδοσις τῆς καταστάσεως ἡμῶν ἐν πολλαῖς ἡδύτησι καὶ παραμυθίαις, ἀλλὰ μᾶλλον ἐν τῷ τὰς μεγάλας χαλεπότητας καὶ θλίψεις ὑπομένειν.

ιε. Εἴ τι βέλτιον καὶ χρησιμώτερον τῇ σωτηρίᾳ τῶν ἀνθρώπων τοῦ παθεῖν εἴη, ὁ Χριστὸς ἂν τῷ λόγῳ καὶ τῷ ὑποδείγματι ἐδήλωσε. τοὺς γὰρ αὐτῷ ἀκολουθοῦντας μαθητάς, καὶ πάντας αὐτῷ ἀκολουθεῖν ἐπιθυμοῦντας εἰς τὸ τὸν σταυρὸν βαστάζειν σαφῶς προτρέπων λέγει· εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. πάντων τοίνυν ἀναγνωσθέντων καὶ διερευνηθέντων, οὗτος ὁ τελευταῖος ἐπίλογος ἔστω· ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

ΤΕΛΟΣ.

# LIBER TERTIVS.

## CAP. I.

### *De interna Chriſti locutione, ad animam fidelem.*

1. AVdiam, quid loquatur in me Dominus Deus. Beata anima, quæ Dominum in ſe loquentem audit: & de ore eius conſolationis verbum accipit. Beatæ aures, quæ venas diuini ſuſurri ſuſcipiunt, & de mundi huius ſuſurrationibus nihil aduertunt. Beatæ planè aures, quæ non vocem foris ſonantem, ſed intùs auſcultant veritatem docentem. Beati oculi, qui exterioribus clauſi, interioribus autem ſunt intenti. Beati, qui interna penetrant, & ad capienda arcana cæleſtia, magis ac magis, per quotidiana exercitia, ſe ſtudent præparare. Beati, qui Deo vacare geſtiunt, & ab omni impedimento ſeculi, ſe excutiunt.

2. Animaduerte hæc anima mea, & claude ſenſualitatis tuæ oſtia: vt poſſis audire, quid in te loquatur Dominus Deus tuus. Hæc dicit dilectus tuus: Salus tua ego ſum, pax tua, & vita tua. Serua te apud me, & pacem inuenies. Dimitte omnia tranſitoria, quære æterna. Quid ſunt omnia temporalia, niſi ſeductoria? Et quid iuuant omnes creaturæ, ſi fueris à creatore deſerta? Omnibus ergò abdicatis, creatori tuo te redde placitam ac fidelem, vt veram valeas apprehendere beatitudinem.

CAP.

Digitized by Google

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

## Κεφάλαιον α.

### Περὶ τῆς ἔσω ὁμιλίας τοῦ Χριστοῦ τῆς πρὸς τὴν πιστὴν ψυχήν.

α. Ἀκούσομαι, τί λαλήσει ἐν ἐμοὶ ὁ κύριος ὁ θεός. μακαρία ἡ ψυχή, ἡ τοῦ κυρίου ἐν αὐτῇ λαλοῦντος ἀκούουσα, καὶ ἀπὸ τοῦ στόματος αὐτοῦ τὸν παρακλητικὸν λόγον λαμβάνουσα. μακάρια τὰ ὦτα, τὰ μὲν τὰς φλέβας τοῦ θείου ψιθυρίσματος ἐκδεχόμενα, τοῖς δὲ τοῦ κόσμου τούτου ψιθυρισμοῖς οὐ προσέχοντα. μακάρια δὴ τὰ ὦτα, τὰ οὐ τὴν φωνὴν ἔξω ἠχοῦσαν, ἀλλὰ τὴν ἀλήθειαν τὴν ἔσω διδάσκουσαν ἀκροώμενα. μακάριοι οἱ ὀφθαλμοί, οἱ τοῖς ἔξω κλεισθέντες, τοῖς δ' ἔσω προσεχεῖς εἰσι. μακάριοι, οἱ τὰ ἔσω διερχόμενοι, καὶ πρὸς τὸ τὰ οὐράνια μυστήρια καταλαβεῖν, ἑαυτοὺς ἐπιπλέον διὰ τὰς ἀσκήσεις καθημερινὰς ἑτοιμάζεσθαι σπουδάζοντες. μακάριοι οἱ τῷ θεῷ σχολάζειν ἐπιποθοῦντες, καὶ πάντων τῶν τοῦ κόσμου ἐμποδισμάτων ἑαυτοὺς ἀπαλλάττοντες.

β. Σκόπει ταῦτα ψυχή μου, καὶ κλεῖε τὰς θύρας τῆς αἰσθητικῆς δυνάμεώς σου, ἵν' ἀκοῦσαι δυνηθῇς, τί δὴ ἐν σοὶ ὁ κύριος θεός σου λαλήσῃ. ταῦτα λέγει ὁ ἀγαπητός σου· σωτηρία σου εἰμὶ ἐγώ, ἥ τε εἰρήνη σου, καὶ ζωή σου· παράμενέ μοι, καὶ τὴν εἰρήνην εὑρήσεις. ἄφες, πάντα τὰ παραγόμενα, ζήτησον τὰ αἰώνια. τί γάρ ἐστι πάντα πρόσκαιρα, εἰ μὴ ἀπατητικά; καὶ τί ὠφελοῦσί σε πᾶσαι αἱ κτίσεις, ἐὰν ὑπὸ τοῦ κτίστου καταλειφθῇς; πᾶσιν οὖν ἀποταξαμένη τῷ κτίστῃ σου εὐάρεστον καὶ πιστήν σε πάρεχε, ἵνα τῆς ἀληθινῆς μακαριότητος τυχεῖν δυνηθῇς.

## Cap. II.

### *Quod veritas intùs loquitur ſine ſtrepitu verborum.*

1. Loquere Domine, quia audit ſeruus tuus. Seruus tuus ſum ego, da mihi intellectum, vt ſciam teſtimonia tua. Inclina cor meum in verba oris tui; fluat vt ros eloquium tuum. Dicebant olim filij Iſraël ad Moyſen: Loquere tu nobis, & audiemus: non loquatur nobis Dominus, ne fortè moriamur. Non ſic Domine, non ſic oro: ſed magis cum Samuele Propheta, humiliter ac deſideranter obſecro: Loquere Domine, qui audit ſeruus tuus. Non loquatur mihi Moyſes, aut aliquis ex Prophetis: ſed tu potiùs loquere Domine Deus, inſpirator & illuminator omnium Prophetarum: quia tu ſolus ſine eis, potes me perfectè imbuere; illi autem ſine te, nihil proficient.

2. Poſſunt quidem verba ſonare, ſed ſpiritum non conferunt. Pulcherrimè dicunt, ſed, te tacente, cor non accendunt. Literas tradunt, ſed tu ſenſum aperis. Myſteria proferunt, ſed tu reſeras intellectum ſignatorum. Mandata edicunt, ſed tu iuuas ad perficiendum. Viam oſtendunt, ſed tu confortas ad ambulandum. Illi foris tantùm agunt, ſed tu corda inſtruis & illuminas. Illi exteriùs rigant, ſed tu fœcunditatem donas. Illi clamant verbis, ſed tu auditui intelligentiam tribuis.

3. Non ergo loquatur mihi Moyſes, ſed tu Domine Deus meus æterna veritas: ne fortè moriar,

& ſine

## Κεφ. β΄.

### Ὅτι ἡ ἀλήθεια ἔσω λαλεῖ χωρὶς τοῦ κτύπου τῶν ῥημάτων.

α΄. Λαλεῖ κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου. δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με, τοῦ γνῶναί με τὰ μαρτύριά σου. κλῖνον τὴν καρδίαν μου εἰς τοὺς λόγους τοῦ στόματός σου· ῥυέτω, ὡς δρόσος, τὰ ῥήματά σου. εἶπαν πάλαι οἱ υἱοὶ τοῦ Ἰσραὴλ πρὸς Μωυσῆν· λάλησον σὺ ἡμῖν, καὶ ἀκούσομεν· μὴ λαλείτω πρὸς ἡμᾶς ὁ κύριος, μήποτε ἀποθάνωμεν. οὐχ οὕτω, κύριε, οὐχ οὕτως ἐγὼ δέομαί σου, ἀλλὰ μετὰ τοῦ Σαμουὴλ Προφήτου ταπεινῶς καὶ ἐπιθυμητικῶς ἀντιβολῶ. λάλησον, κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου. μὴ λαλείτω ἐμοὶ ὁ Μωυσῆς, ἢ ἄλλος τῶν προφητῶν, ἀλλὰ σὺ μᾶλλον λάλησον κύριε ὁ θεὸς, ἐμπνευστὴς καὶ φωτιστὴς πάντων τῶν προφητῶν, ὅτι σὺ μόνος χωρὶς αὐτῶν τελείως παιδεύειν με δύνῃ, αὐτοὶ δ᾽ ἔξω σου, μηδὲν ὠφελήσουσι.

β΄. Τὰ μὲν ῥήματα ἠχῆσαι δύνανται, τὸ δὲ πνεῦμα οὐ παρέχουσι. κάλλιστα λέγουσι, σοῦ δὲ σιγῶντος, τὴν καρδίαν οὐκ ἀνάπλουσι. παραδιδοῦσι τὰ γράμματα, τὸν δὲ νοῦν σὺ διανοίγεις. τὰ μυστήρια διαγορεύουσι, σὺ δὲ τὸ νόημα τῶν ἐπιτυπωθέντων διασαφεῖς. ἐκφέρουσι τὰ δόγματα, σὺ δὲ εἰς τὸ διατελεῖν συλλαμβάνεις. τὴν ὁδὸν ἐπιδεικνύουσιν, εἰς δὲ τὸ πορεύεσθαι σὺ κραταιοῖς. αὐτοὶ μόνον ἔξω πράττουσι, σὺ δὲ τὰς καρδίας παιδεύεις καὶ διαφωτίζεις. αὐτοὶ ἔξω ποτίζουσι, σὺ δὲ τὴν εὐκαρπίαν δωρῇ· αὐτοὶ βοῶσι τοῖς ῥήμασι, σὺ δὲ τὴν ἀκοὴν συνετίζεις.

γ΄. Μὴ τοίνυν μοι λαλείτω ὁ Μωυσῆς, ἀλλὰ σὺ, κύριε ὁ θεός μου, αἰώνιος ἀλήθεια, μήποτε ἀποθάνω,

& ſine fructu efficiat, ſi fuero tantùm foris admonitus, & intùs non accenſus: ne ſit mihi ad iudicium, verbum auditum, & non factum: cognitum, nec amatum: creditum, & non ſeruatum. Loquere igitur Domine, quia audit ſeruus tuus, verba enim vitæ æternæ habes. Loquere mihi, ad qualemcunque animæ meæ conſolationem, & ad totius vitæ meæ emendationem: tibi autem, ad laudem & gloriam, & perpetuum honorem.

## Cap. III.

*Quòd verba Dei, cum humilitate ſunt audienda: & quod multi ea non ponderant.*

1. AVdi fili verba mea, verba ſuauiſſima, omnem philoſophorum & ſapientium huius mundi ſcientiam excedentia. Verba mea ſpiritus & vita ſunt, nec humano ſenſu penſanda. Non ſunt ad vanam complacentiam trahenda, ſed in ſilentio audienda, & cum omni humilitate atque magno affectu ſuſcipienda: & dixi: Beatus, quem tu erudieris Domine, & de lege tua docueris eum: vt mitiges ei à diebus malis, & non deſoletur in terra. Ego, inquit Dominus, docui Prophetas ab initio, & vſque nunc non ceſſo omnibus loqui: ſed multi, ad vocem meam ſurdi ſunt, & duri.

2. Plures mundum libentiùs audiunt, quàm Deum: faciliùs ſequuntur carnis ſuæ appetitum, quàm Dei beneplacitum. Promittit mundus temporalia & parua, & ſeruitur ei auiditate magna: ego promitto ſumma, & æterna, & torpeſcunt mortaliũ corda. Quis tanta cura, mihi in omni-

Digitized by Google

καὶ ἄκαρπος γένωμαι, ἔξω μὲν παραγγελθεὶς, ἔσω δ᾽ οὐκ ἀναφθεὶς, ἵνα μὴ γένηταί μοι εἰς κρῖμα ὁ λόγος ἀκουσθεὶς, ἀλλ᾽ οὐ ποιηθεὶς· γνωσθεὶς, ἀλλ᾽ οὐκ ἀγαπηθεὶς· πιστευθεὶς, ἀλλ᾽ οὐ διατηρηθείς. λάλει οὖν κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου· ῥήματα γὰρ ζωῆς αἰωνίου ἔχεις. λάλει ἐμοὶ, εἰς μὲν ὁποιανοῦν παράκλησιν τῆς ψυχῆς μου, καὶ εἰς ἐπανόρθωσιν ὅλου τοῦ βίου μου, σοὶ δὲ εἰς αἶνον, δόξαν, καὶ τιμὴν αἰώνιον.

## Κεφ. γ´.

### Ὅτι δεῖ τοὺς λόγους τοῦ θεοῦ ταπεινῶς ἀκούειν, καὶ ὅτι πολλοὶ αὐτοὺς οὐκ ἐξετάζουσιν.

α´. Ἄκουσον τέκνον, τῶν λόγων μου, τῶν λόγων ἡδίστων, τῆς πάσης ἐπιστήμης τῶν φιλοσόφων καὶ συνετῶν τούτου κόσμου ὑπερεχόντων. τὰ ῥήματά μου πνεῦμα καὶ ζωή ἐστιν, ἅπερ οὐ δεῖ κατὰ τὴν γνώμην τὴν ἀνθρωπίνην ἐξετάζειν, οὐδ᾽ εἰς τὴν ματαίαν ἀρέσκειαν ἐφέλκειν, ἀλλὰ σιγῇ ἀκούειν, καὶ μετὰ πάσης ταπεινότητος καὶ μεγάλης ἐπιποθήσεως ὑποδέχεσθαι· καὶ εἶπα· μακάριος ἀνὴρ, ὃν ἂν σὺ παιδεύσῃς κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν· τοῦ πραΰναι αὐτὸν ἀφ᾽ ἡμερῶν πονηρῶν, καὶ μὴ ἐρημωθῆναι ἐπὶ τῆς γῆς. ἐγώ, φησὶν ὁ κύριος, ἀπαρχῆς τοὺς προφήτας ἐδίδαξα, καὶ μέχρι τοῦ νῦν οὐ λήγω λαλῶν πᾶσιν· πολλοὶ δ᾽ εἰς τὴν φωνήν μου κωφοὶ, καὶ σκληροὶ τυγχάνουσι.

β´. Πλείους μὲν τοῦ κόσμου ἀσμενέστερον, ἢ τοῦ θεοῦ ἀκούουσι· ῥᾷον δὲ τὴν τῆς σαρκὸς ἐπιθυμίαν, ἢ τὴν τοῦ θεοῦ εὐδοκίαν διώκουσιν. ἐπαγγέλλεται ὁ κόσμος τὰ πρόσκαιρα καὶ μικρά· καὶ προθυμότατον αὐτῷ δουλεύουσιν. ἐγὼ δὲ τὰ μέγιστα καὶ αἰώνια ἐπαγγέλλομαι, καὶ αἱ τῶν ἀνθρώπων καρδίαι ὀκνοῦσι. τίς οὕτως ἐπιμελῶς ἐν

omnibus ſeruit & obedit, ſicut mundo & dominis eius ſeruitur? Erubeſce Sidon, ait mare. Et ſi cauſam quæris, audi quare. Pro modica præbenda, longa via curritur: pro æterna vita, à multis vix pes ſemel à terra leuatur. Vile pretium quæritur: pro vno numiſmate interdum turpiter litigatur: pro vana re & parua promiſſione, die noctuque fatigari non timetur.

3. Sed proh dolor, pro bono incommutabili, pro præmio inæſtimabili, pro ſummo honore & gloria interminabili, vel ad modicum fatigari pigritatur. Erubeſce ergò ſerue piger & queruloſe, quòd illi paratiores inueniuntur ad perditionem, quàm tu ad vitam Gaudent illi ampliùs ad vanitatē, quàm tu ad veritatē. Equidē à ſpe ſua nonnunquam fruſtrantur, ſed promiſſio mea neminē fallit, nec confidentem mihi dimittit inanem. Quod promiſi, dabo; quod dixi, implebo; ſi tamen vſque in finem, fidelis in dilectione mea quis permanſerit. Ego remunerator ſum omnium bonorum, & fortis probator omnium deuotorum.

4. Scribe verba mea in corde tuo, & pertracta diligenter: erunt enim in tempore tentationis, valdè neceſſaria. Quod non intelligis, cùm legis, cognoſces in die viſitationis. Dupliciter ſoleo electos meos viſitare, tentatione ſcilicet & conſolatione. Et duas lectiones eis quotidie lego: vnam increpando eorum vitia; alteram exhortando ad virtutum incrementa. Qui habet verba mea, & ſpernit ea, habet qui iudicet eum, in nouiſſimo die.



Digitized by Google

πάντῃ δουλεύει μοι, καὶ ὑπακούει, ὡς τῷ κόσμῳ καὶ τοῖς αὐτοῦ κυρίοις δουλεύουσιν; αἰσχύνθητι Σιδὼν, εἶπεν ἡ θάλασσα. καὶ εἰ τὴν αἰτίαν ζητεῖς, ἄκουσον αὐτῆς. ὑπὲρ μικρᾶς προσόδου μακρὰν ὁδὸν διατρέχουσιν· ἀντὶ δὲ τῆς ζωῆς αἰωνίου πολλοὶ σχεδὸν ἅπαξ τὸν πόδα ἀπὸ τῆς γῆς αἴρουσιν· εὐτελὲς κέρδος ζητοῦσι· περὶ ἑνὸς ὀβολοῦ ποτε αἰσχρῶς ἐρίζουσιν· ὑπὲρ κενοῦ πράγματος καὶ μικρᾶς ὑποσχέσεως νυκτὸς καὶ ἡμέρας ἀποκάμνειν οὐκ ὀκνοῦσιν.

γ'. Ἀλλ' αἲ αἴ, ὑπὲρ τοῦ ἀμεταβλήτου ἀγαθοῦ, ὑπὲρ τοῦ ἄθλου ἀτιμήτου, ὑπὲρ τῆς μεγίστης τιμῆς καὶ ἀπεράντου δόξης, καὶ πρὸς ὀλίγον ἐνοχλούμενοι ῥαθυμοῦσι. αἰσχύνθητι οὖν δοῦλε ἀργὲ καὶ μεμψίμοιρε, ἐν τῷ αὐτοὺς ἑτοιμοτέρους εὑρεθῆναι εἰς τὴν ἀπώλειαν, ἢ σὲ εἰς τὴν ζωήν. τῇ ματαιότητι αὐτοὶ μᾶλλον χαίρουσιν, ἢ σὺ τῇ ἀληθείᾳ. καὶ τῆς μὲν ἐλπίδος αὐτῶν ποτε ἀποτυγχάνουσι· τὸ δ' ἐπάγγελμά μου μηδένα σφάλλει, οὐδὲ τὸν πεποιθότα μοι ἐξαποστέλλει κενόν. ὅπερ ἐπηγγειλάμην, δώσω· ὅπερ ἔλεξα, πληρώσω, εἴγε τις ἕως τοῦ τέλους ἐν τῇ ἀγάπῃ μου πιστὸς μενεῖ. ἐγὼ μισθαποδότης γίνομαι πάντων ἀγαθῶν, καὶ ἰσχυρὸς δοκιμαστὴς πάντων εὐλαβῶν.

δ'. Γράψον τὰ ῥήματά μου ἐν τῇ καρδίᾳ σου, καὶ ἐπιμελῶς αὐτὰ σκόπησον· ἐν τῷ γὰρ καιρῷ τοῦ πειρασμοῦ ἀναγκαιέστατά σοι ἔσται. ὅ, τι οὐ κατανοεῖς ἀναγινώσκων, γνώσῃ ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς. διπλαχῶς τοὺς ἐκλεκτούς μου ἐπισκοπεῖν εἴωθα, τῷ πειρασμῷ δήπου, καὶ τῇ παρακλήσει· προσέτι δύο ἀναγνώσεις αὐτοῖς καθ' ἑκάστην ἐξηγοῦμαι, τὴν μὲν, ταῖς κακίαις αὐτῶν ἐπιτιμῶν, τὴν δ', εἰς τὴν τῶν ἀρετῶν αὔξησιν προτρέπων. ὁ ἔχων τοὺς λόγους μου, καὶ καταφρονῶν αὐτῶν, ἔχει τὸν κρίνοντα αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Εὐχὴ

*Oratio, ad implorandam deuotionis gratiam.*

1. DOmine Deus meus, omnia bona mea tu es. Et quis ego ſum, vt audeam ad te loqui? Ego ſum pauperrimus ſeruulus tuus, & abiectus vermiculus: multò pauperior & contemptibilior, quàm ſcio, & dicere audeo. Memento tamen Domine, quia nil ſum, nihil habeo, nihilque valeo. Tu ſolus bonus, iuſtus & ſanctus; tu omnia potes, omnia præſtas, omnia imples, ſolum peccatorem inanem relinquens. Reminiſcere miſerationum tuarum, & imple cor meum gratia tua, qui non vis eſſe vacua opera tua.

2. Quomodo poſſum me tolerare in hac miſera vita: niſi me confortauerit miſericordia, & gratia tua? Noli auertere faciem tuam à me: noli viſitationem tuam prolongare: noli conſolationem tuam abſtrahere, ne fiat anima mea, ſicut terra, ſine aqua tibi. Domine, doce me facere voluntatem tuam: doce me coram te dignè & humiliter conuerſari: quia ſapientia mea tu es, qui in veritate me cognoſcis, & cognouiſti antequam fieret mundus, & antequam natus eſſem in mundo.

## CAP. IV.

*Quod in veritate & humilitate, coram Deo conuerſandum eſt.*

1. FIli, ambula coram me in veritate; & in ſimplicitate cordis tui, quære me ſemper. Qui ambulat coram me in veritate, tutabitur ab incurſibus malis, & veritas liberabit eum à ſeductoribus & detractionibus iniquorum. Si veritas

Εὐχὴ εἰς τὸ αἰτῆσαι τὴν τῆς εὐσεβείας χάριν.

α'. Κύριε ὁ θεός μου, πάντα τὰ ἀγαθά μου σὺ εἶ. καὶ τίς ἐγώ, ὃς ἂν πρὸς σὲ λαλῆσαι τολμήσω; ἐγώ εἰμι πενέστατον δουλάριόν σου, καὶ καταβεβλημένον σκωλήκιον· πολλῷ πενέστερος καὶ μᾶλλον καταφρόνητος ὑπάρχων, ἢ γινώσκω καὶ θαρρῶ εἰπεῖν. ἀλλ' ὅμως, κύριε, μνήσθητι, ὅτι μηδὲν ἐγώ εἰμι, μηδὲν ἔχω, καὶ μηδὲν ἰσχύω. σὺ μόνος ἀγαθός, δίκαιος καὶ ἅγιος· σὺ πάντα δύνῃ, σὺ πάντα παρέχεις, πάντα πληροῖς, τὸν ἁμαρτωλὸν μόνον κενὸν καταλείπων. μέμνησο τῶν οἰκτιρμῶν σου, καὶ γέμισον τὴν καρδίαν μου τῆς χάριτός σου, ὁ μὴ βουλόμενος τὰ ἔργα σου εἶναι κενά.

β'. Πῶς ἂν ἐν τῷδε τῷ ταλαιπώρῳ βίῳ ἀνέχεσθαί μου δυνηθῶ, τῷ ἐλέει καὶ τῇ χάριτί σου μὴ κραταιωθείς; μὴ ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ ἐμοῦ· μὴ μάκρυνον τὴν ἐπισκοπήν σου, μὴ ἆρον τὴν παράκλησίν σου, τοῦ μὴ ὡς γῆν ἄνυδρον γενέσθαι σοι τὴν ψυχήν μου. κύριε, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου· δίδαξόν με τοῦ ἐνώπιόν σου ἀξίως καὶ ταπεινῶς περιπατεῖν, ὅτι ἡ σοφία μου σὺ γίνῃ, ὃς ἐπ' ἀληθείας με γινώσκεις, καὶ ἔγνως πρὸ τοῦ γενέσθαι τὸν κόσμον, καὶ πρὸ τοῦ ἐμὲ γεννηθῆναι ἐν τῷ κόσμῳ.

## Κεφ. δ'.

### Ὅτι ἐν ἀληθείᾳ καὶ ταπεινότητι χρὴ τῷ θεῷ πλησιάζειν.

α'. Τέκνον, περιπάτει ἐνώπιόν μου ἐν ἀληθείᾳ, καὶ ἐν ἁπλότητι τῆς καρδίας σου ἀεὶ ζήτει με. ὁ περιπατῶν ἐνώπιόν μου ἐν ἀληθείᾳ, σκεπασθήσεται ἀπὸ πολλῶν συμπτωμάτων, καὶ ἡ ἀλήθεια ἐλευθερώσει αὐτὸν ἀπὸ πλάνων καὶ καταλαλιῶν τῶν ἀδίκων. ἐὰν ἡ



Digitized by Google

veritas te liberauerit, vere liber eris, & non curabis de vanis hominum verbis. Domine verum eſt. Sicut dicis, ita quæſo, mecum fiat. Veritas tua me doceat; ipſa me cuſtodiat, & vſque ad ſalutarem finem conſeruet. Ipſa me liberet ab omni affectione mala, & inordinata dilectione: & ambulabo tecum, in magna cordis libertate.

2. Ego te docebo (ait veritas) quæ recta ſunt, & placita coram me. Cogita peccata tua, cum diſplicentia magna & mœrore: & nunquam reputes te aliquid eſſe, propter opera bona. Reuera peccator es, & multis paſſionibus obnoxius & implicatus. Ex te ſemper ad nihil tendis, & citò laberis: citò vinceris, citò turbaris, citò diſſolueris. Non habes quicquam, vnde poſſis gloriari, ſed multa, vnde te debeas vilificare: quia multò infirmior es, quàm vales comprehendere.

3. Nihil ergo magnum tibi videatur ex omnibus, quæ agis. Nil grande, nil pretioſum & admirabile, nil reputatione appareat dignum: nil altum, nihil verè laudabile & deſiderabile, niſi quod æternum eſt. Placeat tibi ſuper omnia æterna veritas, diſpliceat tibi ſemper tua maxima vilitas. Nil ſic timeas, ſic vituperes & fugias, ſicut vitia & peccata tua: quæ magis diſplicere debent, quàm quælibet rerum damna. Quidam non ſyncerè coram me ambulant, ſed quadam curioſitate & arrogantia ducti, volunt ſecreta mea ſcire, & alta Dei intelligere, ſe & ſuā

ſalutem

ἀλήθεια ἐλευθερώσῃ σε, ὄντως ἐλεύθερος ἔσῃ, ϗ οὐ μελήσεί σοι τῆς ματαιολογίας τῶν ἀνθρώπων. κύριε, ἀληθές ἐστιν· ὥσπερ εἶπες, οὕτως, δέομαί σου, γένοιτό μοι. ἡ ἀλήθειά σου διδάξαι με, αὐτὴ φυλάξαι με, ϗ ἕως τοῦ σωτηρίου τέλους διασώσαι. αὐτὴ ῥύσαιτό με ἀπὸ παντὸς πάθους κακοῦ, ϗ ἀτάκτου ἀγαπήσεως· ϗ περιπατήσω μετὰ σοῦ ἐν μεγάλῃ ἐλευθερίᾳ τῆς καρδίας.

β. Ἐγὼ διδάξω σε (φησὶν ἡ ἀλήθεια) τὰ εὐθέα ϗ ἀρεστὰ ἔμπροσθέν μου. ἐννόει τὰς ἁμαρτίας σου σὺν μεγάλῃ δυσαρεστήσει, ϗ λύπῃ· ϗ μήποτε διὰ τὰ ἀγαθὰ ἔργα δόξῃς σοι εἶναί τι. ἀληθῶς ἁμαρτωλὸς εἶ, ϗ πολλοῖς πάθεσιν ἔνοχος ϗ ἐμπλεχθείς. ἐκ σεαυτοῦ ἀεὶ εἰς μηδὲν τείνεις, ϗ ταχέως ὀλισθαίνεις, ταχέως νικᾶ, ταχέως ταράττῃ, ταχέως ἐκλύῃ. οὐκ ἔχεις τι, ἐφ' ᾧ ἂν καυχᾶσθαι οἷός τ' ἦς, ἀλλὰ πολλά, δι' ἅπερ ἂν ἐξουθενίσῃς σε, ὅτι πολλῷ ἀσθενέστερος εἶ, ἢ δύνασθαί σε καταλαβέσθαι.

γ'. Μηδὲν οὖν ἁπάντων, ὧν πράττεις, περὶ πολλοῦ ποιητέον σοι δοκείτω. μηδὲν μέγα, μηδὲν τίμιον, ϗ θαυμάσιον, μηδὲν ἔνδοξον φαινέσθω, μηδὲν ὑψηλόν. μηδὲν ὄντως ἐπαινετόν, ϗ ποθεινόν, εἰ μὴ τὸ αἰώνιον γινόμενον. ἀρεσκέτω σοι ἀεὶ ὑπὲρ πάντα ἡ αἰώνιος ἀλήθεια· ἀπαρεσκέτω δέ σοι ἀεὶ ἡ μεγίστη εὐτέλειά σου. μηδὲν οὕτω φοβοῦ, οὕτως ἐπιτίμα, ϗ φεῦγε, ὥσπερ τὰς κακίας ϗ ἁμαρτίας σου, ἃς μᾶλλον πασῶν συμφορῶν δεῖ σοι ἀπαρέσκειν. οὐκ εἰλικρινῶς τινὲς ἐνώπιόν μου περιπατοῦσιν, ἀλλὰ περιεργίᾳ ϗ ἀλαζονείᾳ ὑπαχθέντες τὰ ἀπόρρητά μου γνῶναι, ϗ τὰ ὑψηλὰ τοῦ θεοῦ συνιέναι ἐθέλουσιν, ἑαυτῶν ϗ τῆς ἰδίας

σωτηρί-

ſalutem negligentes. Hi ſæpè in magnas tentationes & peccata, propter ſuam ſuperbiam & curioſitatem, me eis aduerſante, labuntur.

4. Timè iudicia Dei, expaueſce iram omnipotentis. Noli autem diſcutere opera altiſſimi, ſed tuas iniquitates perſcrutare, in quantis deliquiſti, & quàm multa bona neglexiſti. Quidam ſolùm portant ſuam deuotionem in libris, quidam in imaginibus, quidam autem in ſignis exterioribus & figuris. Quidam habent me in ore, ſed modicùm in corde. Sunt alij, qui intellectu illuminati & affectu purgati, ad æterna ſemper anhelant: de terrenis grauiter audiunt, neceſſitatibus naturæ dolentes inſeruiunt: & hi ſentiunt, quid ſpiritus veritatis loquitur in eis. Quia docet eos terrena deſpicere, & amare cœleſtia: mundum negligere, & cælum tota die ac nocte deſiderare.

## Cap. V.

### *De mirabili effectu diuini amoris.*

1. BEnedico te pater cæleſtis, pater Domini mei Ieſu Chriſti, quia mei pauperis dignatus es recordari. O pater miſericordiarum, & Deus totius conſolationis, gratias ago tibi, qui me indignum omni conſolatione, quandoq; tua recreas conſolatione. Benedico te ſemper & glorifico cum vnigenito filio tuo, & ſpiritu ſancto paraclito, in ſæcula ſæculorum. Eia Domine Deus, amator ſanctè meus, cum tu veneris in cor meum, exultabunt omnia interiora mea. Tu es gloria mea, & exultatio cordis mei. Tu ſpes mea & refugium meũ, in die tribulationis meę.

2. Sed

σωτηρίας ἀμελοῦντες. οὗτοι τοῖς μεγάλοις πειρασμοῖς καὶ ἁμαρτήμασι διὰ τὴν ὑπερηφανίαν καὶ πολυπραγμοσύνην αὐτῶν, ἐμοῦ αὐτοῖς ἐναντιουμένου, πολλάκις περιπίπτουσι.

δ'. Τὰ τοῦ θεοῦ κρίματα φοβοῦ, καὶ τὴν ὀργὴν τοῦ παντοκράτορος ἐκπλήττου. μὴ ἐξέταζε τὰ τοῦ ὑψίστου ἔργα, ἀλλὰ τὰς ἀνομίας σου ἐξερεύνα, ἐν ὅσαις ἐξήμαρτες, καὶ ὡς πολλῶν ἀγαθῶν ἠμέλησας. οἱ μὲν τὴν εὐσέβειαν αὐτῶν βαστάζουσι μόνον ἐν ταῖς βίβλοις, οἱ δ' ἐν ταῖς εἰκόσιν, ἕτεροι δ' ἐν τοῖς ἔξω σημείοις καὶ τύποις. ἄλλοι ἐν τῷ στόματί με ἔχουσι, μικρὸν δὲ ἐν τῇ καρδίᾳ. εἰσί τινες οἱ τῷ νῷ διαφωτισθέντες, καὶ τῇ διαθέσει καθαρισθέντες τὰ αἰώνια ἀεὶ ἐπιποθοῦσι. τῶν ἐπιγείων δυσχερῶς ἀκούουσι, ταῖς τῆς φύσεως ἀνάγκαις ὀδυνώμενοι δουλεύουσιν. οὗτοι δὲ γινώσκουσι τί τὸ τῆς ἀληθείας πνεῦμα ἐν αὐτοῖς λαλεῖ. ὅτι αὐτοὺς διδάσκει τῶν ἐπιγείων καταφρονεῖν, καὶ τὰ ἐπουράνια ἀγαπᾷν, τοῦ κόσμου ἀφροντίζειν, νυκτός τε καὶ ἡμέρας τοῦ οὐρανοῦ ἐπιθυμεῖν.

## Κεφ. ε'.

### Περὶ τοῦ θαυμαστοῦ ἐνεργήματος τῆς θείας ἀγάπης.

α'. Εὐλογῶ σε πάτερ οὐράνιε, πάτερ τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ, ὅτι ἐμοῦ τοῦ πτωχοῦ ἠξίωσας μνησθῆναι. ὦ πάτερ τῶν οἰκτιρμῶν, καὶ θεὸς πάσης παρακλήσεως, εὐχαριστῶ σοι, ὃς ἐμὲ πάσης παρακλήσεως ἀνάξιον ἐνίοτε ἀναπαύεις παρακλήσει σου. εὐλογῶ σε ἀεὶ καὶ δοξάζω σὺν τῷ μονογενεῖ υἱῷ σου, καὶ τῷ ἁγίῳ πνεύματι τῷ παρακλήτῳ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. εἶα κύριε ὁ θεὸς, ἅγιε φιλητά μου, σοῦ ἐρχομένου εἰς τὴν καρδίαν μου, ἀγαλλιάσεται πάντα τὰ ἐντός μου. σὺ εἶ δόξα μου, καὶ ἀγαλλίασις τῆς καρδίας μου. σὺ ἐλπίς μου, καὶ καταφυγή μου, ἐν ἡμέρᾳ τῆς θλίψεώς μου.

2. Sed quia adhuc debilis ſum in amore, & imperfectus in virtute; ideo neceſſe habeo à te confortari & conſolari: propterea viſita me ſæpiùs, & inſtrue diſciplinis ſanctis. Libera me à paſſionibus malis, & ſana cor meum ab omnibus affectionibus inordinatis: vt intùs ſanatus & bene purgatus, aptus efficiar ad amandum, fortis ad patiendum, ſtabilis ad perſeuerandum.

3. Magna res eſt amor, magnum omninò bonum: quod ſolùm leue facit omne oneroſum, & fert æqualiter omne inæquale. Nam onus ſine onere portat, & omne amarum dulce ac ſapidum efficit. Amor Iesv nobilis, ad magna operanda impellit, & ad deſideranda ſemper perfectiora excitat. Amor vult eſſe ſurſum, nec nullis infimis rebus retineri. Amor vult eſſe liber, & ab omni mundana affectione alienus: ne internus eius impediatur aſpectus: ne per aliquod commodum temporale implicitationes ſuſtineat, aut per incommodum ſuccumbat, Nihil dulcius eſt amore, nihil fortius, nihil altius, nihil latius, nihil iucundius, nihil plenius nec melius in cælo & in terra: quia amor ex Deo natus eſt, nec poteſt, niſi in Deo, ſuper omnia creata quieſcere.

4. Amans volat, currit, & lætatur; liber eſt, & non tenetur. Dat omnia pro omnibus, & habet omnia in omnibus; quia in vno ſumo ſuper omnia quieſcit, ex quo omne bonũ fluit & procedit.

Non

β. Ἀλλ' ὅτι ἔτι ἐν τῇ ἀγάπῃ ἀσθενής, καὶ ἐν τῇ ἀρετῇ ἀτελὴς ὑπάρχω, διὰ τοῦτο δέομαι ὑπὸ σοῦ κραταιοῦσθαι καὶ παρακαλεῖσθαι. διόπερ ἐπίσκεψαί με πλεονάκις, καὶ παίδευσόν με ταῖς ἁγίαις παιδείαις. ῥῦσαί με ἀπὸ τῶν παθῶν κακῶν, καὶ ἴασαι τὴν καρδίαν μου ἀπὸ πασῶν ἀτάκτων διαθέσεων, ὅπως ἔσω θεραπευθεὶς καὶ καλῶς καθαρισθεὶς, ἐπιτήδειος εἰς τὸ ἀγαπᾷν, ἰσχυρὸς εἰς τὸ ὑπομένειν, καὶ βέβαιος εἰς τὸ διαμένειν γένωμαι.

γ. Μέγα τι ἡ ἀγάπη ἐστι, μέγα δὴ ἀγαθόν· ὃ μόνον πᾶν φορτικὸν κουφίζει, καὶ πᾶν ἀνώμαλον ὁμαλῶς φέρει· τὸ γὰρ φορτίον ἄνευ φορτίου βαστάζει, καὶ πᾶν πικρὸν, γλυκὺ καὶ εὔγευστον κατεργάζεται. ἡ τοῦ Ἰησοῦ ἀγάπη εὐγενής, ἐπὶ τὸ μεγάλα πράττειν παρορμᾷ, καὶ εἰς τὸ τελειότερα ἀεὶ ποθῆσαι ἐπεγείρει. ἡ ἀγάπη εἰς τὰ ἄνω τείνει, οὐδὲ οὐδενὶ τῶν κατωτάτων κατέχεσθαι ἐθέλει. ἡ ἀγάπη ἐλευθέρα, καὶ πάσης κοσμικῆς διαθέσεως ἀλλοτρία εἶναι βούλεται, τοῦ μὴ τὴν ἔσω ὄψιν αὐτῆς ἐμποδισθῆναι, μηδὲ δι' εὐχρήστημά τι πρόσκαιρον ἐπιπλοκὰς παθεῖν, ἢ διὰ δυσχρήστημα ἡττηθῆναι. μηδέν ἐστι τῆς ἀγάπης ἡδύτερον, μηδὲν ἰσχυρότερον, μηδὲν ὑψηλότερον, μηδὲν εὐρύτερον, μηδὲν τερπνότερον, μηδὲν μεστότερον, μηδὲν οὐδ' ἐν τοῖς οὐρανοῖς, οὐδ' ἐν τῇ γῇ βέλτιον· ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐγεννήθη, καὶ μόνον ἐν τῷ θεῷ, ὑπὲρ πάντα κτισθέντα, ἀναπαύεσθαι δύναται.

δ. Ὁ ἀγαπῶν πέταται, τρέχει, καὶ χαίρει· καὶ ἐλεύθερος τυγχάνει οὐ κρατεῖται. πάντα ἀντὶ πάντων δίδωσι, καὶ πάντα ἐν πᾶσιν ἔχει, ὅτι ἐν ἑνὶ μεγίστῳ ὑπὲρ πάντα ἡσυχάζει, ἐξ οὗ πᾶν ἀγαθὸν χεῖ καὶ ἐκπορεύεται.

οὐ βλέ-

Digitized by Google

Non reſpicit ad bona, ſed ad donantem ſe conuertit ſuper omnia bona. Amor modum ſæpè neſcit, ſed ſuper omnem modum ferueſcit. Amor onus non ſentit, labores non reputat; plus affectat, quàm valet: de impoſſibilitate non cauſatur, quia cuncta ſibi poſſe & licere arbitratur. Valet igitur ad omnia, & multa implet, & effectui mancipat, vbi non amans deficit & iacet.

5. Amor vigilat, & dormiens non dormitat. Fatigatus non laſſatur: arctatus, non coarctatur: territus, non conturbatur: ſed ſicut viuax flamma & ardens facula, ſurſum erumpit, ſecureq́; pertranſit. Si quis amat, me nouit, quid hæc vox clamet. Magnus clamor in auribus Dei eſt, ipſe ardens affectus animæ, quæ dicit: Deus meus, amor meus: tu totus meus, & ego totus tuus.

6. Dilata me in amore, vt diſcam interiori cordis ore deguſtare, quàm ſuaue ſit amare, & in amore liqueſieri & natare. Tenear amore, vadens ſupra me, præ nimio feruore & ſtupore. Cantem amoris canticum, ſequar te dilectum meum in altum, deficiat in laude tua anima mea, iubilans ex amore. Amem te, pluſquam me: nec me, niſi propter te: & omnes in te, qui verè amant te, ſicut iubet lex amoris lucens ex te.

7. Eſt amor velox, ſyncerus, pius, iucundus & amœnus: fortis, patiens, fidelis, prudens, longanimis, virilis, & ſeipſum nunquam quærens.

Vbi

οὐ βλέπει εἰς τὰ δῶρα, ἀλλ' εἰς τὸν δωρούμενον, ὑπὲρ πάντα ἀγαθὰ ἐπιστρέφεται. ἡ ἀγάπη τὸ μέτρον πολλάκις ἀγνοεῖ, ἀλλ' ὑπὲρ πᾶν μέτρον ζεῖ. ἡ ἀγάπη τοῦ φορτίου οὐκ αἰσθάνεται, τοὺς πόνους οὐ λογίζεται· πλεῖον τοῦ δύνασθαι ἐπιποθεῖ· τῇ τῆς ἀδυναμίας προφάσει οὐ χρῆται, ὅτι πάντα δυνατὰ καὶ θεμιτὰ αὐτῇ εἶναι νομίζει. ἰσχύει τοίνυν εἰς πάντα, καὶ πολλὰ πληροῖ, καὶ διαπράττεται, τοῦ μὴ ἀγαπῶντος, ἀπολείποντος καὶ ἀθυμοῦντος.

ε'. Ἡ ἀγάπη ἐγρηγορεῖ, καὶ καθεύδουσα οὐ νυστάζει· κάμνουσα οὐ καταπονεῖται· θλιβομένη οὐ στενοχωρεῖται· ἐκφοβουμένη οὐ διαταράττεται, ἀλλ' ὥσπερ ζωηρὰ φλὸξ καὶ καιόμενον δᾳδίον ἄνω ἀναρρήγνυται, καὶ ἀσφαλῶς διέρχεται. εἴ τις ἀγαπᾷ με, γινώσκει, τί ἂν αὕτη βοὴ βοᾷ. μεγάλη φωνὴ ἐν τοῖς τοῦ θεοῦ ὠσί ἐστιν, αὐτὴ ἡ καιομένη διάθεσις τῆς ψυχῆς, ἥπερ λέγει· ὁ θεός μου, ἡ ἀγάπη μου· σὺ ὅλος ἐμός, κἀγὼ ὅλος σός.

ς'. Πλάτυνόν με ἐν τῇ ἀγάπῃ, ἵνα μάθω τῷ ἔσω στόματι γεύσασθαι, ὡς γλυκύ ἐστιν ἀγαπᾶν, καὶ ἐν τῇ ἀγάπῃ διατήκεσθαι καὶ νήχεσθαι. τῇ ἀγάπῃ κατέχωμαι, βαδίζων ὑπὲρ ἐμὲ ὑπὸ τῆς ἄγαν ζέσεως καὶ ἐκστάσεως. ᾄδω τὸ τῆς ἀγάπης ᾆσμα, ἀκολουθῶ σοι τῷ ἀγαπητῷ μου εἰς τὰ ἄνω, ἐκλείπῃ ἡ ψυχή μου εἰς τὸν αἶνόν σου, ἀλαλάζουσα ὑπὸ τῆς ἀγάπης. ἀγαπῶ σε μᾶλλον ἐμοῦ, οὐδ' ἐμὲ, εἰ μὴ διὰ σὲ, καὶ ἐν σοὶ πάντας τοὺς ἀληθῶς ἀγαπῶντάς σε, καθὼς ὁ νόμος τῆς ἀγάπης ὁ ἐκ σοῦ ἐκλάμπων, κελεύει.

ζ'. Ἡ ἀγάπη ἐστὶν ὠκεῖα, εἰλικρινής, εὔσπλαγχνος, ἡδεῖα καὶ εὔθυμος· ἰσχυρά, ἀνεξίκακος, πιστή, φρόνιμος, μακρόθυμος, ἀνδρώδης, καὶ ἑαυτὴν μηδέποτε ζητοῦσα·

ὅπου

Vbi enim ſeipſum aliquis quærit, ibi ab amore cadit. Eſt amor circumſpectus, humilis, & rectus: non mollis, non leuis, nec vanis intendens rebus: ſobrius, caſtus, ſtabilis, quietus, & in cunctis ſenſibus cuſtoditus. Eſt amor ſubiectus, & obediens prælatis, ſibi vilis & deſpectus, Deo deuotus & gratificus, fidens & ſperans ſemper in eo, etiam cùm ſibi non ſapit Deus: quia ſine dolore, non viuitur in amore.

8. Qui non eſt paratus omnia pati, & ad voluntatem ſtare dilecti, non eſt dignus amator appellari. Oportet amantem, omnia dura & amara, propter dilectum libenter amplecti; nec ob contraria accidentia, ab eo deflecti.

## CAP. VI.

### *De probatione veri amatoris.*

1. FIli, non es adhuc fortis & prudens amator. Quare Domine? Quia propter modicam contrarietatem deficis à cœptis, & nimis auidè conſolationem quæris. Fortis amator ſtat in tentationibus, nec callidis credit perſuaſionibus inimici. Sicut ei in proſperis placeo, ita nec in aduerſis diſpliceo.

2. Prudens amator, non tam donum amantis conſiderat, quàm dantis amorem. Affectum potiùs attendit, quàm cenſum: & infra dilectum, omnia data ponit. Nobilis amator, non quieſcit in dono, ſed in me ſuper omne donum. Non eſt ideo totum perditum, ſi quandoque minùs benè de me, vel de ſanctis meis ſentit, quàm velles. Affectus ille bonus & dulcis, quem inter-

ὅπου γὰρ ἑαυτόν τις ζητεῖ, ἐκεῖ τῆς ἀγάπης ἐκπίπτει. ἡ ἀγάπη ἐστὶ περιεσκεμμένη, ταπεινή, καὶ εὐθεῖα· οὐ μαλακή, οὐκ ἐλαφρά, οὐδὲ ματαιόσπουδος· νηφάλιος, ἁγνή, εὐσταθής, ἥσυχος, καὶ ἐν πάσαις αἰσθήσεσι πεφυλαγμένη. ἡ ἀγάπη τοῖς προεστῶσιν ὑποτάττεται καὶ πειθαρχεῖ, ἑαυτῇ εὐτελὴς καὶ εὐκαταφρόνητος οὖσα, πρὸς τὸν θεὸν εὐσεβῶς καὶ εὐχαρίστως ἔχουσα, ἀεὶ ἐπ' αὐτὸν πεποιθυῖα, καὶ ἐλπίζουσα, καὶ ὅτε αὐτῇ ὁ θεὸς οὐ γλυκαίνεται· ὅτι ὁ ἀγαπῶν ἀλύπως οὐ διάγει.

η. Ὁ οὐχ ἕτοιμος ὢν πάντα παθεῖν, καὶ τῷ τοῦ ἀγαπητοῦ θελήματι ἀρέσκεσθαι, τοῦ ὀνομασθῆναι ἀγαπητὸς ἀνάξιός ἐστι. δεῖ τὸν ἀγαπῶντα, πάντα τὰ δεινὰ καὶ πικρὰ διὰ τὸν ἀγαπητὸν ἡδέως ἀσπάζεσθαι, οὐδὲ διὰ τἀναντία συμβεβηκότα ἀπ' αὐτοῦ ἐκκλίνειν.

## Κεφ. ϛ'. Περὶ τῆς τοῦ ἀληθοῦς φιλητοῦ δοκιμασίας.

α'. Τέκνον, οὔπω ἰσχυρὸς καὶ φρόνιμος φιλητὴς εἶ. διὰ τί κύριε; ὅτι διὰ μικρὰν ἐναντιότητα τὰ καταρχθέντα ἐκλείπεις, καὶ ἄγαν ἐπιθυμητικῶς τὴν παράκλησιν ζητεῖς. ὁ ἰσχυρὸς φιλητὴς ἐν τοῖς πειρασμοῖς ἵσταται, καὶ ταῖς τοῦ ἐχθροῦ πείσεσι δολεραῖς οὐ πιστεύει. ὥσπερ αὐτῷ εὐτυχοῦντι ἀρέσκω, οὕτω δυστυχοῦντι οὐκ ἀπαρέσκω.

β'. Ὁ φρόνιμος φιλητὴς, τὴν τοῦ διδόντος ἀγάπην μᾶλλον, ἢ τὸ τοῦ ἀγαπῶντος δῶρον λογίζεται. τὴν διάθεσιν μᾶλλον, ἢ τὸ τίμημα σκοπεῖ, καὶ πάντα δωρήματα περὶ ἐλάττονος ποιεῖται τοῦ ἀγαπητοῦ. ὁ εὐγενὴς φιλητὴς οὐχ ἡσυχάζει ἐν τῷ δώρῳ, ἀλλ' ἐν ἐμοὶ ὑπὲρ πᾶν δῶρον. οὐ διὰ τοῦτο ὅλον ἀπώλολεν, ὅτι ποτὲ περὶ ἐμοῦ, ἢ περὶ τῶν ἁγίων μου ἧττον καλῶς, ἢ ἂν ἐθέλοις, γινώσκεις. ἐκείνη ἡ ἀγαθὴ καὶ ἡδεῖα διάθεσις, ἥνπερ

ἐνίοτε

Digitized by Google

interdum percipis, effectus gratiæ præſentis eſt, & quidam prægustus patriæ cæleſtis: ſuper quo non nimium innitendum, quia vadit, & venit. Certare autem aduersùs incidentes malos motus animi, ſuggeſtionemque ſpernere diaboli, inſigne eſt virtutis, & magni meriti.

3. Non ergò te conturbent alienæ phantaſiæ, de quacunque materia ingeſtæ. Forte ſerua propoſitum, & intentionem rectam ad Deum. Nec eſt illuſio, quòd aliquando in excelſum ſubitò raperis, & ſtatim ad ſolitas ineptias cordis reuerteris. Illas enim inuitè magis pateris, quàm agis: & quàm diu diſplicent & reniteris, meritum eſt, & non perditio.

4. Scito, quod antiquus inimicus, omninò nititur impedire deſiderium tuum in bono, & ab omni deuoto exercitio euacuare: à ſanctorum ſcilicet cultu, à pia paſſionis meæ memoria. à peccatorum vtili recordatione, à proprij cordis cuſtodia, & à firmo propoſito proficiendi in virtute. Multas malas cogitationes ingerit, vt tædium tibi faciat & horrorem: vt ab oratione reuocet, & ſacra lectione. Diſplicet ipſi humilis confeſſio, & (ſi poſſet) à communione ceſſare faceret. Non credas ei, neque cures illum: licet ſæpiùs tibi deceptionis tetenderit laqueos. Ipſi imputa, cùm mala inſerit, & immunda. Dicito illi; Vade immunde ſpiritus, erubeſce miſer, valde immundus es tu, qui talia infers auribus meis. Diſcede

à me

ἐνίοτε γένῃ, τῆς παραγινομένης χάριτος ἐνέργημά ἐστι, καὶ προγευσίς τις τῆς οὐρανίου πατρίδος, ᾗ τινι οὐ δεῖ ἄγαν ἰσχυρίζεσθαι, ὅτι ὑπάγει καὶ ἔρχεται. πρὸς δὲ τὰ κακὰ πάθη τῆς ψυχῆς τὰ ἐμπίπτοντα ἀγωνίζεσθαι, καὶ τῆς τοῦ διαβόλου ἐμπνεύσεως καταφρονεῖν, τῆς ἀρετῆς καὶ μεγάλης ἀξίας σημεῖόν ἐστι.

γʹ. Διόπερ αἱ ἀλλότριαι φαντασίαι περὶ ὁποιασοῦν ὑποθέσεως ὑποβληθεῖσαι, μή σε διαταραττέτωσαν. τὴν ἰσχυρὰν πρόθεσιν καὶ τὴν εὐθεῖαν προαίρεσιν πρὸς τὸν θεὸν διαφύλαττε. οὐκ ἔστιν ἐμπαιγμὸς τὸ ἀφνιδίως ποτὲ ἐπαρθέντα σε ὕψος, εὐθέως εἰς τὰς εἰωθυίας φλυαρίας τῆς καρδίας ἐπανελθεῖν· αὐτὰς γὰρ μᾶλλον ἄκοντι πάσχεις, ἢ ἐργάζῃ· καὶ ἐφ' ὅσον ἀπαρέσκουσι, καὶ σὺ ἀντιπάττῃ, ἀξία ἐστιν, ἀλλ' οὐκ ἀπώλεια.

δʹ. Γίνωσκε, ὅτι ὁ παλαιὸς ἐχθρὸς δόλου ἐπιχειρεῖ τὴν ἐπιθυμίαν σου ἐν καλῷ ἔργῳ ἐμποδίζειν, καὶ πάσης εὐσεβοῦς ἀσκήσεως ἀποστερεῖν· τῆς δήπου σεβάσεως τῶν ἁγίων, τῆς εὐλαβοῦς μνήμης τοῦ πάθους μου, τῆς ὠφελοῦς ἀναμνήσεως τῶν ἁμαρτιῶν, τῆς φυλακῆς τῆς ἰδίας καρδίας, καὶ τῆς βεβαίας προαιρέσεως τοῦ ἐπιδοῦναι πρὸς ἀρετήν. πολλοὺς κακοὺς διαλογισμοὺς ὑποβάλλει, τοῦ ἀηδίαν καὶ φρίκην σοι ἐμποιεῖν· τοῦ τῆς προσευχῆς καὶ τῆς ἁγίας ἀναγνώσεώς σε ἀποτρέπειν. ἀπαρέσκει αὐτῷ ἡ ταπεινὴ ὁμολόγησις, καὶ εἰ δύναιτο, τῆς κοινωνίας ἄν σε ἀναπαύσηται. μὴ πίστευε αὐτῷ, μηδὲ λόγον αὐτοῦ ἔχε, εἰ καὶ πλεονάκις τὴν παγίδα τῆς ἀπάτης σοι θήσεται. εἰς αὐτὸν τρέπε, ὅταν τὰ κακὰ καὶ ἀκάθαρτα ὑποβάλλῃ. λέγε αὐτῷ· ἄπαγε, ἀκάθαρτον πνεῦμα. αἰσχύνου σχέτλιον, σὺ σφόδρα ἀκάθαρτον εἶ, τοιαῦτα τοῖς ὠσί μου ἐπιψιθυρίζον. πορεύου

à me ſeductor peſſime, non habebis in me partem vllam: ſed Iesvs mecum erit, tanquam bellator fortis, & tu ſtabis confuſus. Malo mori, & omnem pœnam ſubire, quàm tibi conſentire. Tace & obmuteſce, non audiam te amplius, licet plures mihi moliaris moleſtias. Dominus illuminatio mea, & ſalus mea, quem timebo? Si conſiſtant aduerſum me caſtra, non timebit cor meum. Dominus adiutor meus, & redemptor meus.

5. Certa tanquam miles bonus: & ſi interdum ex fragilitate corruis, reſume vires fortiores prioribus, confidens de ampliori gratia mea: & multùm præcaue, à vana complacentia & ſuperbia. Propter hoc multi in errorem ducuntur, & in cæcitatem penè incurabilem quandoque labuntur. Sit tibi in cautelam, & perpetuam humilitatem, ruina hæc ſuperborum, de ſe ſtultè præſumentium.

## Cap. VII.

### *De occultanda gratia, ſub humilitatis cuſtodia.*

1. Filli, vtilius eſt tibi & ſecurius, deuotionis gratiam abſcondere, nec in altum te efferre, nec multum inde loqui, neque multum ponderare: ſed magis temetipſum deſpicere, & tanquam indigno datã timere. Nõ eſt huic affectioni tenaciùs inhærendum, quæ citiùs poteſt mutari contra-

Digitized by Google

ἀπ' ἐμοῦ, πλὴν ἥκιστα. οὐκ ἕξεις μέρος τι ἐν ἐμοί· ἀλλ' ὁ Ἰησοῦς μετ' ἐμοῦ ἔσται ὡς μαχητὴς ἰσχύων, καὶ σὺ στήσῃ καταισχυνθείς. πολλῷ μᾶλλον αἱροῦμαι τεθνάναι, καὶ πᾶσαν τιμωρίαν διαδέχεσθαι, ἢ συνευδοκεῖν σοι. σιώπα, καὶ πεφίμωσο, οὐκ ἔτι ἀκούσω σου, καίπερ πλειονάκις ἐνοχλοῦντός με. κύριος φωτισμός μου, καὶ σωτηρία μου, τίνα φοβηθήσομαι; ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου. κύριος βοηθός μου, καὶ λυτρωτής μου.

ι. Ἀγωνίζου ὡς καλὸς στρατιώτης, καὶ εἴποτε τῇ ἀσθενείᾳ τῆς σαρκὸς καταπίπτεις, ἀνάλαβε τὴν δύναμιν μείζω τῆς προτέρας, τῇ εὐπορωτέρᾳ χάριτί μου πεποιθώς, καὶ τὴν ματαίαν αὐθάδειαν καὶ τὴν ὑπερηφανίαν πολὺ φυλάττου. διὰ ταῦτα πολλοὶ πλανῶνται, καὶ εἰς τυφλότητα τὴν σχεδὸν ἀνίατόν ποτε περιπίπτουσιν. γινέσθω σοι εἰς προφυλακὴν καὶ αἰώνιον ταπεινότητα, αὕτη ἡ πτῶσις τῶν ὑπερηφάνων, τῶν περὶ ἑαυτῶν ματαίως προλαμβανόντων.

## Κεφ. ζ'.

### Περὶ τοῦ ἀποκρύπτειν τὴν χάριν, ὑπὸ τῇ τῆς ταπεινότητος φυλακῇ.

α. Τέκνον, χρησιμώτερον καὶ ἀσφαλέστερόν σοί ἐστι τὴν τῆς εὐσεβείας χάριν ἀποκρύπτειν, καὶ οὐ ὑψόσε ἐπαίρεσθαι, οὐδὲ πολὺ περὶ αὐτῆς λαλεῖν, οὐδὲ πολὺ σταθμᾶσθαι, ἀλλὰ μᾶλλον σεαυτοῦ καταφρονεῖν καὶ φοβεῖσθαι, μὴ τῷ ἀναξίῳ δοθῇ. οὐ δεῖ ταύτῃ τῇ διαθέσει ἰσχυρογνωμονέστερον προσκολληθῆναι, ἥτις τάχιστ' εἰς τοὐναντίον μετα-

in contrarium. Cogita in gratia, quàm miſer & inops eſſe ſoles ſine gratia. Nec eſt in eo tantùm ſpiritualis vitæ profectus, cùm conſolationis habueris gratiam: ſed quum humiliter, & abnegatè, patienterq́ue tuleris eius ſubtractionem: ita, quòd tunc ab orationis ſtudio non torpeas, nec reliqua opera tua ex vſu facienda, omnino dilabi permittas: ſed ſicut meliùs potueris & intellexeris, libenter quod in te eſt, facias: nec propter ariditatem, ſeu anxietatem mentis, quam ſentis, te totaliter negligas.

2. Multi enim ſunt, qui cùm non bene eis ſucceſſerit, ſtatim impatientes fiunt, aut deſides. Non enim ſemper eſt in poteſtate hominis via eius, ſed Dei eſt dare, & conſolari, quando vult, & quantum vult, & cui vult, ſicut ſibi placuerit, & non amplius. Quidam incauti, propter deuotionis gratiam, ſeipſos deſtruxerunt: quia plus agere voluerunt, quàm potuerunt, non penſantes ſuæ paruitatis menſuram, ſed magis cordis affectum ſequentes, quàm rationis iudicium. Et quia maiora præſumpſerunt, quàm Deo placitum fuit, idcircò gratiam citò perdiderunt. Facti ſunt inopes, & viles relicti, qui in cælum poſuerunt nidum ſibi: vt humiliati & depauperati, diſcant non in alis ſuis volare, ſed ſub pennis meis ſperare. Qui adhuc noui ſunt, & imperiti, in via Domini, niſi conſilio diſcretorum ſe regant, faciliter decipi poſſunt & elidi.

3. Quod ſi ſuum ſentire magis ſequi, quàm aliis

Digitized by Google

βάλλεσθαι πέφυκε. τῆς χάριτος ἐπιτυχὼν ἐνθυμοῦ, ὡς ταλαίπωρος καὶ ἐνδεὴς εἶναι εἴωθας τῆς χάριτος ἀπορῶν. ἡ τῆς πνευματικῆς ζωῆς ἐπίδοσις οὐ μόνον ἐν τῷ ἔχειν τὴν τῆς παραμυθίας χάριν κεῖται, ἀλλ' ἐν τῷ ταπεινῶς, ἀπαρνητικῶς, καὶ ἀνεξικάκως φέρειν τὴν ὑφαίρεσιν αὐτῆς. οὕτως ὡς τότε τὴν τῆς προσευχῆς σπουδὴν μὴ ὀκνῇς, μηδὲ τἄλλα συνήθη ἔργα πάντως ἀνιῇς, ἀλλ' ὡς ἂν βέλτιον δυνηθῇς, καὶ νοήσῃς, ἀσμένως, κατὰ τὸ σὸν μέρος, ποιῇς, καὶ μηδὲ διὰ τὴν ἀηδίαν ἢ ἀδημονίαν, ἣν αἰσθάνῃ, παντελῶς σου ἀμελῇς.

β'. Πολλοὶ γάρ εἰσιν, οἵτινες, τῶν πραγμάτων ἀτυχῶς αὐτοῖς συμβαινόντων, εὐθέως ἀτλητοῦσιν ἢ ῥαθυμοῦσιν. οὐ γὰρ ἀεὶ ἡ τοῦ ἀνθρώπου ὁδὸς ἐν ἐξουσίᾳ αὐτοῦ ἐστιν, ἀλλὰ τοῦ θεοῦ ἐστὶ διδόναι, καὶ παραμυθεῖσθαι, ὅτε θέλει, καὶ ὅσον θέλει, καὶ ᾧτινι θέλει, ὡς γίνεται εὐδοκία ἔμπροσθεν αὐτοῦ, καὶ οὐ πλεῖον. τινὲς ἀφύλακτοι διὰ τὴν χάριν τῆς εὐσεβείας ἑαυτοὺς ἐλυμήναντο, ὅτι πλεῖον τῆς αὐτῶν δυνάμεως πράττειν ἠθέλησαν, τὸ μὲν τῆς αὐτῶν μικρότητος μέτρον οὐ σκοποῦντες, τὸ δὲ τῆς καρδίας πάθος μᾶλλον, ἢ τὴν τοῦ λόγου κρίσιν διώκοντες. ἐπεὶ δὲ μείζω τῆς τοῦ θεοῦ εὐδοκίας ἐπεχείρησαν, διὰ ταῦτα τὴν χάριν ταχέως ἀπώλεσαν. ἐνδεεῖς ἐγένοντο καὶ ἄτιμοι κατελείφθησαν, οἵπερ εἰς τὸν οὐρανὸν τὴν νοσσιὰν αὐτῶν ἔθεσαν, ἵνα ταπεινωθέντες καὶ πτωχισθέντες μάθωσι μὴ τοῖς πτεροῖς αὐτῶν πέτασθαι, ἀλλ' ὑπὸ τὰς πτέρυγάς μου ἐλπίσαι. οἱ ἐν τῇ ὁδῷ τοῦ κυρίου ἔτι νέοι καὶ ἄπειροι τυγχάνοντες, εἰ μὴ τῇ τῶν συνετῶν βουλῇ ἑαυτοὺς κυβερνῶσι, ῥᾳδίως ἐξαπατᾶσθαι καὶ καταβάλλεσθαι οἷοί τ' εἰσίν.

γ'. Ἐὰν δὲ τῇ γνώμῃ αὐτῶν μᾶλλον ἕπεσθαι, ἢ τοῖς

alijs exercitatis credere volunt, erit eis periculoſus exitus, ſi tamen retrahi à proprio conceptu noluerint. Rarò ſibiipſis ſapientes ab alijs regi humiliter patiuntur. Melius eſt, ſapere modicum cum humilitate, & parua intelligentia, quàm magni ſcientiarum theſauri, cum vana complacentia. Melius eſt tibi minus habere, quàm multum, vnde poſſes ſuperbire. Non ſatis diſcretè agit, qui ſe totum lætitiæ tradit, obliuiſcens priſtinæ inopiæ ſuæ, & caſti timoris Domini, qui timet gratiam oblatam amittere. Nec etiam ſatis virtuosè ſapit, qui tempore aduerſitatis, & cuiuſque grauitatis, nimis deſperatè ſe gerit, & minùs fidenter de me quàm oportet, recogitat ac ſentit.

4. Qui tempore pacis, nimis ſecurus eſſe voluerit: ſæpè tempore belli, nimis deiectus & formidoloſus reperietur. Si ſcires ſemper humilis & modicus in te permanere, nec non ſpiritum tuum bene moderari & regere, non incideres tam citò in periculum, & offenſam. Conſilium bonum eſt, vt feruoris ſpiritu concepto, mediteris, quid futurum ſit abſcedente lumine. Quod dum contigerit, recogita, & denuò lucem poſſe reuerti, quam ad cautelam tibi, mihi autem ad gloriam, ad tempus ſubtraxi.

5. Vtilior eſt ſæpè talis probatio, quàm ſi ſemper proſpera, pro tua haberes voluntate. Nam merita non ſunt ex hoc æſtimanda, ſi quis plures viſiones aut conſolationes habeat; vel ſi peritus ſit inſcripturis, aut in altiori ponatur gradu; Sed ſi

vera

Digitized by Google

ἄλλοις ἀσκηθεῖσι πιστεύειν βουληθῶσι, κινδυνώδεις ἐξόδους ἐπιτύξονται, εἴπερ τῆς ἰδίας προαιρέσεως ἀποτρέπεσθαι οὐ θελήσουσιν. οἱ δοκησίσοφοι σπανίως ὑπ' ἄλλων ἄρχεσθαι ταπεινῶς καρτεροῦσι. βέλτιόν ἐστιν ὀλίγον σὺν ταπεινότητι καὶ μικρᾷ συνέσει φρονεῖν, μεγάλων θησαυρῶν τῆς ἐπιστημῶν σὺν ματαίᾳ αὐθαδείᾳ. βέλτιόν σοί ἐστιν ἧττον, ἢ πολὺ ἔχειν, ἐφ' ᾧ ἂν σεμνύνεσθαι δυνηθῇς. οὐκ ἄλις φρονίμως πράττει, ὁ τῇ εὐφροσύνῃ ὅλως προσκείμενος, καὶ ἀμνημονῶν τῆς πρόσθεν ἐνδείας αὐτοῦ, καὶ τοῦ ἁγνοῦ φόβου τοῦ κυρίου, τοῦ φοβουμένου, μὴ τὴν χάριν δοθεῖσαν ἀπολέσῃ. μηδὲ ἱκανῶς ἐναρέτως φρονεῖ, ὁ τῷ τῆς δυστυχίας καιρῷ, καὶ ἡστινοσοῦν βαρύτητος ἄγαν δυσελπίστως ἔχων, καὶ ἧττον πεποιθότως τοῦ δέοντος περὶ ἐμοῦ ἐννοῶν καὶ γινώσκων.

δ'. Ὃς τῷ τῆς εἰρήνης καιρῷ ἄγαν ἀδεῶς ἔχειν ἐθέλει, πολλάκις τῷ τοῦ πολέμου καιρῷ ἄγαν ἄθυμος καὶ περίφοβος εὑρεθήσεται. εἰ ἐγίνωσκες ἀεὶ ταπεινὸς εἶναι, καὶ μικρὸν φρονεῖν, τὸ πνεῦμά σου καλῶς εὐθύνειν τε καὶ κυβερνᾷν, οὐκ οὕτω ταχέως ἂν εἰς κίνδυνον καὶ αἰτίαν ἐνέπιπτες. ἡ βουλὴ ἀγαθή ἐστι, τὸν τῆς ζέσεως τοῦ πνεύματος ἐπιτυχόντα μελετᾷν, τί, τοῦ ἀπερχομένου φωτὸς, γενήσεται. τούτου δὲ γινομένου, ἐνθυμοῦ, ὅτι καὶ αὖθις τὸ φῶς ἐπανελθεῖν δύναται, ὅπερ εἰς μὲν προφυλακὴν σου, ἐμοὶ δ' εἰς δόξαν ἐπὶ χρόνον ἀφειλόμην.

ε'. Τοιαύτη δοκιμασία πολλάκις χρησιμωτέρα ἐστὶ τοῦ ἀεὶ κατὰ γνώμην σου εὐτυχεῖν. τὰς γὰρ ἀξίας οὐ δεῖ κρίνειν ἐκ τούτου, εἴ τις πλείους ὁράσεις ἢ παρακλήσεις ἔχει, ἢ τὰς γραφὰς ἐπαιδεύθη, ἢ εἰς τὸν ὑψηλότερον βαθμὸν ἀνεβιβάσθη. ἀλλ' εἰ

vera fuerit humilitate fundatus, & diuina charitate repletus: ſi Dei honorem purè & integrè ſemper quærat: ſi ſeipſum nihil reputet, & in veritate deſpiciat, atque ab alijs etiam deſpici & humiliari magis gaudeat, quàm honorari.

## Cap. VIII.

### *De vili æſtimatione ſuiipſius, in oculis Dei.*

1. Loquar ad Dominum meum, cùm ſim puluis & cinis? Si me amplius reputauero, ecce tu ſtas contra me: & dicunt teſtimonium verum iniquitates meæ, nec poſſum contradicere. Si autem me vilificauero, & ad nihilum redegero, & ab omni propria reputatione defecero, atque (ſicut ſum) puluериſauero, erit mihi propitia gratia tua, & vicina cordi meo lux tua: & omnis æſtimatio, quantulacunque minima, in valle nihileitatis meæ ſubmergetur, & peribit in æternum. Ibi oſtendis me mihi, quid ſum, quid fui, & quò deueni: quia nihil ſum, & neſciui. Si mihi ipſi relinquor, ecce nihil, & tota infirmitas. Si autem ſubitò me reſpexeris, ſtatim fortis efficior, & nouo repleor gaudio. Et mirum valdè, quòd ſic repentè ſubleuor, & tam benignè à te complector, qui proprio pondere ſemper ad ima feror.

2. Facit hoc amor tuus, gratis præueniens me, & in tam multis ſubueniens neceſſitatibus, à grauibus quoque cuſtodiens me periculis, & ab innumeris (vt verè dicam) eripiens malis. Me ſiquidem malè amando, me perdidi: & te ſolum quærendo, & purè amando, me & te pariter inueni, atq; ex amore profundius ad nihilũ me redegi. Quia tu, ô dulciſſime, facis mecũ ſupra meritũ omne,

ἐν τῇ ἀληθινῇ ταπεινότητι ἐθεμελιώθη, καὶ τῆς θείας ἀγάπης ἐπλήσθη· εἰ τὴν τιμὴν τοῦ θεοῦ καθαρῶς καὶ εἰλικρινῶς ἀεὶ ζητεῖ, εἰ ἑαυτὸν περὶ οὐδενὸς ποιεῖται, καὶ ὄντως καταφρονεῖ, καὶ τὸ ὑπ' ἄλλων φαυλίζεσθαι, καὶ ταπεινοῦσθαι μᾶλλον ἢ τὸ τιμᾶσθαι χαίρει.

### Κεφ. θ.

### Περὶ τοῦ εὐτελίζειν ἑαυτὸν κατενώπιον τοῦ θεοῦ.

α. Λαλήσω πρὸς τὸν κύριόν μου γῆ καὶ σποδὸς ὤν; ἐὰν ἐμὲ περὶ πλείονος ποιήσωμαι, ἰδοὺ σὺ ἀνθίστασαί μοι, καὶ αἱ ἀνομίαι μου ἀληθῶς μαρτυροῦσιν, οὐδ' ἀντιλέγειν δύναμαι. ἐὰν δ' ἐμὲ εὐτελίσω, καὶ ἐξουδενώσω, τῆς τε ἰδίας τιμήσεως παύσωμαι, καὶ (καθώς εἰμι) ἐμαυτὸν σποδίσω, ἡ χάρις σου ἱλασθήσεταί μοι, καὶ τὸ φῶς σου τῇ καρδίᾳ μου ἐγγίσει, καὶ πᾶν τίμημα, καίπερ ἐλάχιστον ὄν, ἐν τῇ τῆς οὐδενείας μου κοιλάδι καταποντισθήσεται, καὶ εἰς τὸν αἰῶνα ἀπολεῖται. ἐκεῖ ἐμέ μοι δεικνύεις, τί εἰμι, τί γέγονα, καὶ ποῖ ἦλθον· ὅτι οὐδέν εἰμι, καὶ τοῦτο ἠγνόησα. εἰ ἐμαυτῷ καταλείπομαι, ἰδοὺ οὐδέν, καὶ παντελὴς ἀσθένεια. ἐὰν δ' αἰφνιδίως εἰς ἐμὲ ἀποβλέψῃς, ταχέως κραταιοῦμαι, καὶ καινῆς χαρᾶς ἐμπλήθομαι. καὶ σφόδρα θαυμαστόν, ὅτι οὕτω ταχέως ἐπαίρομαι, καὶ οὕτως εὐμενῶς ὑπὸ σοῦ περιβάλλομαι, ὁ τῷ ἰδίῳ βάρει πάντοτε εἰς τὰ κατώτατα φερόμενος.

β. Τοῦτο ποιεῖ ἡ ἀγάπη σου, ἡ δωρεὰν προφθάνουσά με, καὶ ἐν τόσαις ἀπορίαις βοηθοῦσα, ἀπό τε δεινῶν κινδύνων φυλάττουσά με, καὶ μυρίων κακῶν (ὡς ἀληθῶς εἰπεῖν) ἐξαιρουμένη. τῇ γὰρ κακῇ φιλαυτίᾳ μου ἀπώλεσά με, τῷ δὲ σὲ μόνον ζητεῖν, καὶ καθαρῶς φιλεῖν, σέ τε κἀμὲ ἅμα εὗρον, καὶ ἐξ ἀγάπης βαθύτερόν με ἐξουδένωσα. σὺ γάρ, ὦ ἥδιστε, προσφέρῃ μοι, ὑπὲρ πᾶσαν

omne, & ſupra id, quàm audeo ſperare vel rogare.

3. Benedictus ſis Deus meus, quia licet ego omnibus bonis ſim indignus, tua tamen nobilitas & infinita bonitas, nunquam ceſſat benefacere etiam ingratis, & longè à te auerſis. Conuerte nos ad te, vt ſimus grati, humiles, & deuoti: quia ſalus noſtra tu es, virtus & fortitudo noſtra.

## CAP. IX.

*Quòd omnia ad Deum, ſicut ad finem vltimum, ſunt referenda.*

1. FIli, ego debeo eſſe finis tuus ſupremus & vltimatus, ſi verè deſideras eſſe beatus. Ex hac intentione purificabitur affectus tuus, ſæpiùs ad teipſum & ad creaturas, malè incuruatus. Nam ſi teipſum in aliquo quæris, ſtatim in te deficis & areſcis. Omnia ergo ad me principaliter referas, quia ego ſum, qui omnia dedi. Sic ſingula conſidera, ſicut ex ſummo bono manantia: & ideo ad me, tanquam ad ſuam originem, cuncta ſunt reducenda.

2. Ex me puſillus & magnus, pauper & diues, tanquam ex fonte viuo, aquam viuam hauriunt: & qui mihi ſponte, & liberè deſeruiunt, gratiam pro gratia accipient. Qui autem extra me voluerit gloriari, vel in aliquo priuato bono delectari, non ſtabilietur in vero gaudio, neque in corde ſuo dilatabitur, ſed multipliciter impedietur & anguſtiabitur. Nihil ergò tibi de bono adſcribere debes, nec alicui homini virtutem attribuas: ſed totum da Deo, ſine quo

ἀξίων, καὶ ὑπὲρ ἐκεῖνο, ὃ ἐλπίζειν καὶ αἰτεῖν τολμῶ.

γ'. Εὐλογηθήτω ὁ θεός μου, ὅτι, καίπερ ἐμοῦ πάντων ἀγαθῶν ἀναξίου ὄντος, ὅμως ἡ εὐγένεια καὶ ἄπειρος ἀγαθότης σου, οὔποτε λήγει καὶ τοὺς ἀχαρίστους, καὶ μακράν σου ἀποστραφθέντας εὐποιοῦσα: ἐπίστρεψον ἡμᾶς πρὸς σὲ, ἵνα εὐχάριστοι, ταπεινοὶ καὶ θεοσεβεῖς γενώμεθα, ὅτι σὺ σωτηρία ἡμῶν, δύναμίς τε, καὶ κραταίωμα ἡμῶν τυγχάνεις.

## Κεφ. θ'.

### Ὅτι πάντα εἰς τὸν θεὸν, ὡς εἰς ἔσχατον τέλος δεῖ ἀναφέρειν.

α'. Τέκνον, ἐμὲ δεῖ εἶναι τὸ ὑπέρτατον καὶ τελευταῖον πέρας σου, εἴγε ἀληθῶς μακάριος γενέσθαι ἐθέλεις. ἐκ ταύτης τῆς προαιρέσεως, ἡ διάθεσίς σου, ἡ πολλάκις πρὸς σὲ καὶ πρὸς τὰς κτίσεις κακῶς κατακαμφθεῖσα, καθαρισθήσεται. εἰ γὰρ σεαυτὸν ἔν τινι ζητεῖς, εὐθέως ἐν σοὶ ἐκλείπεις, καὶ ξηραίνῃ. πάντα τοίνυν κυρίως εἰς ἐμὲ ἀνάφερε, ὅτι ἐγώ εἰμι ὁ δοὺς ἃ πάντα. οὕτως ἕκαστα σκόπει, ὡς τοῦ ὑπερτάτου ἀγαθοῦ προερχόμενα, διόπερ δεῖ πάντα εἰς ἐμὲ, ὡς τὴν ἀρχὴν αὐτῶν, ἀνάγειν.

β'. Ἐξ ἐμοῦ ὁ μικρὸς, καὶ ὁ μέγας, ὁ πένης καὶ ὁ πλούσιος, ὡς ἐκ πηγῆς ζώσης τὸ ζῶν ὕδωρ ἀντλοῦσι, καὶ οἱ ἑκουσίως καὶ ἐλευθέρως μοι δουλεύοντες, χάριν ἀντὶ χάριτος λήψονται. ὁ δ' ἔξω μου καυχᾶσθαι, ἢ ἀγαθῷ τινι ἰδίῳ ἥδεσθαι ἐθέλων, οὐκ ἐν τῇ ἀληθινῇ χαρᾷ βεβαιωθήσεται, οὐδ' ἐν τῇ καρδίᾳ αὐτοῦ πλατυνθήσεται, ἀλλὰ πολλαπλασίως ἐμποδισθήσεται, καὶ στενοχωρηθήσεται. μηδὲν οὖν τῶν ἀγαθῶν δεῖ σοι διατιθέναι, μηδέ τινι τῶν ἀνθρώπων τὴν ἀρετὴν ἀπονέμειν· ἀλλ' ὅλον τῷ θεῷ ἀποδιδόναι, ἄνευ

quo nihil habet homo. Ego totum dedi, ego totum habere volo: & cum magna diſtrictione, gratiarum actiones requiro.

3. Hæc eſt veritas, qua fugatur gloriæ vanitas. Et ſi intrauerit cæleſtis gratia, & vera charitas, non erit aliqua inuidia, nec contractio cordis, neque priuatus amor occupabit. Vincit enim omnia diuina charitas, & dilatat omnes animæ vires. Si rectè ſapis, in me ſolo gaudebis, in me ſolo ſperabis: quia nemo bonus, niſi ſolus Deus, qui eſt ſuper omnia laudandus, & in omnibus benedicendus.

## CAP. X.

### *Quod ſpreto mundo dulce eſt ſeruire Deo.*

1. NVnc iterum loquar Domine, & non ſilebo; dicam in auribus Dei mei, Domini mei, & regis mei, qui eſt in excelſo. O quàm magna multitudo dulcedinis tuæ Domine, quam abſcondiſti timentibus te? Sed quid es amantibus? quid toto corde tibi ſeruientibus? Verè ineffabilis dulcedo contemplationis tuæ, quam largiris amantibus te. In hoc maximè oſtendiſti mihi dulcedinem charitatis tuæ, quia cùm non eſſem, feciſti me: & cum errarem longè à te, reduxiſti me, vt ſeruirem tibi, & præcepiſti, vt diligam te.

2. O fons amoris perpetui, quid dicam de te? Quomodo potero tui obliuiſci, qui mei dignatus es recordari, etiam poſtquam contabui & perij? Feciſti vltra omnem ſpem, miſericordiam cum ſeruo tuo: & vltra omne meritum, gratiam & amicitiam exhibuiſti. Quid retribuam tibi pro gratia iſta? Non enim omnibus datum eſt, vt omnibus abdicatis, ſeculo renuncient, &

monaſti-

Digitized by Google

ξ ὁ ἄνθρωπος οὐδὲν ἔχει. ἐγὼ τὸ ὅλον δοὺς, τὸ ὅλον ἔχειν ἐθέλω, καὶ τὸ εὐχαριστεῖν ἀκριβοδικαίως ἀπαιτῶ.

γʹ. Αὕτη ἡ ἀλήθειά ἐστιν, ᾗπερ ἡ κενοδοξία φυγαδεύεται· καὶ εἰσελθούσης τῆς οὐρανίου δόξης, καὶ τῆς ἀγάπης ἀληθινῆς, οὐ φθόνος τις ἔσται, οὐδὲ μικροψυχία, ἢ φιλαυτία σε καθέξει. ἡ γὰρ τοῦ θεοῦ ἀγάπη πάντων περιγίνεται, καὶ πάσας δυνάμεις τῆς ψυχῆς πλατύνει. εἰ καλῶς φρονεῖς, ἐπ' ἐμοὶ μόνῳ χαρήσῃ, καὶ ἐπ' ἐμὲ μόνον ἐλπιεῖς· ὅτι οὐδεὶς ἀγαθὸς, εἰ μὴ μόνος ὁ θεὸς, ὁ ὑπὲρ πάντα ἐπαινετὸς, καὶ ἐν πᾶσιν εὐλογητός ἐστι.

## Κεφ. ιʹ.

### Ὅτι τῷ τοῦ κόσμου καταφρονήσαντι, ἡδύ ἐστι δουλεύειν τῷ θεῷ.

αʹ. ΝΥΝ πάλιν λαλήσω κύριε, καὶ οὐ σιωπήσω. λέξω ἐν τοῖς ὠσὶ τοῦ θεοῦ μου, τοῦ κυρίου μου, καὶ τοῦ βασιλέως μου, τοῦ ἐν τοῖς ὑψίστοις· ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε; τί δὲ τοῖς ἀγαπῶσί σε; τί τοῖς ὅλῃ τῇ καρδίᾳ δουλεύουσί σοι; ἀληθῶς ἀπόρρητος ἡ χρηστότης θεωρίας σου, ἣν τοῖς ἀγαπῶσί σε χαρίζῃ. ἐν τούτῳ μάλιστα ἐπέδειξάς μοι τὴν τῆς ἀγάπης σου χρηστότητα, ὅτι με μὴ ὄντα ἐποίησας, καὶ μακρὰν ἀποπλανώμενόν σου, ἐπανήγαγες, τοῦ δουλεύειν σοι, καὶ ἐπέταξας ἀγαπᾶν σε.

βʹ. Ὦ πηγὴ τῆς αἰωνίου ἀγάπης, τί λέξω περὶ σοῦ; πῶς δυνήσομαι ἀμνημονεῖν σου, ὃς ἠξίωσας μνησθῆναί μου τοῦ ἤδη διατακέντος καὶ ἀπολωλότος; ὑπὲρ πᾶσαν ἐλπίδα ἐποίησας ἔλεος μετὰ τοῦ δούλου σου, καὶ ὑπὲρ πᾶσαν ἀξίαν, τὴν χάριν καὶ φιλίαν παρέσχες. τί ἀνταποδώσω σοι, ἀντὶ ταύτης τῆς χάριτος; οὐ γὰρ πᾶσιν ἐδόθη, πάντα ἀφέντας, τῷ κόσμῳ ἀποτάξασθαι, καὶ βίον

μοναστ-

monaſticam vitam aſſumant. Nunquid magnum eſt, vt tibi ſeruiam, cui omnis creatura ſeruire tenetur? Non magnum mihi videri debet ſeruire tibi: ſed hoc potiùs magnum mihi, & mirandum apparet, quòd tam pauperem & indignum, dignaris in ſeruum recipere, & dilectis ſeruis tuis adunare.

3. Ecce omnia tua ſunt, quæ habeo, & vnde tibi ſeruio. Veruntamen vice verſa, tu magis mihi ſeruis, quàm ego tibi. Ecce, cælum & terra, quæ in miniſterium hominis creaſti, præſtò ſunt, & faciunt quotidie quæcunque mandaſti: Et hoc parum eſt, quin etiam angelos, in miniſterium hominis ordinaſti. Tranſcendit autem hæc omnia, quòd tuipſe homini ſeruire dignatus es, & teipſum daturum ei promiſiſti.

4. Quid dabo tibi, pro omnibus iſtis millibus bonis: Vtinam poſſem tibi ſeruire, cunctis diebus vitæ meæ. Vtinam vel vno die, dignum ſeruitium exhibere ſufficerem? Verè tu es dignus omni ſeruitio, omni honore, & laude æterna. Verè Dominus meus es, & ego pauper ſeruus tuus, qui totis viribus teneor tibi ſeruire, nec vnquam in laudibus tuis debeo faſtidire. Sic volo, ſic deſidero: & quicquid mihi deeſt, tu digneris ſupplere.

5. Magnus honor, magna gloria tibi ſeruire, & omnia propter te contemnere. Habebunt enim gratiam magnam, qui ſponte ſe ſubiecerint tuæ ſanctiſſimæ ſeruituti. Inuenient ſuauiſſimam ſpiritus ſancti conſolationem, qui pro amore tuo, omnē carnalem abiecerint delectationem. Conſequētur magnam mentis libertatē, qui

μοναστικὸν προῃρεῖσθαι. μήτι μέγα ἐστὶν ἐμὲ δουλεύειν σοι, ᾧτινι πᾶσα κτίσις δουλεύειν ὀφείλει; οὐ μέγα μοι ἂν φαίνοιτο δουλεύειν σοι· μᾶλλον δὲ τοῦτο μέγα καὶ θαυμαστὸν δοκεῖ μοι, ὅτι οὕτω πένητα καὶ ἀνάξιον εἰς δοῦλον ἀποδέξασθαι, καὶ τοῖς ἀγαπητοῖς δούλοις σου προσαριθμῆσαι ἀξιοῖς.

γʹ. Ἰδού, πάντα σά ἐστιν, ἅπερ ἔχω, καὶ ἐξ ὧν σοι δουλεύω, καίτοι ἐξ ἐναντίας, σὺ μᾶλλον δουλεύεις μοι, ἢ ἐγώ σοι. ἰδού, ὁ οὐρανός, καὶ ἡ γῆ, ἃ εἰς τὴν ὑπηρεσίαν τοῦ ἀνθρώπου ἔκτισας, πάρεισι, καὶ καθ' ἑκάστην, ἃ ἐνετείλω, ποιοῦσι· καὶ τοῦτο μὲν μικρόν, ἔτι καὶ τοὺς ἀγγέλους εἰς τὴν τοῦ ἀνθρώπου διακονίαν διέταξας. τοῦτο δὲ πάντων ὑπερβαίνει, ὅτι σὺ αὐτὸς τῷ ἀνθρώπῳ δουλεύειν ἠξίωσας, καὶ σεαυτὸν ἐκείνῳ δώσειν ὑπέσχου.

δʹ. Τί δώσω σοι ἀντὶ τούτων πάντων χιλίων ἀγαθῶν; εἴθε πάσαις ταῖς ἡμέραις τῆς ζωῆς μου ἐδυνάμην σοι δουλεύειν. εἴθε μίαν γε ἡμέραν ἀξίαν δουλείαν παρέχειν σοι οἷός τ' ἐγινόμην· ἀληθῶς σὺ ὑπάρχεις ἄξιος πάσης δουλείας, πάσης τιμῆς, καὶ ἐπαίνου αἰωνίου. ἀληθῶς σὺ ὁ κύριός μου εἶ, κἀγὼ πένης σου δοῦλος, ὁ ὀφείλω ἐξ ὅλης τῆς ἰσχύος δουλεύειν σοι, καὶ μηδέποτε ἐν τῷ ἐπαινεῖν σε ἀηδῶς ἔχειν. οὕτως ἐθέλω, οὕτως ἐπιθυμῶ, καὶ πᾶν, ὅ, τι μοι ἐπιλείπει, σὺ ἀναπληροῦν ἀξίωσον.

εʹ. Μεγάλη τιμή, μεγάλη δόξα δουλεύειν σοι, καὶ πάντων διὰ σὲ καταφρονεῖν· ἕξουσι γὰρ μεγάλην χάριν, οἱ τῇ ἁγιωτάτῃ δουλείᾳ σου ἑαυτοὺς ἑκουσίως ὑποτάξουσιν. εὑρήσουσιν ἡδίστην παράκλησιν τοῦ ἁγίου πνεύματος, οἱ ὑπὲρ ἀγάπης σου, πᾶσαν τέρψιν σαρκικὴν ἀποκλείουσιν. ἐπιτεύξονται μεγάλης ἐλευθερίας τοῦ νοῦ,

qui arctam pro nomine tuo ingrediuntur viam, & omnem mundanam neglexerint curam.

6. O grata & iucunda Dei ſeruitus, qua homo veraciter efficitur liber & ſanctus? O ſacer ſtatus religioſi famulatus, qui hominem angelis reddit æqualem, Deo placabilem, Dæmonibus terribilem, & cunctis fidelibus commendabilem. O amplectendum, & ſemper optandum ſeruitium, quo ſummum promeretur bonum, & gaudium acquiritur, ſine fine manſurum.

## CAP. XI.

### *Quod deſideria cordis examinanda ſunt, & moderanda.*

1. FIlli, oportet te adhuc multa addiſcere, quæ necdum bene didiciſti. Quæ ſunt hæc Domine? Vt deſiderium tuum, ponas totaliter ſecundùm beneplacitum meum: & tuiipſius amator non ſis, ſed meæ voluntatis cupidus æmulator. Deſideria te ſæpe accendunt, & vehementer impellunt: ſed conſidera, an propter honorem meum, an propter tuum commodum magis mouearis. Si ego ſum in cauſa, bene contentus eris, quomodocunque ordinauero: ſi autem de proprio quæſitu aliquid latet, ecce hoc eſt, quod te impedit & grauat.

2. Caue ergo, ne nimium innitaris ſuper deſiderio præconcepto, me non conſulto: ne fortè poſtea pœniteat, aut diſpliceat, quod primò placuit, & quaſi pro meliore zelaſti. Non enim omnis affectio, quæ videtur bona, ſtatim eſt ſequenda: ſed neq; omnis contraria affectio ad primum fugienda. Expedit interdum refrenatione vti, etiam in bonis ſtudijs & deſiderijs: ne per impor-

οἱ στενὴν ὁδὸν ὑπὲρ τοῦ ὀνόματός σου βαδίζοντες πάσης τῆς κοσμικῆς φροντίδος ἀμελήσουσιν.

ϛʹ. Ὦ τῆς χαριέσσης καὶ ἡδείας δουλείας τοῦ θεοῦ, ᾗ ὁ ἄνθρωπος ἀληθῶς ἐλεύθερος καὶ ἅγιος ἀποβαίνει. ὦ τῆς ἁγίας καταστάσεως τῆς ἀσκητικῆς ὑπηρεσίας, ἣ τὸν ἄνθρωπον τοῖς ἀγγέλοις ὅμοιον, τῷ θεῷ χαρίεντα, τοῖς δαιμονίοις φοβερὸν, καὶ πᾶσι πιστοῖς ἀγαπητὸν κατεργάζεται. ὦ τῆς εὐπροσδέκτου καὶ ἀεὶ εὐκτῆς δουλείας, ᾗ τοῦ μεγίστου ἀγαθοῦ ἄξιοι γινόμεθα, καὶ τῆς χαρᾶς ἀπεράτου τυγχάνομεν.

## Κεφ. ιαʹ.

### Ὅτι τὰς τῆς καρδίας ἐπιθυμίας χρὴ ἐξετάζειν καὶ χαλιναγωγεῖν.

αʹ. ΤΕκνον, ἔτι πολλά δεῖ σε μανθάνειν, ἃ μήπω εὖ ἔμαθες. τίνα ταῦτά ἐστι, κύριε; ἵνα τὴν ἐπιθυμίαν σου πρὸς τὴν εὐδοκίαν μου παντελῶς κατευθύνῃς, καὶ μὴ φίλαυτος, ἀλλὰ τοῦ θελήματός μου ἐπιθυμητικὸς ζηλωτὴς γίνῃ. αἱ ἐπιθυμίαι πολλάκις σε διακαίουσι, καὶ σφόδρα παροξύνουσιν, ἀλλὰ σκόπει, εἰ διὰ τὴν τιμήν μου, ἢ διὰ τὴν ὠφέλειάν σου μᾶλλον ἂν ἐπαχθῇς. ἐὰν δὲ ἐμὲ τοῦτο γίνηται, αὐταρκῶς ἕξεις, ὁπωσοῦν ἂν διατιθῶ· ἐὰν δέ τι τοῦ ἰδίου κέρδους ἀποκρύπτηται, ἰδοὺ τοῦτό ἐστι τὸ ἐμποδίζον σε καὶ βαρύνον.

βʹ. Φυλάττου τοίνυν, ἄγαν ἐπερείδεσθαι τῇ ἐπιθυμίᾳ τῇ προεγγενομένῃ σοι, ἐμοῦ οὐ συμβουλευθέντος· μήπως ὕστερον μετανοήσῃς, ἢ ἀπαρέσῃ, ὃ πρῶτον ἤρεσε, καὶ ὅτι ὡς βέλτιον ὂν ἐζήλωσας. ὁ γὰρ δεῖ πᾶν πάθος τὸ καλὸν εἶναι δοκοῦν, εὐθέως διώκειν, οὐδὲ πᾶν ἐναντίον, κατ' ἀρχὰς φεύγειν. λυσιτελεῖ ἐνίοτε καὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ τὰς ἐπιθυμίας χαλιναγωγεῖν, ἵνα μὴ

δι' ἀκαι-

importunitatem, mentis diſtractionem incurras; ne alijs per indiſciplinationem, ſcandalum generes: vel etiam per reſiſtentiam aliorum, ſubitò turberis & corruas.

3 Interdum verò oportet violentia vti, & viriliter appetitui ſenſitiuo contraire, nec aduertere quid velit caro, & quid non velit: ſed hoc magis ſatagere, vt ſubiecta ſit etiam nolens ſpiritui. Et tamdiu caſtigari debet, & cogi ſeruituti ſubeſſe, donec parata ſit ad omnia, paucisque contentari diſcat, & ſimplicibus delectari, nec contra aliquod inconueniens muſſitare.

## Cap. XII.

*De informatione patientiæ, & luctamine aduerſus concupiſcentias.*

1. Domine Deus, vt video, patientia eſt mihi valde neceſſaria: multa enim in hac vita, accidunt contraria. Nam qualitercunque ordinauero de pace mea, non poteſt eſſe ſine bello & dolore vita mea. Ita eſt fili. Sed volo te, non talem quærere pacem, quæ tentationibus careat, aut contraria non ſentiat; ſed tunc etiam æſtima te pacem inueniſſe, cùm fueris varijs tribulationibus exercitatus, & in multis contrarietatibus probatus.

2. Si dixeris, te non poſſe multa pati, quomodo tunc ſuſtinebis ignem purgatorij? De duobus malis, minus eſt ſemper eligendum. Vt ergo æterna futura ſupplicia poſſis euadere, mala præſentia ſtudeas pro Deo æquanimiter tolerare. An putas, quòd homines ſeculi huius, nihil vel

parum

Digitized by Google

δι' ἀκηδίαν τῷ τ̃ διανοίας διασπασμῷ περιπίπτῃς, ἢ διὰ τὴν ἀπαιδευσίαν τοὺς ἄλλους σκανδαλίζῃς, ἢ διὰ τὴν τῶν ἄλλων ἀντίστασιν, ταχέως ταράττῃ καὶ καταπίπτῃς.

γ'. Ἐνίοτε δ' ἐπάναγκες βίᾳ χρῆσθαι, καὶ τῇ αἰσθητικῇ ἐπιθυμίᾳ ἀνδρείως ἀντιστατεῖν, καὶ οὐ προσέχειν, τί ἂν ἡ σάρξ βούληται, ἢ οὐ βούληται, ἀλλὰ μᾶλλον σπουδάζειν, ὅπως καὶ ἄκουσα τῷ πνεύματι ὑποταχθῇ. καὶ ἐπὶ τοσοῦτον δεῖ αὐτὴν ὑπωπιάζεσθαι καὶ ἀναγκάζεσθαι δουλεύειν, ἐφ' ὅσον ἑτοίμως ἔχει πρὸς πάντα, καὶ μανθάνει ὀλίγοις ἀγαπᾶν, καὶ τοῖς ἁπλοῖς ἥδεσθαι, οὐ δὲ κατ' ἐναντιώματός τινος γογγύζειν.

## Κεφ. ιβ'.

### Περὶ τοῦ παιδεύματος τῆς ὑπομονῆς, καὶ τῆς πάλης τῆς πρὸς τὰς ἐπιθυμίας.

α'. ΚΥριε ὁ θεός, ὡς καθορῶ, ὑπομονῆς μεγάλην χρείαν ἔχω· πολλὰ γὰρ ἐναντία ἐν τούτῳ τῷ βίῳ συμβαίνει. ὅπως οὖν γὰρ ἂν τὰ τ̃ εἰρήνης μου διατάξω, ὁ βίος μου ἀπόλεμος καὶ ἄλυπος εἶναι οὐ δύναται. ναὶ τέκνον. πλὴν οὐ θέλω σε τοιαύτην εἰρήνην ζητεῖν, ἣ τῶν πειρασμῶν ἄπεστι, καὶ τῶν ἐναντίων οὐκ αἰσθάνεται. ἀλλά, καὶ τότε τὴν εἰρήνην εὑρεῖν δοκεῖν, ὅταν ποικίλαις θλίψεσιν ἀσκηθῇς, καὶ πολλοῖς ἐναντιώμασι δοκιμασθῇς.

β'. Ἐὰν εἴπῃς, ὅτι οὐχ οἷός τ' εἶ πολλὰ παθεῖν, πῶς τότε τὸ καθαρτικὸν πῦρ ὑπομενεῖς; ἐκ δυοῖν κακῶν, τὸ ἧττον ἀεὶ αἱρετέον. ὅπως οὖν τὰς μελλούσας αἰωνίους τιμωρίας ἐκφυγεῖν δυνηθῇς, τὰ παρόντα κακὰ ὑπὲρ τοῦ θεοῦ ἀνεπαχθῶς φέρειν σπούδαζε. μὴ τοὺς ἀνθρώπους τούτου κόσμου οὐδέν, ἢ ὀλίγον ὑπομέ-

parum patiantur? Nec hoc inuenies, etiamſi delicatiſſimos quæſieris. Sed habent, inquis, multas delectationes, & proprias ſequuntur voluntates: ideoque parum ponderant ſuas tribulationes. Eſto, ita ſit, vt habeant quicquid voluerint: ſed quamdiu putas durabit?

3. Ecce, quemadmodum fumus deficient abundantes in ſæculo, & nulla erit recordatio præteritorum gaudiorum. Sed & cùm adhuc viuunt, non ſine amaritudine & tædio ac timore, in eis quieſcunt. Ex eadem namque re, vnde ſibi delectationem concipiunt, inde doloris pœnam frequenter recipiunt. Iuſtè illis fit: vt, quia inordinatè delectationes quærunt & ſequuntur, non ſine confuſione & amaritudine eas expleant.]

4. O quàm breues, quàm falſæ, quàm inordinatæ & turpes omnes ſunt? Veruntamen, præ ebrietate & cæcitate non intelligunt: ſed velut muta animalia, propter modicum corruptibilis vitæ delectamentum, mortem animæ incurrunt. Tu ergo fili, poſt concupiſcentias tuas non eas, & à voluntate tua auertere. Delectare in Domino, & dabit tibi petitiones cordis tui.

5. Etenim ſi veraciter vis delectari, & abundantiùs à me conſolari: ecce in contemptu omnium mundanorum, & in abſciſſione omnium infimarum delectationum, erit benedictio tua, & copioſa tibi reddetur conſolatio. Et quantò te plus ab omni creaturarum ſolatio ſubtraxeris, tantò in me ſuauiores & potentiores conſolationes inuenies. Sed primo, non ſine quadam triſtitia & labore certaminis, ad has pertinges. Obſiſtet inolita conſuetudo, ſed meliori

conſue-

ὑπομένειν νομίζεις; τόδε οὐχ εὑρήσεις, καίπερ τοὺς τρυφερωτάτους ζητήσας. ἀλλ' ἔχουσι, φῄς, πολλὰς τέρψεις, καὶ τὰς ἰδίας προαιρέσεις διώκουσι, διὸ τὰς θλίψεις αὐτῶν ὀλίγον σταθμῶνται. ἀλλ' ἔχοιεν, ὅ,τι ἂν βούλωνται· ἐφ' ὅσον ἄρα τοῦτο διαμενεῖ;

γ'. Ἰδοὺ οἱ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, ὡς καπνὸς ἐκλείψουσι, καὶ οὐδεμία ἀνάμνησις τῶν παρεληλυθειῶν χαρῶν ἔσται. πρὸς δὲ τούτοις ἔτι ζῶντες, ἀπίκρως, ἀλύπως, καὶ ἀφόβως ἐν αὐτοῖς οὐχ ἡσυχάζουσιν· ἐκ τοῦ γὰρ αὐτοῦ, ὅθεν ἡδονὴν αὐτοὶ λαμβάνουσιν, ἐκεῖθεν τὴν τῆς λύπης τιμωρίαν πολλάκις ὑπέχουσι. τοῦτο δ' εἰκότως αὐτοῖς συμβαίνει· ἵνα ὅτι τὰς τέρψεις ἀτάκτως ζητοῦσι καὶ θηρεύουσιν, ἄνευ αἰσχύνης καὶ πικρότητος αὐτὰς οὐκ ἀναπληρώσωσι.

δ'. Ὡς βραχεῖαι, ὡς ψευδεῖς, ὡς ἄτακτοι καὶ αἰσχραὶ πᾶσαι εἰσίν; καίτοι ὑπὸ μέθης καὶ τυφλότητος οὐ γινώσκουσιν, ἀλλ' ὡς κωφὰ ζῶα, διὰ μικρὰν τερπωλὴν τῆς φθαρτῆς ζωῆς, εἰς τὸν τῆς ψυχῆς θάνατον ἐμπίπτουσι. σὺ οὖν, ὦ τέκνον, ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου. κατατρύφησον τοῦ κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.

ε'. Εἰ γὰρ ἀληθῶς ἥδεσθαι, καὶ εὐπορώτερον ὑπ' ἐμοῦ παρακαλεῖσθαι ἐθέλεις, ἰδοὺ ἐν τῇ καταφρονήσει πάντων τῶν κοσμικῶν, καὶ ἐν τῇ ἀποτομῇ πάντων τῶν κάτω τέρψεων ἡ εὐλογία σου ἔσται, καὶ ἄφθονος παραμυθία σοι ἀποδοθήσεται. καὶ ὅσῳ μᾶλλον ἂν πάσης παρακλήσεως τῶν κτίσεων σε ὑπεξαγάγῃς, τοσούτῳ ἰδίους καὶ δυνατωτέρους παραμυθίας ἐν ἐμοὶ εὑρήσεις. ἀλλὰ πρῶτον ἐπὶ ταύτας ἄνευ λύπης τινὸς καὶ πόνου ἀγωνιστικοῦ οὐκ ἀφίξῃ. ἀντιστατήσει τὸ μὲν ἐγχρονίζον ἔθος, ἀλλὰ τοῦτο τῷ

βελτίο-

conſuetudine deuincetur. Remurmurabit caro: ſed feruore ſpiritus frenabitur. Inſtigabit & exacerbabit te ſerpens antiquus: ſed oratione fugabitur: inſuper & labore vtili, aditus ei magnus obſtruetur.

## CAP. XIII.

### *De obedientia humilis ſubditi, ad exemplum IESV Chriſti.*

1. FIli, qui ſe ſubtrahere nititur ab obedientia, ipſe ſe ſubtrahit à gratia. Et qui quærit habere priuata, amittit communia. Qui non libenter & ſponte, ſuo ſuperiori ſe ſubdit, ſignum eſt, quòd caro ſua necdum perfectè ſibi obedit, ſed ſæpè recalcitrat & remurmurat. Diſce ergo celeriter ſuperiori tuo te ſubmittere, ſi carnem propriam optas ſubiugare. Citiùs namque exterior vincitur inimicus, ſi interior homo non fuerit deuaſtatus. Non eſt moleſtior & peior animæ hoſtis, quàm tu ipſe tibi, non bene concordans ſpiritui. Oportet omninò, verum te aſſumere tuiipſius contemptum, ſi vis præualere aduersùs carnem & ſanguinem.

2. Quia adhuc nimis inordinatè te diligis, ideo plenè te reſignare aliorum voluntati trepidas. Sed quid magnum, ſi tu, qui puluis es & nihil, propter Deum te homini ſubdis: quando ego omnipotens & altiſſimus, qui cuncta creaui ex nihilo, me homini propter te humiliter ſubieci? Factus ſum omnium humillimus & infimus, vt tuam ſuperbiam mea humili-

βελτίονι ἔθει νικηθήσεται· καταγογγύζει ἡ σάρξ, ἀλλὰ τῇ τοῦ πνεύματος ζέσει χαλιναγωγηθήσεται. παροξυνεῖ καὶ πικρώσει σε ὁ ἀρχαῖος ὄφις, ἀλλὰ τῇ προσευχῇ φυγαδευθήσεται, ἔτι δὲ καὶ διὰ χρησίμου πόνου ἡ πρόσοδος ἐκ μέρους πολλοῦ αὐτῷ διακλείεται.

## Κεφ. ιγʹ.

### Περὶ τῆς ὑπακοῆς τοῦ ταπεινοῦ ἀρχομένου πρὸς τὸ τοῦ Χριστοῦ παράδειγμα.

αʹ. Τέκνον, ὁ τῆς ὑπακοῆς ἑαυτὸν ὑπεξάγειν ἐπιχειρῶν, ἑαυτὸν τῆς χάριτος ὑπεξάγει· καὶ ὁ τὰ ἴδια ἔχειν ἐπιθυμῶν, τῶν κοινῶν ἀποστερεῖται. ὁ οὐκ ἀσμένως καὶ ἑκουσίως τῷ προστάτῃ αὐτοῦ ὑπακούων, δηλοῖ, ὅτι οὔπω ἡ σάρξ αὐτοῦ τελείως ὑπακούει αὐτῷ, ἀλλὰ πολλάκις ἀναλακτίζει καὶ καταγογγύζει. μάνθανε οὖν τῷ προστάτῃ σου ὑπὸ ταχέως τάσσεσθαι, εἰ τὴν σάρκα σου ὑπὸ σοῦ πείθεσθαι ἐπιθυμεῖς. τάχιον γὰρ ὁ ἔξω ἐχθρὸς νικᾶται, τοῦ ἐνδοτέρου ἀνθρώπου οὐ διεφθαρμένου. οὐκ ἔστι δυσχερέστερος καὶ κακίων τῆς ψυχῆς ἐχθρὸς, ἢ σὺ σεαυτοῦ, μὴ καλῶς τῷ πνεύματι ὁμογνωμονοῦντος. δεῖ παντελῶς ἀληθινήν σε καταφρόνησιν σεαυτοῦ προσλαβεῖν, εἰ τῆς σαρκὸς καὶ τοῦ αἵματος περιγίνεσθαι ἐθέλεις.

βʹ. Ὅτι σεαυτὸν ἔτι λίαν ἀτάκτως ἀγαπᾷς, διὰ τοῦτο τῇ θελήσει ἄλλων παντελῶς σεαυτὸν ὑποτάσσειν κατοκνεῖς. τί δὲ μέγα, εἰ σὺ, σποδὸς ὢν καὶ μηδὲν, διὰ τὸν θεὸν τῷ ἀνθρώπῳ σε ὑποτάσσεις, ἐπειδὴ ἐγὼ παντοδύναμος καὶ ὕψιστος, ὁ πάντα ἐκ μηδενὸς κτίσας, ἐμαυτὸν τῷ ἀνθρώπῳ διὰ σε ταπεινῶς ὑπέταξα; πάντων ταπεινότατος καὶ κατώτατος γέγονα, ἵνα τὴν ὑπερηφανίαν σου τῇ

ταπεινό-

humilitate vinceres. Diſce obtemperare puluis. Diſce te humiliare terra & limus, & ſub omnium pedibus incuruare. Diſce voluntates tuas frangere, & ad omnem ſubiectionem te dare.

3. Exardeſce contra te, nec patiaris tumorem in te viuere: ſed ita ſubiectum & paruulum te exhibe, vt omnes ſuper te ambulare poſſint, & ſicut lutum platearum conculcare. Quid habes homo inanis conqueri? Quid ſordide peccator potes contradicere exprobrantibus tibi, qui toties Deum offendiſti, & infernum multoties meruiſti? Sed pepercit tibi oculus meus, quia pretioſa fuit anima tua in conſpectu meo: vt cognoſceres dilectionem meam, & gratus ſemper beneficijs meis exiſteres: & vt ad veram ſubiectionem & humilitatem, te iugiter dares, patienterque proprium contemptum ferres.

## Cap. XIIII.

### *De occultis Dei iudiciis conſiderandis, ne extollamur in bonis.*

1. INtonas ſuper me iudicia tua Domine, & timore ac tremore concutis omnia oſſa mea, & expaueſcit anima mea valdè. Sto attonitus, & conſidero; quia cæli non ſunt mundi, in conſpectu tuo. Si in angelis reperiſti prauitatem, nec tamen pepercisti, quid fiet de me? Ceciderunt ſtellæ de cælo, & ego puluis quid præſumo? Quorum opera videbantur laudabilia, ceciderunt ad infima: & qui comedebant panem angelorum, vidi ſiliquis delectari porcorum.

2. Nulla

Digitized by Google

ταπεινότητί μου νικήσῃς. μάνθανε σποδὲ ὑπακούειν. μάνθανε ταπεινῶσαί σε γῆ καὶ χοῦς, καὶ ὑποκάτω τῶν ποδῶν ἁπάντων ὑποκάμπτειν. μάνθανε τὰς προαιρέσεις σου θλάσαι, καὶ πρὸς πάντα ὑποταττόμενα προθύμως ἔχειν.

γ'. Εκκαίου κατὰ σοῦ, καὶ οὐκ ἔα τὸν ὄγκον ἔν σοι ζῆν, ἀλλ' οὕτως ὑπάκοον καὶ μικρόν σε πάρεχε, ἵνα πάντες ἐπί σε ἐπιβαίνειν, καὶ ὡς πηλὸν πλατειῶν καταπατεῖν δυνηθῶσι. τί ἔχεις ἄνθρωπε μάταιε μεμψιμοιρεῖν; τί ῥυπαρὲ ἁμαρτωλὲ ἀντιλέγειν τοῖς ὀνειδίζουσί σοι δύνῃ, ὁ τοσάκις τῷ θεῷ προσκρούσας, καὶ πολλάκις τῷ ᾅδῃ ἔνοχος γεγονώς; ἀλλ' ἐφείσατό σου ὁ ὀφθαλμός μου, ὅτι ἡ ψυχή σου ἔντιμος ἐγένετο ἐνώπιόν μου, τοῦ γνῶναί σε τὴν ἀγάπην μου, καὶ ὑπὲρ τῶν εὐεργετημάτων μου ἀεὶ εὐχάριστον γίνεσθαι, τῇ τε ἀληθινῇ ὑποταγῇ καὶ ταπεινότητι ἀδιαλείπτως προσκεῖσθαι, καὶ τὴν ἰδίαν καταφρόνησιν ὑπομονητικῶς καρτερεῖν.

## Κεφ. ιδ'.

### Περὶ τοῦ τὰ κρυπτὰ κρίματα τοῦ θεοῦ σκοπεῖν, τοῦ μὴ ἡμᾶς ἐπὶ τοῖς ἀγαθοῖς ἐπαρθῆναι.

α. ΕΠιβροντᾷς μοι, τὰ κρίματά σου, κύριε, καὶ φόβῳ καὶ τρόμῳ διασείεις πάντα τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου σφόδρα ἐκθαμβεῖ. ἕστηκα ἀπόπληκτος, καὶ σκοπῶ, ὅτι οἱ οὐρανοὶ οὐ καθαροί εἰσιν ἐναντίον σου. εἰ ἐν τοῖς ἀγγέλοις πονηρίαν εὗρες, καὶ οὐκ ἐφείσω, τί συμβήσεταί μοι; ἔπεσον οἱ ἀστέρες ἐκ τοῦ οὐρανοῦ, κἀγὼ σποδὸς τί προσλαμβάνω; ὧν τὰ ἔργα ἐπαινετὰ ἐδόκει, οὗτοι εἰς τὰ κατώτατα ἔπεσον· καὶ τοὺς τὸν ἄρτον τῶν ἀγγέλων φαγόντας, τοῖς κερατίοις τῶν χοίρων ἡδομένους ἑώρακα.

2. Nulla eſt ergo ſanctitas, ſi manum tuam Domine ſubtrahas. Nulla prodeſt ſapientia, ſi gubernare deſiſtas. Nulla iuuat fortitudo, ſi conſeruare deſinas. Nulla ſecura caſtitas, ſi eam non protegas. Nulla propria prodeſt cuſtodia, ſi non adſit tua ſacra vigilantia. Nam relicti, mergimur & perimus: viſitati verò, erigimur & viuimus. Inſtabiles quippe ſumus, ſed per te confirmamur: tepeſcimus, ſed à te accendimur.

3. O quam humiliter, & abiectè mihi de meipſo ſentiendum eſt: quàm nihili pendendum, ſi quid boni videar habere. O quàm profundè ſubmittere me debeo, ſub abyſſalibus iudicijs tuis Domine: vbi nihil aliud me eſſe inuenio, quàm nihil & nihil. O pondus immenſum: ô pelagus intranſnatabile: vbi nihil de me reperio, quàm in toto nihil. Vbi eſt ergo latebra gloriæ? vbi confidentia de virtute concepta? Abſorpta eſt omnis gloriatio vana, in profunditate iudiciorum tuorum ſuper me.

4. Quid eſt omnis caro, in conſpectu tuo? Nunquid gloriabitur lutum, contra formantem ſe? Quomodo poteſt erigi vaniloquio, cuius cor in veritate ſubiectum eſt Deo? Non eum totus mundus eriget, quem veritas ſibi ſubiecit; nec omnium laudantium ore mouebitur, qui totam ſpem ſuam in Deo firmauit. Nam & ipſi, qui loquuntur, ecce omnes nihil, deficient enim cum ſonitu verborum: Veritas autem Domini manet in æternum.

Cap.

Digitized by Google

β'. Οὐδεμία τοίνυν ἁγιότης ἐστίν, εἰ τὴν χεῖρά σου κύριε ὑφέλκεις. οὐδεμία σοφία λυσιτελεῖ, εἰ κυβερνῶν λήγεις. οὐδεμία ἰσχὺς ὠφελεῖ, εἰ διασώζων παύῃ. οὐδεμία ἁγνεία ἀσφαλής, εἰ αὐτῆς οὐχ ὑπερασπίζεις. οὐδεμία ἰδία φυλακὴ συμφέρει, εἰ μὴ ἡ ἁγία ἀγρυπνία σου παραγίνεται. ἡμεῖς μὲν γὰρ καταλειφθέντες, καταποντιζόμεθα καὶ ἀπολλύμεθα· ἐπισκοπηθέντες δ' ἐγειρόμεθα καὶ βιοῦμεν. ἀβέβαιοι δὴ τυγχάνομεν, ἀλλὰ διὰ σοῦ βεβαιούμεθα· χλιαινόμεθα, ἀλλ' ὑπὸ σοῦ ἀνακαιόμεθα.

γ'. Ὡς ταπεινῶς καὶ εὐτελῶς δεῖ ἐμὲ περὶ ἐμαυτοῦ γινώσκειν· ὡς οὐδενὸς τιμᾷν, εἴ τι ἀγαθὸν ἔχειν δοκῶ. ὡς βαθέως ὑπὸ τὴν τῶν κριμάτων σου ἄβυσσον ταπεινῶσαί με ὀφείλω, κύριε· ὅπου μηδὲν ἄλλο ἐμὲ ὄντα εὑρίσκω, ἢ μηδὲν καὶ μηδέν. ὢ βάρος ἀμέτρητον· ὢ πέλαγος ἀδιάνηκτον, ὅπου περὶ ἐμοῦ μηδὲν εὑρίσκω, εἰ μὴ ἐν τῷ ὅλῳ μηδέν. ποῦ τοίνυν ἐστὶν ἡ τῆς δόξης ἀποκρυφή; ποῦ ἡ πεποίθησις ἡ ἐκ τῆς ἀρετῆς γινομένη; κατεπόθη πᾶσα ἡ ματαία καύχησις, ἐν τῷ βάθει τῶν κριμάτων σου τῶν ἐπ' ἐμέ.

δ'. Τί πᾶσα σάρξ ἐστιν ἐνώπιόν σου; μὴ καυχήσεται ὁ πηλὸς κατὰ τοῦ πλάττοντος ἑαυτόν; πῶς ἐπαρθῆναι δύναται, οὗτινος καρδία ἀληθῶς ὑποτάσσεται τῷ θεῷ; οὐκ αὐτὸν ὅλος ὁ κόσμος ἐπαρεῖ, ὃν ἡ ἀλήθεια ἑαυτῇ ὑπέταξεν, οὐδὲ πάντων ἐπαινούντων στόματι κινηθήσεται, ὃς πᾶσαν ἐλπίδα αὐτοῦ ἐν τῷ θεῷ ἐβεβαίωσε. καὶ γὰρ καὶ αὐτοὶ οἱ λαλοῦντες, ἰδοὺ πάντες οὐδέν· ἐκλείψουσι γὰρ μετ' ἤχου τῶν ῥημάτων· ἡ δ' ἀλήθεια τοῦ κυρίου μένει εἰς αἰῶνα.



Digitized by Google

## CAP. XV.

### *Qualiter ſtandum ſit & dicendum in omni re deſiderabili.*

1. FIli, ſic dicas in omni re: Domine, ſi tibi placitum fuerit, fiat hoc ita. Domine, ſi fuerit honor tuus, fiat hoc in nomine tuo. Domine, ſi mihi videris expedire, & vtile eſſe probaueris; tunc dona mihi hoc vti, ad honorem tuum. Sed ſi mihi nociuum fore cognoueris, nec animæ meæ ſaluti prodeſſe, aufer à me tale deſiderium. Non enim omne deſiderium eſt à Spiritu ſancto, etiam ſi homini videatur rectum & bonum. Difficile eſt pro vero iudicare, vtrùm ſpiritus bonus, an alienus te impellat, ad deſiderandum hoc vel illud: an etiam ex proprio mouearis ſpiritu. Multi in fine ſunt decepti, qui primò bono ſpiritu videbantur inducti.

2. Igitur ſemper cum timore Dei & cordis humilitate, deſiderandum eſt & petendum, quicquid deſiderabile menti occurrit: maximeque cum propria reſignatione, mihi totum committendum eſt, atque dicendum: Domine, tu ſcis qualiter meliùs eſt, fac hoc vel illud, ſicut volueris. Da quod vis, & quantum vis, & quando vis. Fac mecum, ſicut ſcis, & ſicut tibi magis placuerit, & maior honor tuus fuerit. Pone me, vbi vis, & liberè age mecum in omnibus. In manu tua ſum, gyra & reuerſa me per circuitum. En ſeruus tuus ego, paratus ad omnia: quoniam non deſidero mihi viuere, ſed tibi: vtinam dignè & perfectè.

*Oratio pro beneplacito Dei perficiendo.*

1. COR

Κεφ. ιε.

## Πῶς δεῖ ἔχειν καὶ λέγειν ἐν παντὶ ἐπιποθητῷ πράγματι.

α. Τέκνον, οὕτως εἰπὲ ἐν παντὶ πράγματι· κύριε, εἰ οὕτω γίνεται εὐδοκία ἔμπροσθέν σου, τοῦτο γενηθήτω. κύριε, εἰ ἔστι δόξα σου, γενηθήτω τοῦτο ἐν τῷ ὀνόματί σου. κύριε, ἐὰν τοῦτο συμφέρον μοι γινώσκῃς, καὶ χρήσιμον εἶναι νομίζῃς, τότε χάρισαί μοι τούτῳ χρῆσθαι εἰς τὴν δόξαν σου· ἐὰν δὲ βλαβερόν μοι, καὶ τῇ τῆς ψυχῆς μου σωτηρίᾳ οὐκ ὠφέλιμον γενησόμενον κατίδῃς, ἆρον ἀπ' ἐμοῦ τοιαύτην ἐπιθυμίαν. οὐ γὰρ πᾶσα ἐπιθυμία ἀπὸ τοῦ ἁγίου πνεύματός ἐστιν, εἰ καὶ τῷ ἀνθρώπῳ ὀρθὴ καὶ καλὴ εἶναι δοκεῖ. χαλεπόν ἐστιν ἀληθῶς διαγινώσκειν εἰ τὸ πνεῦμα ἀγαθὸν, ἢ ἀλλότριον, εἰς τὸ τοῦτο, ἢ ἐκείνου ἐπιθυμεῖν σε ἐπάγει, ἢ καὶ ἐξ ἰδίου πνεύματος παρορμᾷ. πολλοὶ γὰρ ἐπὶ τέλει ἠπάτησαν, οἱ πρῶτον τῷ ἀγαθῷ πνεύματι ἐπαχθῆναι δόξαντες.

β. Χρὴ μὲν οὖν ἀεὶ μετὰ τοῦ φόβου θεοῦ καὶ τῆς ταπεινότητος τῆς καρδίας ἐπιποθεῖν καὶ αἰτεῖν, ὅτι οὖν ἐπιπόθητον τῷ νῷ ἐπέρχεται· μάλιστα δὲ μετὰ πάσης ἀπαρνήσεως ὅλον μοι ἐπιτρέπειν, καὶ λέγειν· κύριε, σὺ γινώσκεις, πῶς βέλτιόν ἐστι· ποίησον τοῦτο, ἢ ἐκεῖνο, καθὼς σὺ βούλει. δὸς ὅ, τι θέλεις, καὶ ὅσον θέλεις, καὶ ὁπότε θέλεις. ποίησον μετ' ἐμοῦ καθὼς ἐπίστασαι, καὶ καθὼς μᾶλλόν σοι ἀρέσῃ, καὶ μείζων δόξα σου γενήσεται. τίθετί με, ὅπου ἂν ἐθέλῃς, καὶ ἐλευθέρως μοι χρῆσαι ἐν πᾶσιν. ἐν χειρί σου εἰμί, στρέφε καὶ ἀνάστρεφέ με κύκλῳ. ἰδοὺ ἐγὼ δοῦλός σου εἰς πάντα ἕτοιμος ὑπάρχων· ὅτι οὐκ ἐμοὶ, ἀλλά σοι ἐπιθυμῶ βιῶσαι· εἴθε ἀξίως καὶ τελείως.

Εὐχὴ ὑπὲρ τοῦ τὴν εὐδοκίαν τοῦ θεοῦ διατελεῖν.

1. CONcede mihi benigniſſime IESV gratiam tuam, vt mecum ſit, & mecum laboret, mecumque in finem vſque perſeueret. Da mihi, hoc ſemper deſiderare & velle, quod tibi magis acceptum eſt, & chariùs placet. Tua voluntas, mea ſit: & mea voluntas, tuam ſemper ſequatur, & optimè ei concordet. Sit mihi vnum velle & nolle tecum: nec aliud poſſe velle aut nolle, niſi quod tu vis & nolis.

2. Da mihi omnibus mori, quæ in mundo ſunt: & propter te amare contemni, & neſciri in hoc ſeculo. Da mihi ſuper omnia deſiderata in te requieſcere, & cor meum in te pacificare. Tu vera pax cordis, tu ſola requies: extra te, dura ſunt omnia & inquieta. In hac pace, in idipſum, hoc eſt, in te vno ſummo æterno bono, dormiam & requieſcam. Amen.

## CAP. XVI.

### *Quòd verum ſolatium, in ſolo Deo eſt quærendum.*

1 QVicquid deſiderare poſſum, vel cogitare ad ſolatium meum, non hic expecto, ſed in poſterum. Quòd ſi omnia ſolatia mundi ſolus haberem, & omnibus delitijs frui poſſem: certum eſt, quòd diu durare non poſſent. Vnde non poteris anima mea plenè conſolari, nec perfectè recreari: niſi in Deo conſolatore pauperum, ac ſuſceptore humilium. Expecta modicum anima mea, expecta diuinum pro-

α. ΠΑράσχου μοι ἠπιώτατε Ἰησοῦ, τὴν χάριν σου, ἵνα συμπαροῦσά μοι κοπιάσῃ, καὶ ἕως τοῦ τέλους συνδιατελέσῃ μοι. δός μοι τοῦτο πάντοτε ἐπιποθεῖν καὶ βούλεσθαι, ὅ, τι σοι χαριέστερον γίνεται, καὶ μᾶλλον ἀρέσκει. τὸ θέλημά σου, ἐμὸν γένοιτο, καὶ τὸ ἐμὸν θέλημα, ἀεὶ τῷ σῷ ἕψαιτο, καὶ κάλλιστα αὐτῷ ὁμογνωμονήσαι. εἴη μοι τὸ αὐτὸ ἐθέλειν, καὶ οὐκ ἐθέλειν μετὰ σοῦ, καὶ οὐκ ἄλλο δύνασθαι βούλεσθαι, καὶ οὐ βούλεσθαι, εἰ μὴ ὅ, τι σὺ ἐθέλεις καὶ οὐκ ἐθέλεις.

β. Χάρισαί μοι πᾶσι τοῖς ἐν τῷ κόσμῳ οὖσιν ἀποθανεῖν, καὶ διά σε φιλῆσαι τὸ καταφρονεῖσθαι, καὶ ἀγνοεῖσθαι ἐν τούτῳ τῷ κόσμῳ. δός μοι ὑπὲρ πάντα ἐπιπόθητα ἐν σοι ἀναπαύεσθαι, καὶ τὴν καρδίαν μου ἐν σοι εἰρηνεύειν. σὺ ἀληθινὴ εἰρήνη τῆς καρδίας, σὺ μόνη ἀνάπαυσις· ἔξω σου, πάντα σκληρὰ καὶ ἀνήσυχα ὑπάρχει. ἐν ταύτῃ τῇ εἰρήνῃ ἐπὶ τὸ αὐτό, τοῦτ' ἐστιν, ἐν σοι μόνῳ, μεγίστῳ, καὶ αἰωνίῳ ἀγαθῷ κοιμηθήσομαι καὶ ὑπνώσω. Ἀμήν.

## Κεφ. ις'.

### Ὅτι τὴν ἀληθινὴν παραμυθίαν ἐν μόνῳ τῷ θεῷ ζητητέον.

α. Ὅτιποσοῦν ἐπιθυμεῖν, ἢ ἐννοεῖν εἰς τὴν παραμυθίαν μου δύναμαι, οὐκ ἐνθάδε, ἀλλ' ἐν τῷ μέλλοντι προσδοκῶ. εἰ πάσας παρακλήσεις τοῦ κόσμου μόνος εἶχον, καὶ πασῶν τρυφῶν ἀπολαύειν ἐδυνάμην, δῆλόν ἐστιν, ὅτι πολὺν χρόνον διαμένειν οὐκ ἂν ἐδύνατο. ὅθεν ψυχή μου οὐχ οἷα τε γίνῃ ἐκπλέως παρακληθῆναι, ἢ παντελῶς ἱλαρωθῆναι, εἰ μὴ ἐν τῷ θεῷ τῷ παρακλήτῳ τῶν πτωχῶν, καὶ ὑποδοχεῖ τῶν ταπεινῶν. προσδόκα μικρὸν ψυχή μου, προσδόκα τὴν τοῦ θεοῦ ἐπαγγε-



Digitized by Google

promiſſum, & habebis abundantiam omnium bonorum in cælo. Si nimis inordinatè iſta appetis præſentia, perdes æterna & cæleſtia. Sint temporalia in vſu, æterna in deſiderio. Non potes aliquo bono temporali ſatiari, quia ad hæc fruenda non es creata.

2. Etiam ſi omnia creata bona haberes, non poſſes eſſe felix & beata: ſed in Deo, qui cuncta creauit, tota beatitudo tua & felicitas conſiſtit: non qualis videtur & laudatur à ſtultis mundi amatoribus: ſed qualem expectant boni Chriſti fideles, & prægustant interdum ſpirituales ac mundi corde, quorum conuerſatio eſt in cælis. Vanum eſt & breue, omne humanum ſolatium. Beatum & verum ſolatium, quod intus à veritate percipitur. Deuotus homo, vbique ſecum fert conſolatorem ſuum Ieſum, & dicit ad eum: Adeſto mihi Domine Ieſu, in omni loco & tempore. Hæc mihi ſit conſolatio, libenter velle carere omni humano ſolatio. Et ſi tua defuerit conſolatio, ſit mihi tua voluntas & iuſta probatio, pro ſummo ſolatio. Non enim in perpetuum iraſceris, neque in æternum comminaberis.

## CAP. XVII.

### *Quòd omnis ſollicitudo, in Deo ſtatuenda ſit.*

1. FIli, ſine me tecum agere, quod volo: ego ſcio quid expedit tibi. Tu cogitas, vt homo: Tu ſentis in multis, ſicut humanus ſuadet affectus.

ἐπαγγελίαν, καὶ ἕξεις τὴν ἀφθονίαν πάντων ἀγαθῶν ἐν οὐρανῷ. εἰ ἄγαν ἀτάκτως τούτων τῶν παρόντων ὀρέγῃ, τὰ αἰώνια καὶ ἐπουράνια ἀπολέσῃς. γένοιτο τὰ πρόσκαιρα ἐν χρείσῃ, τὰ δ' αἰώνια ἐν ἐπιθυμίᾳ. οὐχ οἷός τ' εἶ τινος προσκαίρου ἀγαθοῦ κορεσθῆναι, ὅτι εἰς τὸ τούτων ἀπολαύειν οὐκ ἐκτίσθης.

ϛ'. Εἰ καὶ πάντα τὰ κτισθέντα ἀγαθὰ εἶχες, οὐκ ἂν ἐδυνάσω εἶναι εὐδαίμων καὶ μακαρία, ἀλλ' ἐν τῷ θεῷ τῷ πάντα κτίσαντι πᾶσα ἡ εὐδαιμονία καὶ μακαριότης σου κεῖται, οὐ μὲν οἵα δοκεῖ καὶ ἐπαινεῖται τοῖς ματαίοις κοσμοφίλοις, οἵαν δὲ οἱ ἀγαθοὶ πιστοὶ τοῦ Χριστοῦ προσδοκῶσι, καὶ οἵας ποτὲ προγεύονται οἱ πνευματικοὶ καὶ καθαροκάρδιοι, ὧν πολίτευμα ἐν τῷ οὐρανῷ ὑπάρχει. ματαία καὶ βραχεῖα πᾶσα ἡ ἀνθρωπίνη παραμυθία ἐστι· μακαρία δὲ καὶ ἀληθινὴ παραμυθία, ἣ ἐντὸς παρὰ τῆς ἀληθείας λαμβάνεται. εὐλαβὴς ἄνθρωπος πανταχοῦ τὸν παράκλητον αὐτοῦ τὸν Ἰησοῦν μεθ' αὐτοῦ κομίζει, καὶ λέγει πρὸς αὐτόν· πάρισθί μοι κύριε Ἰησοῦ, ἐν παντὶ τόπῳ καὶ χρόνῳ. αὕτη παράκλησίς μοι γινέσθω τὸ ἀσμένως ἐθέλειν πάσης ἀνθρωπίνης παρακλήσεως ἀπορεῖν. καὶ εἰ ἡ παραμυθία σου ἄπεστι, τὸ θέλημά σου καὶ δικαία δοκιμασία ἀντὶ μεγίστης παρακλήσεώς μοι ἔστω. οὐ γὰρ εἰς τέλος ὀργισθήσῃ, οὐδ' εἰς αἰῶνα μηνιεῖς.

## Κεφ. ιζ.

### Ὅτι χρὴ πᾶσαν τὴν μέριμναν ἐπὶ τὸν θεὸν ἐπιρρίπτειν.

α. Τέκνον, ἔασόν με χρῆσθαί σοι, ὡς ἐθέλω· ἐγὼ οἶδα τὸ συμφέρον σοι. σὺ ἐνθυμῇ, ὡς ἄνθρωπος· σὺ γινώσκεις ἐν πολλοῖς, καθὼς τὸ ἀνθρώπειον πάθος

affectus. Domine, verum eſt, quod dicis. Maior eſt; ſollicitudo tua pro me, quàm omnis cura, quam ego gerere poſſum pro me. Nimis enim caſualiter ſtat, qui non proijcit omnem ſollicitudinem ſuam in te Domine, dummodò voluntas mea recta & firma ad te permaneat, fac de me, quicquid tibi placuerit. Non enim poteſt eſſe niſi bonum, quicquid de me feceris.

2. Si me vis eſſe in tenebris, ſis benedictus: & ſi me vis eſſe in luce, ſis iterum benedictus. Si me dignaris conſolari, ſis benedictus: & ſi me vis tribulari, ſis æquè ſemper benedictus. Fili, ſic oportet te ſtare, ſi mecum deſideras ambulare. Ita promptus eſſe debes ad patiendum, ſicut ad gaudendum. Ita libenter debes eſſe inops & pauper, ſicut plenus & diues.

3 Domine, libenter patiar pro te, quicquid volueris venire ſuper me. Indifferenter volo de manu tua, bonum & malum, dulce & amarum, lætum & triſte ſuſcipere: & pro omnibus mihi contingentibus, gratias agere. Cuſtodi me ab omni peccato, & non timebo mortem nec infernum; dummodò in æternum me non proijcias, nec deleas de libro vitæ: non mihi nocebit, quicquid venerit tribulationis ſuper me.

## CAP. XVIII.

*Quòd temporales miſeriæ, exemplo Chriſti æquanimiter ſunt ferendæ.*

1. Fili, ego deſcendi de cælo, pro tua ſalute: ſuſcepi tuas miſerias, non neceſſi-

συμβουλεύει· κύριε, ἀληθές ἐστιν, ὅπερ λέγεις. ἡ μέριμνά σου ἡ περὶ ἐμοῦ, μείζων ὑπάρχει πάσης ἐπιμελείας, ἣν ἐγὼ περὶ ἐμοῦ ποιεῖσθαι δύναμαι. ἄγαν γὰρ τυχηρῶς ἵσταται, ὁ πᾶσαν τὴν μέριμναν αὐτοῦ ἐπί σε οὐκ ἐπιρρίπτων. κύριε, εἴγε τὸ θέλημά μου εὐθὺ καὶ βέβαιον πρός σε διαμένει, ποίησον μετ' ἐμοῦ πᾶν ὅ,τι ἂν ἀρεστόν σοι γένηται. οὐ γὰρ δύναται εἶναι κακὸν, ὅπερ ἂν μοι ποιήσῃς.

β'. Εἰ ἐν τῷ σκότει εἶναί με ἐθέλεις, εὐλογήθητι· καὶ εἰ ἐν τῷ φωτὶ εἶναί με ἐθέλεις, αὖθις εὐλογήθητι. εἰ παραμυθεῖσθαί με ἀξιοῖς, εὐλογήθητι· καὶ εἰ θλίβεσθαί με ἐθέλεις, ἀεὶ ὁμοίως εὐλογήθητι. τέκνον, οὕτω χρὴ ἔχειν σε, εἰ μετ' ἐμοῦ περιπατεῖν ἐπιθυμεῖς. οὕτω δεῖ σε πρόθυμον εἶναι εἰς τὸ πάσχειν, ὥσπερ εἰς τὸ χαίρειν. οὕτως ἀσμένως ἄπορος καὶ πένης εἶναι ὀφείλεις, ὡς ἔμπλεως καὶ πλούσιος.

γ'. Κύριε, ἡδέως ὑπέρ σου πείσομαι, ὅπερ ἂν θελήσῃς μοι ἐπελθεῖν. ἀδιαφόρως ἀπὸ τῆς χειρός σου ἀποδέχεσθαι ἐθέλω τὸ κακὸν, καὶ τἀγαθὸν, τὸ γλυκὺ καὶ τὸ πικρὸν, τὸ περιχαρὲς καὶ τὸ λυπηρὸν, καὶ ὑπὲρ πάντων συμβαινόντων μοι, εὐχαριστεῖν. φύλαξόν με ἀπὸ παντὸς κακοῦ, καὶ οὐδὲ τὸν θάνατον, οὐδὲ τὸν ᾅδην φοβηθήσομαι· μόνον μὴ εἰς αἰῶνα ἀπορρίψῃς με, μηδ' ἐκ τῆς βίβλου τῆς ζωῆς ἐξαλείψῃς· οὐ βλάψει με, ἥτις οὖν θλῖψις ἐπελεύσεταί μοι.

## Κεφ. ιη'.

Ὅτι δεῖ τὰς προσκαίρους ταλαιπωρίας, τῷ παραδείγματι τοῦ Χριστοῦ, εὐκόλως ὑπομένειν.

α'. Τέκνον, ἐγὼ ἐκ τοῦ οὐρανοῦ ὑπὲρ τῆς σωτηρίας σου κατέβην· τὰς ταλαιπωρίας σου, οὐ

τῆς

neceſſitate, ſed charitate trahente: vt patientiam diſceres, & temporales miſerias non indignanter ferres. Nam ab hora ortus mei, vſque ad exitum in cruce, non defuit mihi tolerantia doloris. Defectum rerum temporalium magnum habui: multas querimonias de me frequenter audiui: confuſiones & opprobria benignè ſuſtinui: pro beneficijs ingratitudinem recepi: pro miraculis blaſphemias, pro doctrina reprehenſiones.

2. Domine, quia tu patiens fuiſti in vita tua, in hoc maximè, implendo præceptum Patris tui: dignum eſt, vt ego miſellus peccator, ſecundùm voluntatem tuam patienter me ſuſtineam: donec ipſe volueris, onus corruptibilis vitæ, pro ſalute mea portem. Nam etſi oneroſa ſentitur præſens vita, facta eſt tamen iam per gratiam tuam valde meritoria: atque exemplo tuo, & ſanctorum tuorum veſtigijs, infirmis tolerabilior & clarior. Sed & multò magis conſolatoria, quàm olim in lege vetere fuerat, quum porta cæli clauſa perſiſteret: & obſcurior etiam via ad cælum videbatur, quando tam pauci regnum cælorum quærere curabant. Sed neque qui tunc iuſti erant & ſaluandi, ante paſſionem tuam, & ſacræ mortis debitum, cæleſte regnum poterant introire.

3. O quantas tibi gratias teneor referre, quòd viam rectam & bonam dignatus es mihi & cunctis fidelibus, ad æternum regnum tuum oſtendere: Nam vita tua,
via

τῆς ἀνάγκης, ἀλλὰ τῆς ἀγάπης ἑλκυούσης, ὑπεδεξάμην, ἵνα τὴν ὑπομονὴν καταμάθῃς, καὶ τὰς προσκαίρους ἀθλιότητας μὴ βαρέως ἐνέγκῃς. ἀπὸ τῆς γὰρ ὥρας τῆς γεννήσεώς μου, μέχρι τῆς τελευτῆς τῆς ἐν τῷ σταυρῷ, οὐκ ἀπογέγονέ μου ἡ κακοπάθεια. τὴν τῶν βιωτικῶν ἀπορίαν μεγάλην εἶχον· πολλῶν μέμψεων τῶν καθ' ἐμοῦ συχνῶς ἤκουσα· αἰσχύνας καὶ ὀνείδη εὐγνωμόνως ὑπέμεινα· ἀντὶ τῶν εὐεργετημάτων τὴν ἀχαριστίαν ἀπέλαβον· ἀντὶ τῶν θαυμάτων, τὰς βλασφημίας, ἀντὶ τῆς διδαχῆς τὰς ἐπιτιμήσεις.

β'. Κύριε, ὅτι σὺ ἐν τῷ βίῳ σου ἐκαρτέρησας, ἐν τούτῳ μάλιστα πληρώσας τὴν ἐντολὴν τοῦ πατρός σου, εἰκὸς κἀμὲ ἄθλιον ἁμαρτωλὸν κατὰ τὴν θέλησίν σου ἀνεξικακεῖν, καὶ ἕως ἂν αὐτὸς θελήσῃς, τὸ τῆς φθαρτῆς ζωῆς βάρος ὑπὲρ τῆς σωτηρίας μου βαστάζειν. καίτοι γὰρ τῆς παρούσης ζωῆς φορτικῆς αἰσθανόμεθα, ὅμως διὰ τῆς σῆς χάριτος νῦν μεγαλόμισθός ἐστι, καὶ τῷ ὑποδείγματί σου, καὶ τοῖς τῶν ἁγίων σου ἴχνεσι, τοῖς ἀσθενέσιν ἀνεκτοτέρα καὶ λαμπροτέρα. πρὸς τούτοις καὶ πολλῷ παρακλητικωτέρα ἐστὶ τῆς ἐν τῷ πάλαι νόμῳ γενομένης, ὅτε ἡ τοῦ οὐρανοῦ πύλη ἀποκεκλεισμένη διέμενε· καὶ ἡ πρὸς τὸν οὐρανὸν ὁδὸς σκοτεινοτέρα ἐδόκει, οὕτως ὀλίγων περὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπιζητεῖν σπουδαζόντων. ἀλλ' οὐδὲ οἱ τότε δίκαιοι καὶ τῆς σωτηρίας μέτοχοι τυγχάνοντες, πρὸ τοῦ πάθους σου, καὶ τῆς τοῦ ἁγίου θανάτου ἐκτίσεως τὴν ἐπουράνιον βασιλείαν εἰσελθεῖν ἐδύναντο.

γ'. Ὡς πολλὴν χάριν ἀποδιδόναι σοι ὀφείλω, ἀνθ' ὧν εὐθεῖαν καὶ καλὴν ὁδόν μοι καὶ πᾶσι τοῖς πιστοῖς εἰς τὴν αἰώνιον βασιλείαν σου ἐπιδεῖξαι ἠξίωσας· ἡ γὰρ ζωή σου,

ἡ ὁδὸς

via noſtra: & per ſanctam patientiam tuam, ambulamus ad te; qui es corona noſtra. Niſi tu nos præceſſiſſes & docuiſſes, quis ſequi curaret? Heu, quot longè retroque manerent, niſi tua præclara exempla inſpicerent. Ecce, adhuc tepeſcimus, auditis tot ſignis tuis & doctrinis: quid fieret, ſi tantum lumen, ad ſequendum te, non haberemus?

## CAP. XIX.

### *De tolerantia iniuriarum, & quis verus patiens probetur.*

1. QVid eſt, quod loqueris fili? Ceſſa conqueri, conſiderata mea & aliorum ſanctorum paſſione. Nondum vſque ad ſanguinem reſtitiſti. Parum eſt, quod tu pateris, in comparatione eorum, qui tam multa paſſi ſunt, tam fortiter tentati, tam grauiter tribulati, tam multipliciter probati & exercitati. Oportet te igitur aliorum grauiora, ad mentem reducere, vt leuiùs feras tua minima. Et ſi tibi minima non videntur, vide ne & hoc tua faciat impatientia. Siue tamen parua, ſiue magna ſint, ſtude cuncta patienter ſufferre.

2, Quantò meliùs ad patiendum te diſponis, tantò ſapientiùs agis, & amplius promereris: feres quoq; leuiùs animo & vſu ad hoc non ſegniter paratus. Nec dicas: Non valeo hæc ab homine tali pati, nec huiuſcemodi mihi patienda ſunt:

graue

ἡ ὁδὸς ἡμῶν· καὶ διὰ τῆς ἁγίας ὑπομονῆς σου προσερχόμεθά σοι, ὃς στέφανος ἡμῶν τυγχάνεις. εἰ μὴ σὺ ἡμᾶς προήγαγες, καὶ ἐδίδαξας, τίς οὖν περὶ τοῦ ἀκολουθεῖν σοι ἐσπούδασε; φεῦ, ὅσοι μακρὰν ἂν καὶ ὀπίσω ἔμενον, εἰ μὴ εἰς τὰ περιφανῆ παραδείγματά σου ἀπέβλεπον; ἰδοὺ, ἔτι χλιαινόμεθα, τοσαῦτα σημεῖα καὶ διδαχάς σου ἀκούσαντες, τί ἂν ἐγένετο, εἰ τηλικοῦτο φῶς εἰς τὸ ἀκολουθῆσαι σοι οὐκ εἴχομεν;

## Κεφ. ιθ'.

### Περὶ τοῦ φέρειν τὰς ὕβρεις, καὶ τίς ἀληθὴς ὑπομονητικὸς ἀποδείκνυται.

α'. ΤΙ ἐστιν, ὅ, τι λαλεῖς, τέκνον; λῆγε τῆς μεμψιμοιρίας, τὸ πάθος μου καὶ τῶν ἄλλων ἁγίων σκοπῶν. οὔπω γὰρ μέχρις αἵματος ἀντικατέστης. μικρόν ἐστιν ὅ, τι σὺ πάσχεις, πρὸς τοὺς τοσαῦτα ὑπομείναντας, οὕτω δεινῶς πειρασθέντας, οὕτω βαρέως θλιφθέντας, καὶ πολλαπλασίως δοκιμασθέντας καὶ ἀσκηθέντας. χρὴ τοίνυν σε τὰ δεινότερα τῶν ἄλλων ἐνθυμεῖσθαι, ἵνα τὸ ἐλάχιστά σου κουφότερον ὑπομένῃς. καὶ εἰ ἐλάχιστά σοι οὐ δοκεῖ, πρόσεχε, πότερον οὐ καὶ τούτου ἡ ἀνυπομονησία σου αἰτία ἐστιν. ἀλλ' ὅμως εἴτε μικρὰ, εἴτε μεγάλα γίνεται, πάντα καρτερεῖν ἐπιχείρει.

β'. Ὅσῳ ἂν βέλτιον εἰς τὸ παθεῖν σε καταρτίσῃς, τοσούτῳ σοφώτερον πράττεις, καὶ μείζονος μισθοῦ ἄξιος γίνῃ· ἔτι δὲ ῥᾷον ὑπομενεῖς, τῇ ψυχῇ καὶ τῇ χρήσει εἰς τοῦτο οὐκ ὀκνηρῶς παρεσκευασθείς. μὴ λέγε· οὐχ οἷός τ' εἰμὶ ταῦτα πάσχειν ὑπὸ τοιούτου ἀνθρώπου, οὐδὲ τοιαῦτά μοι ἀνεκτά ἐστι·

graue enim intulit damnum, & improperat mihi, quæ nunquam cogitaueram: ſed ab alio libenter patiar, & ſicut patienda videro. Inſipiens eſt talis cogitatio, quæ virtutem patientiæ non conſiderat, nec à quo coronanda erit, ſed magis perſonas & offenſas ſibi illatas perpendit.

3. Non eſt verus patiens, qui pati non vult; niſi quantum ſibi viſum fuerit, & à quo ſibi placuerit. Verus autem patiens, non attendit à quo homine, vtrum à Prælato ſuo, an ab aliquo æquali, aut inferiori: vtrum à bono & ſancto viro, vel à peruerſo & indigno exerceatur. Sed indifferenter ab omni creatura, quantumcunque, & quotieſcunque ei aliquid aduerſi acciderit, totum hoc de manu Dei gratanter accipit, & ingens lucrum reputat: quia nil apud Deum, quantumlibet paruum, pro Deo tamen paſſum, poterit ſine merito tranſire.

4. Eſto itaque expeditus ad pugnam, ſi vis habere victoriam. Sine certamine non potes peruenire ad patientiæ coronam. Si pati non vis, recuſas coronari. Si autem coronari deſideras, certa viriliter, ſuſtine patienter. Sine labore, non tenditur ad requiem: nec ſine pugna, peruenitur ad victoriam. Fiat Domine mihi poſſibile per gratiam, quod mihi impoſſibile videtur per naturam. Tu ſcis, quòd modicum poſſum pati, & quòd citò deijcior, leui exurgente aduerſitate. Efficiatur mihi quælibet exercitatio tribulationis, pro nomine tuo amabilis & optabilis: nam pati, & vexari pro te, valde ſalubre eſt animæ meæ.

CAP.

Digitized by Google

Δεινῶς γὰρ ἔβλαψέ με, καὶ ὀνειδίζει μοι, ἃ μηδέποτε ἐνενόησα· ὑπ᾽ ἄλλου δ᾽ ἀσμένως πείσομαι, καθάπερ ἂν χρῆναι παθεῖν κατίδω. τοιοῦτος ὁ λογισμὸς ἀνόητός ἐστι, τὴν τῆς ὑπομονῆς ἀρετὴν οὐ σκεπτόμενος, οὐδὲ ὑφ᾽ οὗ ἐκείνη μέλλει στεφανωθήσεσθαι, ἀλλὰ μᾶλλον τοὺς ἀνθρώπους καὶ τὰς ὕβρεις αὐτῷ γενομένας ἐξετάζων.

γʹ. Οὐκ ἔστιν ἀληθινὸς ὑπομονητικός, ὁ μὴ θέλων παθεῖν, πλὴν ὅ,τι ἂν αὐτῷ δόξῃ, καὶ ὑφ᾽ οὗ αὐτῷ ἀρέσῃ. ἀληθὴς δὲ ὑπομονητικός, οὐ λογίζεται ὑπὸ τίνος ἀνθρώπου, πότερον ὑπὸ προεστάτου αὐτοῦ, ἢ ὑπό τινος ἴσου, ἢ ἐλάττονος· πότερον ὑπὸ τοῦ ἀγαθοῦ καὶ ἁγίου ἀνθρώπου, ἢ ὑπὸ πονηροῦ καὶ ἀναξίου ἀσκεῖται· ἀλλ᾽ ἀδιαφόρως ὑπὸ πάσης κτίσεως, ὁποσονοῦν καὶ ὁποσάκις οὖν ἂν ἀτύχημά τι αὐτῷ συμβῇ, πᾶν τοῦτο ἀπὸ τῆς τοῦ θεοῦ χειρὸς εὐχαρίστως ἀποδεχόμενος, παμμέγεθες κέρδος ἡγεῖται· ὅτι μηδὲν παρὰ τῷ θεῷ, καίπερ ἐλάχιστον ὄν, εἴγε διὰ τὸν θεὸν ἐπάθομεν, ἄμισθον εἶναι δυνήσεται.

δʹ. Διόπερ ἕτοιμος ἔσο πρὸς τὸν πόλεμον, εἰ θέλεις τῆς νίκης ἐπιτυχεῖν. ἀπολέμως τοῦ τῆς ὑπομονῆς στεφάνου οὐ δύνῃ ἐφικέσθαι. εἰ παθεῖν οὐκ ἐθέλεις, ἀναίνῃ στεφανοῦσθαι. εἰ δὲ στεφανοῦσθαι ἐπιθυμεῖς, ἀγωνίσθητι ἀνδρείως, ὑπόμεινον μακροθύμως. ἀπόνως τῆς ἀναπαύσεως οὐκ ἐπιτεύξῃ, καὶ ἀπολέμως τὴν νίκην οὐκ ἀρῇ. γενηθήτω κύριε δυνατόν μοι, διὰ τῆς χάριτος, ὅ,τι ἀδύνατόν μοι δοκεῖ διὰ τῆς φύσεως. σὺ οἶδας, ὅτι μικρὸν δύναμαι παθεῖν, καὶ ὅτι εὐθέως ἀθυμῶ, ἀτυχίας συμβαινούσης κούφης. γένοιτό μοι πᾶσα ἄσκησις τῆς θλίψεως, ὑπὲρ τοῦ ὀνόματός σου, προσφιλὴς καὶ εὐκταία· ὅτι τὸ παθεῖν καὶ κακωθῆναι ὑπὲρ σοῦ, πάνυ σωτήριόν ἐστι τῇ ψυχῇ μου.

Κεφ.

Digitized by Google

## Cap. XX.

*De confeſſione propriæ infirmitatis, & huius vitæ miſerijs.*

1. Confitebor aduerſum me iniuſtitiam meam: confitebor tibi Domine infirmitatem meam. Sæpe parua res eſt, quæ me deijcit & contriſtat. Propono me fortiter acturum ſed cùm modica tentatio venerit, magna mihi anguſtia fit. Valde vilis quandoque res eſt, vnde grauis tentatio prouenit. Et dum puto me aliquantulùm tutum, cùm non ſentio, inuenio me nonnunquam penè deuictum ex leui flatu.

2. Vide ergo Domine humilitatem meam, & fragilitatem tibi vndique notam. Miſerere, & eripe me de luto, vt non infigar, non permaneam deiectus vſquequaque. Hoc eſt, quod me frequenter reuerberat, & coram te confundit; quòd tàm labilis ſum, & infirmus, ad reſiſtendum paſſionibus. Etſi non omnino ad conſenſionem trahit, tamen mihi etiam moleſtia & grauis eſt earum inſectatio, & tædet valde ſic quotidie viuere in lite. Ex hinc nota mihi fit infirmitas mea: quia multò facilius irruunt abominandæ ſemper phantaſiæ, quàm diſcedunt.

3. Vtinam fortiſſime Deus Iſrael, zelator animarum fidelium, reſpicias ſerui tui laborem & dolorem, aſſiſtasque illi in omnibus, ad quæcunque perrexerit. Robora me cœleſti fortitudine, ne vetus homo, miſera caro ſpiritui necdũ plenè ſubiecta, præualeat dominari: aduersùs

quam

## Κεφ. κ'.

### Περὶ τοῦ ὁμολογεῖσθαι τὴν ἰδίαν ἀσθένειαν, καὶ τὰς ταλαιπωρίας τούτου τοῦ βίου.

α'. Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου· ἐξομολογήσομαί σοι κύριε τὴν ἀσθένειάν μου. πολλάκις μικρόν ἐστι τὸ ἐμὲ καταβάλλον καὶ λυποῦν. προαιροῦμαι ἀνδραγαθεῖν, ἀλλὰ μικροῦ πειρασμοῦ ἐπερχομένου, σφόδρα στενοχωροῦμαι. εὐτελέστατόν ἐστί ποτε, ὅθεν δεινὸς πειρασμός μοι γίνεται· καὶ ὅτε ἐπὶ ποσὸν ἀσφαλῆ με εἶναι νομίζω, ἐκ κούφης πνοῆς ἡττηθέντα μέ ποτε εὑρίσκω, οὐκ αἰσθανόμενος.

β'. Ἴδε τοίνυν, κύριε, τὴν ταπεινότητά μου, καὶ ἀσθένειάν μου τὴν πανταχόθεν σοι ἐγνωσμένην. ἐλέησον, καὶ σῶσόν με ἐκ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ, οὐ μὴ διατελῶ καταβληθεὶς ἕως σφόδρα. τοῦτ' ἐστιν, ὅπερ πολλάκις με ἐκπλήττει, καὶ ἐναντίον σου καταισχύνει, ὅτι οὕτω σφαλερὸς, καὶ εἰς τὸ ἀντιστῆναι τοῖς παθήμασιν ἀσθενής εἰμι. καίτοι εἰ καὶ οὐ πάντως συγκατατίθεμαι, ἀλλ' οὖν καὶ ὁ διωγμὸς αὐτῶν ὀχληρὸς καὶ βαρύς μοι γίνεται, καὶ καθ' ἑκάστην οὕτω τῇ ἔριδι ἐνδιάγειν σφόδρα κατοκνῶ. ἐκ τούτου ἡ ἀσθένειά μου γνωρίζεταί μοι, ὅτι αἱ βδελυκταὶ φαντασίαι πολλῷ ῥᾷον ἀεὶ εἰσβάλλουσιν, ἢ ἀπέρχονται.

γ'. Εἴθε ἰσχυρότατε θεὸς τοῦ Ἰσραὴλ, ζηλωτὰ τῶν ψυχῶν πιστῶν ἀπέβλεψες εἰς τὸν πόνον καὶ τὴν ὀδύνην τοῦ δούλου σου, καὶ παρίστασο αὐτῷ ἐν πᾶσιν, εἰς ἅπερ ἂν στραφῇ. κραταίωσόν με τῇ ῥώμῃ ἐπουρανίῳ, ἵνα μὴ παλαιὸς ἄνθρωπος, ἡ σχετλία σάρξ, τῷ πνεύματι οὔπω παντελῶς ὑποταχθεῖσα, κυριεύειν δυνηθῇ· πρὸς ἣν ἀγωνί-

quam certare oportebit, quamdiu ſpiratur in hac vita miſerrima. Heu, qualis eſt hæc vita, vbi non deſunt tribulationes & miſeriæ: vbi plena laqueis & hoſtibus ſunt omnia? Nam vna tribulatione ſeu tentatione recedente, alia accedit: ſed & priore adhuc durante conflictu, alij plures ſuperueniunt, & inſperatè.

4. Et quomodo poteſt amari vita, tantas habens amaritudines, tot ſubiecta calamitatibus & miſerijs? Quomodo etiam dicitur vita, tot generans mortes & peſtes? Et tamen amatur & delectari in ea à multis quæritur. Reprehenditur frequenter mundus, quod fallax ſit & vanus, nec tamen facilè relinquitur, quia concupiſcentiæ carnis nimis dominantur. Sed alia trahunt ad amandum, alia ad contemnendum. Trahunt ad amorem mundi, deſiderium carnis, deſiderium oculorum, & ſuperbia vitæ: ſed pœnæ ac miſeriæ iuſtè ſequentes ea, odium mundi pariunt & tædium.

5. Sed vincit, proh dolor, delectatio praua mentem mundo deditam, & eſſe ſub ſenſibus delitias reputat: quia Dei ſuauitatem, & internam virtutis amœnitatem, nec vidit, nec guſtauit. Qui autem mundum perfectè contemnunt, & Deo viuere ſub ſancta diſciplina ſtudent, iſti diuinam dulcedinem, veris abrenuntiatoribus promiſſam, non ignorant, & quàm grauiter mundus errat, & variè fallitur, clariùs vident.

## Cap. XXI.

ἀγωνίζεσθαι δεήσῃ, μέχρις ἂν ἐν τῷδε τῷ βίῳ ἀθλιωτάτῳ πνέωμεν. οἴμοι, ποῖος οὗτος βίος ἐστὶν, ὅπου αἱ θλίψεις καὶ ταλαιπωρίαι οὐκ ἄπεισι, καὶ ὅπου τῶν παγίδων καὶ τῶν ἐχθρῶν πάντα γέμει; μιᾶς γὰρ θλίψεως ἢ πειρασμοῦ ἀπερχομένου, ἄλλος προσέρχεται· ἀλλὰ καὶ τῆς προτέρας συμβολῆς ἔτι γινομένης, ἄλλαι πλείους καὶ ἀπροσδοκήτως ἐπέρχονται.

δ'. Καὶ πῶς δυνατὸν, ταύτην τὴν ζωὴν τοσαύτας πικρότητας ἔχουσαν, καὶ τηλικαύταις συμφοραῖς καὶ ταλαιπωρίαις ἔνοχον ἀγαπᾶσθαι; καὶ πῶς λέγεται βίος, ὁ τοσούτους θανάτους καὶ λοιμοὺς γεννῶν; ἀλλ' ὅμως ἀγαπᾶται, καὶ πολλοὶ ἐν αὐτῷ τέρπεσθαι ἐπιποθοῦσι. ψέγεται συχνῶς ὁ κόσμος, ὡς ἀπατηλὸς καὶ μάταιος ὤν, ἀλλὰ μὴν οὐ ῥᾳδίως καταλείπεται, ὅτι αἱ ἐπιθυμίαι τῆς σαρκὸς ἄγαν κυριεύουσι. καίτοι τὰ μὲν εἰς τὸ αὐτὸν φιλεῖν, τὰ δὲ εἰς τὸ αὐτοῦ καταφρονεῖν ἑλκύει. εἰς τὴν ἀγάπην τοῦ κόσμου ἑλκύουσιν, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου. αἱ δὲ ποιναὶ καὶ ταλαιπωρίαι αἱ αὐτοῖς εἰκότως ἀκολουθοῦσαι, τὸ τοῦ κόσμου μῖσος καὶ ἀηδίαν ἐμποιοῦσιν.

ε'. Οὐ μὴν ἀλλὰ, αἲ αἴ, ἡ πονηρὰ τέρψις, τῆς ψυχῆς τῆς τῷ κόσμῳ προσκειμένης περιγίνεται, καὶ τὸ τῶν αἰσθήσεσιν ὑποτάττεσθαι, τρυφὴν νομίζει, ὅτι τὴν τοῦ θεοῦ χρηστότητα, καὶ τὸ ἔσω κάλλος τῆς ἀρετῆς, οὐκ ἔβλεψεν, οὐδ' ἐγεύσατο. οἱ δὲ τοῦ κόσμου ὅλως ὀλιγωροῦντες, καὶ τῷ θεῷ ὑπὸ τῇ ἁγίᾳ παιδεύσει ζῆν ἐπιχειροῦντες, τὴν θείαν ἡδύτητα τὴν τοῖς ἀληθέσιν ἀποτάκταις ἐπαγγελθεῖσαν οὐκ ἀγνοοῦσι, καὶ ὡς δεινῶς ὁ κόσμος πλανᾶται, καὶ ποικίλως ἐξαπατᾶται, σαφέστερον γινώσκουσι.

Κεφ. κα'.

Ὅτι

## *Quòd in Deo, ſuper omnia bona & dona requieſcendum eſt.*

1. SVper omnia & in omnibus, requieſces anima mea in Domino ſemper, quia ipſe ſanctorum æterna requies. Da mihi, dulciſſime & amantiſſime IESV, in te ſuper omnem creaturam requieſcere; ſuper omnem ſalutem & pulchritudinem: ſuper omnem gloriam & honorem: ſuper omnem potentiam & dignitatem; ſuper omnem ſcientiam & ſubtilitatem; ſuper omnes diuitias & artes; ſuper omnem lætitiam & exultationem; ſuper omnem famam & laudem; ſuper omnem ſuauitatem & conſolationem; ſuper omnem ſpem & promiſſionem: ſuper omne meritum & deſiderium; ſuper omnia dona & munera, quæ potes dare & infundere: ſuper omne gaudium & iubilationem, quam poteſt mens capere & ſentire. Denique ſuper Angelos & Archangelos, & ſuper omnem exercitum cæli: ſuper omnia viſibilia & inuiſibilia: & ſuper omne, quod tu Deus meus non es.

2. Quia tu Domine Deus meus ſuper omnia optimus es: tu ſolus altiſſimus: tu ſolus potentiſſimus: tu ſolus ſufficientiſſimus & pleniſſimus: tu ſolus ſuauiſſimus & ſolatioſiſſimus: tu ſolus pulcherrimus & amantiſſimus: tu ſolus nobiliſſimus & glorioſiſſimus ſuper omnia: in quo cuncta bona ſimul & perfectè ſunt, & ſemper fuerunt & erunt: atque ideo minus eſt & inſufficiens, quicquid præter teipſum mihi donas, aut de teipſo reuelas, vel promittis, te non viſo, nec plenè adepto.

Quoni-

### Ὅτι ἐν τῷ Θεῷ ὑπὲρ πάντα ἀγαθὰ ϗ δῶρα ἀναπαύεσθαι δεῖ.

α. Ὑπὲρ πάντα ϗ ἐν πᾶσιν, ψυχή μȣ, ἐν τῷ κυρίῳ ἀεὶ ἀναπαύσῃ, ὅτι αὐτός ἐστιν τῶν ἁγίων αἰώνιος ἀνάπαυσις. δός μοι, ἡδύτατε ϗ προσφιλέστατε Ἰησȣ̃, ἐν σοὶ ὑπὲρ πᾶσαν κτίσιν ἀναπαύεσθαι, ὑπὲρ πᾶσαν σωτηρίαν ϗ κάλλος, ὑπὲρ πᾶσαν δόξαν ϗ τιμήν, ὑπὲρ πᾶν κράτος ϗ ἀξίωμα, ὑπὲρ πᾶσαν ἐπιστήμην ϗ ἀγχίνοιαν, ὑπὲρ πάντα πλȣ̃τον ϗ τέχνας, ὑπὲρ πᾶσαν εὐφροσύνην ϗ ἀγαλλίασιν, ὑπὲρ πᾶσαν φήμην ϗ ἔπαινον, ὑπὲρ πᾶσαν ἡδύτητα ϗ παραμυθίαν, ὑπὲρ πᾶσαν ἐλπίδα ϗ ἐπαγγελίαν, ὑπὲρ πᾶσαν ἀξίαν ϗ ἐπιθυμίαν, ὑπὲρ πάντα δῶρα ϗ γέρατα, ἅτινα δύνῃ διδόναι ϗ ἐγχέειν, ὑπὲρ πᾶσαν χαρὰν ϗ ἀλάλαξιν, ἥνπερ ὁ νȣ̃ς ἀνθρώπειος δύναται χωρεῖν ϗ αἰσθάνεσθαι. τέλος δὲ ὑπὲρ ἀγγέλȣς ϗ ἀρχαγγέλȣς, ϗ ὑπὲρ πᾶσαν στρατιὰν τȣ̃ οὐρανȣ̃· ὑπὲρ πάντα ὁρατὰ ϗ ἀόρατα, ϗ ὑπὲρ πᾶν, ὅ,τι σὺ ὁ Θεός μȣ οὐκ εἶ.

β. Ὅτι σὺ κύριε ὁ Θεός μȣ, πάντων βέλτιστος τυγχάνεις· σὺ μόνος ὕψιστος, σὺ μόνος δυνατώτατος, σὺ μόνος αὐταρκέστατος ϗ πληρέστατος· σὺ μόνος ἥδιστος ϗ παρακλητικώτατος· σὺ μόνος κάλλιστος ϗ φίλτατος· σὺ μόνος εὐγενέστατος ϗ ὑπὲρ πάντα ἐνδοξότατος, ἐν ᾧ πάντ' ἀγαθὰ ἅμα ϗ τελείως ἐστὶ, ϗ ἀεὶ ἐγένετο ϗ ἔσται· ϗ διὰ τȣ̃το ἧττον ϗ ἐλλειπές ἐστιν, ὅ,τι ἂν, πλὴν σεαυτȣ̃, δωρῇ μοι, ἢ περὶ σου ἀποκαλύπτεις, ἢ ἐπαγγέλλεις, σοῦ οὐχ ἑωραμένου, ϗ κατειλημμένου.

ἡ γὰρ

Quoniam quidem non poteſt cor meum veraciter requieſcere, nec totaliter contentari, niſi in te requieſcat, & omnia dona omnemque creaturam tranſcendat.

3. O mi dilectiſſime ſponſe Iesv Chriſte, amator puriſſime, dominator vniuerſæ creaturæ: quis mihi det pennas veræ libertatis, ad volandum & pauſandum in te? O quando ad plenum dabitur mihi vacare & videre, quàm ſuauis es Domine Deus meus? Quando ad plenum me recolligam in te, vt præ amore tuo, non ſentiam me: ſed te ſolum, ſupra omnem ſenſum & modum, in modo non omnibus noto? Nunc autem frequenter gemo, & infelicitatem meam cum dolore porto. Quia multa mala, in hac valle miſeriarum occurrunt, quæ me ſæpiùs conturbant, contriſtant, & obnubilant: ſæpiùs impediunt & diſtrahunt, alliciunt & implicant, ne liberum habeam acceſſum ad te, & ne iucundis fruar amplexibus, præſtò ſemper beatis ſpiritibus. Moueat ſuſpirium meum, & deſolatio multiplex in terra.

4. O Ieſu, ſplendor æternæ gloriæ, ſolamen peregrinantis animæ: apud te eſt os meum ſine voce & ſilentium meum loquitur tibi. Vſquequo tardat venire Dominus meus? Veniat ad me pauperculum ſuum, & lætum faciat. Mittat manum ſuam, & miſerum eripiat de omni anguſtia. Veni, veni: quia ſine te, nulla erit læta dies aut hora, quia tu lætitia mea: & ſine te, vacua eſt menſa mea. Miſer ſum, & quodammodo incarceratus, & compedibus grauatus: donec luce præſentiæ tuæ me reficias, ac libertati dones, vultumque amicabilem demonſtres.

5 Quæ-

Digitized by Google

ἡ γὰρ καρδία μου οὐ δύναται ἀληθῶς ἡσυχάζειν ἢ παντελῶς ἀρκεῖσθαι, ἐὰν μὴ ἐν σοὶ ἀναπαύηται, πάντα τε δῶρα, καὶ πᾶσαν κτίσιν ὑπερβαίνῃ.

γ΄. Ὦ προσφιλέστατε νυμφίε μου Ἰησοῦ Χριστέ, φιλητὰ καθαρώτατε, δέσποτα πάσης κτίσεως· τίς δώσει μοι πτέρυγας ἀληθοῦς ἐλευθερίας τοῦ πετᾶσθαι καὶ ἀναπαύεσθαι ἐν σοί; πότε ἀφθόνως συγχωρηθήσεταί μοι σχολάσαι καὶ ἰδεῖν, ὡς χρηστὸς εἶ κύριε ὁ θεός μου; πότε ἐκπλέως συλλέξω με ἐν σοί, ἵν' ὑπὸ τῆς ἀγάπης, σου οὐκ αἰσθάνωμαί μου, ἀλλὰ σοῦ μόνου ὑπὲρ πᾶσαν αἴσθησιν καὶ τρόπον, τῷ τρόπῳ οὐ πᾶσιν ἐγνωσμένῳ; νυνὶ δὲ πολλάκις στενάζω, καὶ τὴν ἀτυχίαν μου ὀδυνώμενος βαστάζω, ὅτι πολλὰ κακὰ ἐν τῇδε τῇ κοιλάδι τῶν ταλαιπωριῶν συμβαίνει, ἅτινά με πλεονάκις ταράττει, λυπεῖ, καὶ νεφοῖ· πλεονάκις ἐμποδίζει καὶ διασπᾷ, ἐπάγει καὶ ἐμπλέκει, ἵνα μὴ ἀδεῶς προσέλθω σοι, οὐδὲ τῶν ἡδειῶν περιπτυχῶν ἀπολαύσω, τοῖς μακαρίοις πνεύμασιν ἀεὶ παρόν. κινῆσαι σε ὁ στεναγμός μου, καὶ ἡ πολλαπλασία ἐρημία ἡ ἐπὶ τῆς γῆς.

δ΄. Ὦ Ἰησοῦ ἀπαύγασμα τῆς αἰωνίου δόξης, παραμυθία τῆς ἀποδημούσης ψυχῆς· παρὰ σοὶ τὸ στόμα μου ἄφωνόν ἐστι, καὶ ἡ σιγή μου λαλεῖ σοι. ἕως πότε βραδυνεῖ ὁ κύριός μου τοῦ ἐλθεῖν; προσέλθοι μοι τῷ πενιχρῷ δούλῳ αὐτοῦ, καὶ εὐφρῆναι. βάλοι τὴν χεῖρα αὐτοῦ, καὶ ῥύσαιτο τὸν ἄθλιον ἐκ πάσης στενοχωρίας. ἐλθέ, ἐλθέ· ὅτι ἄνευ σου μηδεμία ἡμέρα, ἢ ὥρα φαιδρὰ ἔσται, ὅτι σὺ ἡ εὐφροσύνη μου· καὶ χωρὶς σοῦ, κενά ἐστιν ἡ τράπεζά μου. ἄθλιός εἰμι, καὶ εἱργμένος πως, καὶ ἐμπεπεδημένος, ἕως ἂν τῷ φωτὶ τῆς παρουσίας σου ἀναπαύσῃς με, καὶ ἐλευθερώσῃς, τὸ πρόσωπον φιλικὸν ἐπιδεικνύων.

5. Quærant alij pro te aliud, quodcunque libuerit: mihi aliud interim nil placet, nec placebit, niſi tu Deus meus, ſpes mea, ſalus æterna. Non reticebo, nec deprecari ceſſabo: donec gratia tua reuertatur, mihique tu intùs loquaris: Ecce adſum: Ecce ego ad te, quia inuocaſti me, lachrymæ tuæ, & deſiderium animæ tuæ, humiliatio tua & contritio cordis, inclinauerunt me & adduxerunt ad te. Et dixi: Domine, vocaui te, & deſideraui frui te, paratus omnia reſpuere propter te. Tu enim prior excitaſti me, vt quærerem te. Sis ergo benedictus Domine, qui feciſti hanc bonitatem cum ſeruo tuo, ſecundùm multitudinem miſericordiæ tuæ.

6. Quid habet vltra dicere ſeruus tuus coram te, niſi vt humiliet ſe valde ante te, memor ſemper propriæ iniquitatis & vilitatis? Non enim eſt ſimilis tui, in cunctis mirabilibus cæli & terræ. Sunt opera tua bona valde, iudicia vera, & prouidentia tua reguntur vniuerſa. Laus ergò tibi & gloria, ô patris ſapientia: te laudet, & benedicat os meum, anima mea, & cuncta creata ſimul.

## CAP. XXII.

### *De recordatione multiplicium beneficiorum Dei.*

1. APeri Domine cor meum in lege tua, & in præceptis tuis doce me ambulare. Da mihi intelligere voluntatem tuam, & cum magna reuerentia ac diligenti conſideratione, beneficia tua, tam in generali quàm in ſpeciali memorari: vt dignè tibi ex hinc, valeam gratias refer-

Digitized by Google

ε. Ζητήσεταν ἄλλοι ἄλλο ἀντὶ σου, ὅπου ἂν δόξῃ· ἐμοὶ μεταξὺ μηδὲν ἄλλο οὐκ ἀρέσκει, οὐδ' ἀρέσῃ, εἰ μὴ σὺ ὁ θεός μου, ἐλπίς μου, σωτηρία αἰώνιος. οὐ σιωπήσω, οὐδὲ λήξω δεόμενος, ἕως ἂν ἡ χάρις σου ἀναστρέψῃ, καὶ σὺ ἔσω μοι λαλήσῃς· ἰδοὺ πάρειμι, ἰδοὺ ἐγὼ παρὰ σοί, ὅτι ἐπεκαλέσω με. τὰ δάκρυά σου, καὶ ἡ ἐπιπόθησις τῆς ψυχῆς σου, ἡ ταπείνωσίς σου καὶ ἡ σύντριψις τῆς καρδίας ἐξέκλιτόν με, καὶ προσήγαγόν σοι. καὶ εἶπα· κύριε, ἐκάλεσά σε, καὶ ἐπεθύμησα ἀπολαύειν σου, ἕτοιμος ὢν πάντα διά σε ἀποπτύειν. σὺ γὰρ πρότερον ἐμὲ ἐξήγειρας, ὅπως σε ζητήσω. εὐλογήθητι οὖν, κύριε, ὁ ταύτην τὴν χρηστότητα ποιήσας μετὰ τοῦ δούλου σου κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου.

ϛ'. Τί ἔχει ἔτι λέγειν ὁ δοῦλός σου ἐνώπιόν σου, εἰ μὴ ἵν' ἀεὶ σφόδρα ταπεινώσῃ αὐτὸν ἔμπροσθεν σου, τῆς ἰδίας ἀνομίας καὶ εὐτελείας πάντοτε ἀναμνησθείς; οὐ γάρ ἐστιν ὅμοιός σοι, ἐν πᾶσι θαυμασίοις τοῦ οὐρανοῦ καὶ τῆς γῆς. τὰ ἔργα σου καλὰ λίαν ἐστί, τὰ κρίματα ἀληθῆ, καὶ τῇ προνοίᾳ σου διοικεῖται πάντα. αἶνος οὖν σοι καὶ δόξα, ὦ σοφία τοῦ πατρός. σὲ αἰνήσαι καὶ εὐλογήσαι στόμα μου, ἡ ψυχή μου, καὶ ἅμα πάντα κτισθέντα.

## Κεφ. κβ'.

### Περὶ τοῦ ἀναμνησθῆναι τῶν πολλαπλασίων εὐεργετημάτων τοῦ θεοῦ.

α. Ἄνοιξον κύριε τὴν καρδίαν μου ἐν νόμῳ σου, καὶ ἐν ταῖς ἐντολαῖς σου δίδαξόν με περιπατεῖν. δός μοι γνῶναι τὸ θέλημά σου, καὶ μετὰ μεγάλης ἐντροπῆς καὶ ἀκριβοῦς διασκέψεως, τῶν εὐεργετημάτων σου, γενικῶς καὶ εἰδικῶς ἀναμνησθῆναι, ἵν' οἷός τε γένωμαι ὑπὲρ τούτων σοι ἀξίας

referre. Verùm ſcio & confiteor, nec pro minimo puncto, me poſſe debitas gratiarum laudes perſoluere. Minor ego ſum, omnibus bonis mihi præſtitis: & cùm tuam nobilitatem attendo, deficit præ magnitudine ſpiritus meus.

2. Omnia, quæ in anima habemus & corpore, & quæcunque exteriùs vel interiùs, naturaliter vel ſupernaturaliter poſſidemus, tua ſunt beneficia, & te beneficum, pium ac bonum commendant, à quo bona cuncta accepimus. Etſi alius plura, alius pauciora accepit, omnia tamen tua ſunt: & ſine te, nec minimum poteſt haberi. Ille, qui maiora accepit, non poteſt merito ſuo gloriari, neque ſuper alios extolli, nec minori inſultare: quia ille maior & melior, qui ſibi minus adſcribit, & in regratiando humilior eſt, atque deuotior. Et qui omnibus viliorem ſe exiſtimat, & indigniorem ſe iudicat, aptior eſt ad percipienda maiora.

3. Qui autem pauciora accepit, contriſtari non debet, nec indignanter ferre, neque ditiori inuidere: ſed te potiùs attendere, & tuam bonitatem maximè laudare, quòd tam affluenter, tam gratis & libenter, ſine perſonarum acceptione tua munera largiris. Omnia ex te, & ideo in omnibus es laudandus. Tu ſcis, quid vnicuique donari expediat: & cur iſte minus, & ille amplius habeat, non noſtrum ſed tuum eſt hoc diſcernere, apud quem ſingulorum definita ſunt merita.

4. Vnde Domine Deus, pro magno etiam reputo beneficio, non multa habere, vnde exteriùs & ſecundùm homines, laus & gloria apparet: ita

vt con-

Digitized by Google

εὐχαριστεῖ. οὐ μὴν ἀλλὰ γινώσκω καὶ ὁμολογῶ, οὐδὲ ὑπὲρ ἐλαχίστης στιγμῆς ὀφειλομένην χάριν ἔχειν δύνασθαι. ἐλάττων εἰμὶ πάντων ἀγαθῶν, ἅτινα ἐμὲ ἐποίησας, καὶ ἐν τῷ σκέπτεσθαί με τὸ ἀξίωμά σου, ἐκλείπει ὑπὸ τοῦ μεγέθους τὸ πνεῦμά μου.

β'. Πάντα ἅπερ ἐν τῇ ψυχῇ καὶ τῷ σώματι ἔχομεν, καὶ πάντα ὅσα ἔξω, ἢ ἔσω, φυσικῶς ἢ ὑπερφυσικῶς κτώμεθα, σὰ εὐεργετήματά ἐστι, καὶ εὐεργετικὸν, εὔσπλαγχνον, κἀγαθὸν ὄντα σε, ἐπαινοῦσι, παρ' οὗ πάντ' ἀγαθὰ ἐλάβομεν. εἰ καὶ ὁ μὲν πλείω, ὁ δ' ἐλάττω ἔλαβεν, ὅμως πάντα σά ἐστι, καὶ ἄνευ σοῦ οὐδ' ἐλάχιστον ἔχεσθαι δύναται. ὁ μείζω λαβὼν, οὐκ εἰκότως τῇ ἀξίᾳ αὐτοῦ καυχᾶσθαι δύναται, οὐδὲ ὑπὲρ τοὺς ἄλλους ἐπαίρεσθαι, οὐδὲ τῷ ἐλάττονι ἐπιγελᾶν· ὅτι οὗτος μείζων καὶ βελτίων, ὃς ἧττον ἑαυτῷ ἀνατίθησι, καὶ ἐν τῷ εὐχαριστεῖν ταπεινότερος καὶ εὐλαβέστερός ἐστι. καὶ ὁ ἑαυτὸν πάντων εὐτελέστερον ἡγούμενος, καὶ ἀναξιότερον νομίζων, εἰς τὸ τὰ μείζω ἀπολαβεῖν ἑτοιμότερος ὑπάρχει.

γ'. Ὁ δ' ἐλάττω ἀπολαβὼν, οὐ λυπεῖσθαι, οὐδὲ δυσχεραίνειν, οὐδὲ τῷ πλουσιωτέρῳ φθονεῖν, ἀλλά σοι μᾶλλον προσέχειν, καὶ τὴν χρηστότητά σου μάλιστα ἐπαινεῖν ὀφείλει, ὅτι οὕτως εὐπόρως, οὕτω δωρεὰν καὶ ἀσμένως καὶ ἀπροσωπολήπτως τὰ δῶρά σου χαρίζῃ. πάντα ἐκ σοῦ ἐστι, διόπερ ἐν πᾶσιν ἐπαινετὸς τυγχάνεις. σὺ οἶδας, τί ἂν ἑκάστῳ δίδοσθαι συμφέρῃ· καὶ διὰ τί ὁ μὲν ἧττον, ὁ δὲ μεῖζον ἔχῃ, οὐχ ἡμῶν, ἀλλὰ σοῦ ἐστι τοῦτο διαγινώσκειν, παρ' ᾧπερ αἱ ἀξίαι ἑκάστων ὡρίσθησαν.

δ'. Διὰ τοῦτο, κύριε ὁ θεὸς, μεγάλην εὐεργεσίαν ἡγοῦμαι, οὐ πολλὰ ἔχειν, ἐξ ὧν ἔξω καὶ κατὰ τοὺς ἀνθρώπους ὁ ἔπαινος καὶ ἡ δόξα φαίνεται· ὥστε τὴν

vt conſiderata quis paupertate & vilitate perſonæ ſuæ, non modò nullam grauitatem, aut triſtitiam, vel deiectionem inde concipiat, ſed potiùs conſolationem & hilaritatem magnam: quia tu Deus pauperes & humiles, atque huic mundo deſpectos, tibi elegiſti in familiares & domeſticos. Teſtes ſunt ipſi Apoſtoli tui, quos principes ſuper omnem terram conſtituiſti. Fuerunt tamen ſine querela conuerſati in mundo, tam humiles & ſimplices, ſine omni malitia & dolo, vt etiam pati contumelias gauderent pro nomine tuo: & quæ mundus abhorret, ipſi amplecterentur affectu magno.

5. Nihil ergo amatorem tuum, & cognitorem beneficiorum tuorum, ita lætificare debet, ſicut voluntas tua in eo, & beneplacitum æternæ diſpoſitionis tuæ: de qua tantum contentari debet & conſolari, vt ita libenter velit eſſe minimus, ſicut aliquis optaret eſſe maximus: & ita pacificus & contentus in nouiſſimo, ſicut in loco primo: atque ita libenter deſpicabilis & abiectus, nullius quoque nominis & famæ, ſicut cæteris honorabilior & maior in mundo. Nam voluntas tua, & amor honoris tui, omnia excedere debet; & plùs eum conſolari, magiſque placere, quàm omnia beneficia ſibi data vel danda.

## CAP. XXIII.

### *De quatuor magnam importantibus pacem.*

1. FIli, nunc docebo te viam pacis, & veræ libertatis. Fac Domine, quod

πενίαν καὶ εὐτέλειαν ἰδίαν τις σκεψάμενος μὴ μόνον οὐδεμίαν βαρύτητα, ἢ λύπην, ἢ ἀθυμίαν ἐκεῖθεν συλλαμβάνει, ἀλλὰ μᾶλλον παραμυθίαν καὶ μεγάλην ἱλαρότητα· ὅτι σὺ ὁ θεὸς τοὺς πένητας καὶ ταπεινοὺς, καὶ τοὺς τούτῳ τῷ κόσμῳ καταφρονήτους εἰς συνήθεις καὶ οἰκείους σοι ἐξελέξω. τοῦτο αὐτοὶ ἀπόστολοί σου μαρτυροῦσιν, οὓς ἐπὶ πᾶσαν τὴν γῆν ἄρχοντας κατέστησας. ἀλλ' ὅμως ἄμεμπτοι ἐν τούτῳ τῷ κόσμῳ ἀνεστράφησαν, οὕτω ταπεινοὶ καὶ ἁπλοῖ, ἄκακοί τε καὶ ἄδολοι ὄντες, ὥστε καὶ ἐπὶ τῷ ἀτιμασθῆναι ὑπὲρ τοῦ ὀνόματός σου, χαίρειν, καὶ ἅτινα ὁ κόσμος μυσάττεται, αὐτοὺς σὺν μεγάλῃ ἐπιθυμίᾳ ἀποδέξασθαι.

ε. Μηδὲν οὖν τὸν φιλητήν σου καὶ γνώστην τῶν εὐεργεσιῶν σου οὕτως εὐφραίνειν δεῖ, ὥσπερ τὸ θέλημά σου τὸ ἐν αὐτῷ, καὶ ἡ εὐδοκία τῆς αἰωνίου διατάξεώς σου· ἥτινι τοσοῦτον στέργειν καὶ παρακαλεῖσθαι ὀφείλει, ἵν' οὕτως ἀσμένως βουληθῇ εἶναι ἐλάχιστος, ὡς ἄλλος ἂν εὔξαιτο εἶναι μέγιστος, καὶ οὕτως εἰρηνεύσῃ καὶ ἀγαπήσῃ τῷ ἐσχάτῳ τόπῳ, ὡς τῷ πρώτῳ· καὶ οὕτως ἡδέως παροραθεὶς καὶ καταβεβλημένος, ἀκλεής τε καὶ ἄφημος, ὡς τῶν ἄλλων ἐντιμότερος καὶ μείζων ἐν τῷ κόσμῳ. τὸ γὰρ βούλημά σου, καὶ ἡ ἀγάπη τῆς τιμῆς σου πάντα ὑπεραίρειν ὀφείλει, καὶ μᾶλλον παραμυθεῖσθαι αὐτὸν καὶ τελειοτέρως ἀρέσκειν, ἢ πάντα εὐεργετήματα αὐτῷ δοθέντα, ἢ δοθησόμενα.

## Κεφ. κγ΄.

### Περὶ τεσσάρων τῶν μεγάλην εἰρήνην παρεχόντων.

α΄. ΤΕκνον, νυνὶ τὴν τῆς εἰρήνης καὶ τῆς ἀληθινῆς ἐλευθερίας ὁδόν σε διδάξω. ποίησον κύριε ὃ λέγεις,

quod dicis, quia hoc mihi gratum eſt audire. Stude fili, alterius potius facere voluntatem, quàm tuam. Elige ſemper minus, quàm plus habere. Quære ſemper inferiorem locum, & omnibus ſubeſſe. Opta ſemper & ora, vt voluntas Dei integrè in te fiat. Ecce talis homo, ingreditur fines pacis & quietis.

2. Domine, ſermo tuus iſte breuis, multum in ſe continet perfectionis. Paruus eſt dictu, ſed plenus ſenſu, & vber in fructu. Nam ſi poſſet à me fideliter cuſtodiri, non deberet tam facilis in me turbatio oriri. Nam quotiens me impacatum ſentio & grauatum, ab hac doctrina me receſſiſſe inuenio. Sed tu, qui omnia potes, & animæ profectum ſemper diligis, adauge maiorem gratiam: vt poſſim tuum complere ſermonem, & meam perficere ſalutem.

*Oratio, contra cogitationes malas.*

3. DOmine DEVS meus, ne elongeris à me: Deus meus in auxilium meum reſpice: quoniam inſurrexerunt in me variæ cogitationes, & timores magni, affligentes animam meam. Quomodo pertranſibo illæſus? Quomodo perfringam eas? Ego, inquit, ante te ibo, & glorioſos terræ humiliabo. Aperiam ianuas carceris, & arcana ſecretorum reuelabo tibi. Fac Domine, vt loqueris: & fugiant à facie tua, omnes iniquæ cogitationes. Hæc ſpes, & vnica conſolatio mea, ad te in omni tribulatione confugere, tibi confidere, te ex intimo inuocare, & patienter conſolationem tuam expectare.

*Oratio*

Digitized by Google

ὅτι τούτου ἀκούειν εὐπρόσδεκτόν μοι ἐστί. σπούδαζε τέκνον, ὅπως μᾶλλον ποιήσῃς τὸ θέλημα τοῦ ἄλλου, ἢ τὸ σοῦ. μᾶλλον ἀεὶ προαιροῦ ἧττον, ἢ πλεῖον ἔχειν. ζήτει ἀεὶ τὸν κατώτερον τόπον, καὶ πᾶσιν ὑποτάττεσθαι. εὔχου ἀεὶ καὶ δέου, τὸ τοῦ θεοῦ θέλημα ὅλως ἐν σοὶ γίνεσθαι. ἰδοὺ τοιοῦτος ἄνθρωπος εἰς τὰ τῆς εἰρήνης καὶ ἀναπαύσεως ὅρια εἰσέρχεται.

ϐ. Κύριε, οὗτος ὁ λόγος σου βραχὺς ὢν πολλὴν τελειότητα συνέχει. μικρὸς μέν ἐστι τὴν λέξιν, πλήρης δὲ τὴν νόησιν, καὶ πολύκαρπος. εἰ γὰρ ὑπ' ἐμοῦ πιστῶς τηρεῖσθαι ἠδύνατο, οὐκ ἂν ἔδει οὕτω ῥαδίως ταραχὴν μοι γίνεσθαι. ὁσάκις γὰρ ὀχλούμενος καὶ βαρυνόμενος αἰσθάνομαι, ταύτης τῆς διδαχῆς με ἀπελθεῖν γινώσκω. ἀλλὰ σύ, ὁ πάντα ἰσχύων, καὶ τὴν τῆς ψυχῆς ἐπίδοσιν πάντοτε ἀγαπῶν, τὴν χάριν μᾶλλον αὔξησον, ἵνα τὸν λόγον σου πληρῶσαι, καὶ τὴν σωτηρίαν μου ἐπιτελέσαι δυνηθῶ.

### Εὐχὴ κατὰ τῶν κακῶν διανοιῶν.

γ'. ΚΥριε ὁ θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ θεός μου εἰς τὴν βοήθειάν μου ἀπόβλεψον· ὅτι ἐπανέστησαν ἐπ' ἐμὲ ποικίλαι διάνοιαι καὶ μεγάλοι φόβοι, ἐκθλίβοντες τὴν ψυχήν μου. πῶς διελεύσομαι ἀβλαβής; πῶς αὐτοὺς διαῤῥήξω; ἐγώ, φησιν, ἔμπροσθέν σου πορεύσομαι, καὶ τοὺς ἐνδόξους τῆς γῆς ταπεινώσω. ἀνοίξω τὰς θύρας τῆς φυλακῆς, καὶ τὰ ἀπόῤῥητα τῶν μυστηρίων ἀποκαλύψω σοι. ποίησον κύριε, ὡς λαλεῖς, καὶ φυγέτωσαν ἀπὸ προσώπου σου πᾶσαι ἄνομοι διάνοιαι. αὕτη ἡ ἐλπίς, καὶ μία παραμυθία μου, πρός σε ἐν πάσῃ θλίψει καταφεύγειν, σοὶ πεποιθέναι, σὲ ἐκ καρδίας ἐπικαλεῖν, καὶ ὑπομενητικῶς τὴν παραμυθίαν σου προσδοκᾶν.

*Oratio pro illuminatione mentis.*

4. CLarifica me, bone IESV, claritate interni luminis: & educ de habitaculo cordis mei, tenebras vniuerſas. Cohibe euagationes multas, & vim facientes elide tentationes. Pugna fortiter pro me, & expugna malas beſtias, concupiſcentias dico illecebroſas: vt fiat pax in virtute tua, & abundantia laudis tuæ reſonet in aula ſancta, hoc eſt, in conſcientia pura. Impera ventis & tempeſtatibus: dic mari, quieſce: & Aquiloni, ne flaueris: & erit tranquillitas magna.

5. Emitte lucem tuam & veritatem, vt luceant ſuper terram: quia terra ſum inanis & vacua, donec illumines me. Effunde gratiam deſuper: perfunde cor meum rore cæleſti: miniſtra deuotionis aquas, ad irrigandum faciem terræ, ad producendum fructum bonum & optimum. Eleua mentem preſſam mole peccatorum, & ad cæleſtia totum deſiderium meum ſuſpende: vt guſtata ſuauitate ſupernæ felicitatis, pigeat de terrenis cogitare.

6. Rape me & eripe ab omni creaturarum indurabili conſolatione: quia nulla res creata, appetitum meum valet plenariè quietare & conſolari. Iunge me tibi, inſeparabili dilectionis vinculo: quoniam tu ſolus ſufficis amanti, & absque te friuola ſunt vniuerſa.

## CAP. XXIIII.

*De euitatione curioſæ inquiſitionis, ſuper alterius vita.*

Εὐχὴ ὑπὲρ τοῦ φωτισμοῦ τοῦ νοῦ.

δ΄. Λάμπρυνέ με ὦ ἀγαθὲ Ἰησοῦ, λαμπρότητι τοῦ ἔσω φωτὸς, καὶ ἔκβαλλε ἐκ τοῦ οἰκήματος τῆς καρδίας μου πᾶν τὸ σκότος. κάτεχε τὰς πολλὰς παρεκβάσεις, καὶ ἐξέλαυνε τοὺς βιάζοντας πειρασμούς. ἰσχυρῶς ὑπερμάχου μου, καὶ πολέμει τὰ κακὰ θηρία, ἐπιθυμίας λέγω δελεαστικὰς, ὅπως ἡ εἰρήνη γένηται ἐν τῇ δυνάμει σου, καὶ ἡ εὐθηνία τοῦ ἐπαίνου σου ἠχῇ ἐν τῇ ἁγίᾳ αὐλῇ, τοῦτ' ἔστιν, ἐν καθαρᾷ συνειδήσει. ἐπιτίμα τοῖς ἀνέμοις, καὶ τοῖς χειμᾶσι· λέγε τῇ θαλάσσῃ, ἀναπαύου, καὶ τῷ βορέᾳ, μὴ πνεύσῃς, καὶ ἔσται μεγάλη γαλήνη.

ε. Ἐξαπόστελλε τὸ φῶς σου καὶ τὴν ἀλήθειαν, τοῦ λάμπειν ἐπὶ τῆς γῆς· ὅτι ἐγώ εἰμι γῆ κενὴ καὶ ἀργὴ, ἕως ἂν φωτίσῃς με. ἔκχεε ἄνωθεν τὴν χάριν· διάχεε τὴν καρδίαν μου τῇ ἐπουρανίῳ δρόσῳ· πάρεχε τὰ τῆς εὐλαβείας ὕδατα, εἰς τὸ καταβρέχειν τὸ πρόσωπον τῆς γῆς, καὶ εἰς τὸ καλῶς καὶ ἀγαθῶς καρποφορεῖν. ἆρον τὴν διάνοιαν τῷ τῶν ἁμαρτιῶν βάρει πιεσθεῖσαν, καὶ ὅλον πόθον μου εἰς τὰ οὐράνια ὕψωσον, ὥστε τῆς ἡδύτητος τῆς ἄνω μακαριότητος γευσάμενος κατοκνήσῃ περὶ τῶν τῆς γῆς ἐννοεῖν.

ϛ΄. Ἅρπασον καὶ ἐξελοῦ με ἀπὸ πάσης ἀσταθοῦς παραμυθίας τῶν κτίσεων· ὅτι οὐδὲν κτίσμα τὴν ὄρεξίν μου ἐκπλέως χορεῖν καὶ παρακαλεῖν δύναται. σύναψον ἐμέ σοι ἀχωρίστῳ δεσμῷ τῆς ἀγάπης, ὅτι σὺ μόνος ἀρκεῖς τῷ ἀγαπῶντι, καὶ χωρὶς σοῦ πάντα φλυαρά ἐστι.

## Κεφ. κδ΄.

Περὶ τοῦ διαφεύγειν τὴν περίεργον ἐξέτασιν τοῦ βίου τοῦ ἄλλου.

α. Τέκνον,

1. Filli, noli eſſe curioſus, nec vacuas gere ſollicitudines. Quid hoc vel illud ad te? tu me ſequere. Quid enim ad te, vtrum ille ſit talis vel talis; aut iſte ſic & ſic agit vel loquitur? Tu non indiges reſpondere pro alijs, ſed pro teipſo rationem reddes. Quid ergo te implicas? Ecce, ego omnes cognoſco: & cuncta, quæ ſub ſole fiunt, video: & ſcio, qualiter cum vnoquoque ſit, quid cogitet, quid velit, & ad quem finem tendat eius intentio. Mihi igitur omnia committenda ſunt: tu verò ſerua te in bona pace, & dimitte agitantem agitare, quantum voluerit. Veniet ſuper eum, quicquid fecerit vel dixerit, quia me fallere non poteſt.

2. Non ſit tibi curæ de magni nominis vmbra, non de multorum familiaritate, nec de priuata hominum dilectione. Iſta enim generant diſtractiones, & magnas in corde obſcuritates. Libenter loquerer tibi verbum meum, & abſcondita reuelarem, ſi aduentum meum diligenter obſeruares, & oſtium cordis mihi aperires. Eſto prouidus, & vigila in orationibus, & humilia te in omnibus.

## Cap. XXV.

*In quibus firma pax cordis, & verus profectus conſiſtit.*

1. Filli, ego loquutus ſum: Pacem relinquo vobis: pacem meam do vobis: non quomodo mundus dat, ego do vobis. Pacem omnes deſiderant, ſed quæ ad veram pacem pertinent, non omnes curant. Pax mea, cum humilibus & manſuetis corde. Pax tua erit in multa patien-

α. ΤΕκνον, μὴ πολυπραγμόνει, μηδὲ ματαίως φρόντιζε. τί τοῦτο ἢ ἐκεῖνο πρός σε; σὺ ἀκολούθει μοι· τί γὰρ πρός σε, πότερον ἐκεῖνος τοιοῦτος, ἢ τοιοῦτός ἐστιν· ἢ οὗτος οὕτω καὶ οὕτω πράττει, ἢ λαλεῖ; οὐ χρή σε ὑπὲρ ἄλλων ἀποκρίνεσθαι, ἀλλὰ περὶ σεαυτοῦ τὸν λόγον ἀποδώσεις. διὰ τί οὖν ἐμπλέκῃ; ἰδού, ἐγὼ πάντας γινώσκω, καὶ πάντα τὰ ὑπὸ τὸν ἥλιον γινόμενα βλέπω· καὶ οἶδα πῶς ἕκαστος ἔχει, τί ἐννοεῖ, τί βούλεται, καὶ εἰς τί ἡ προαίρεσις αὐτοῦ συντείνει. διὸ πάντα δεῖ σε ἐπιτρέπειν μοι· σὺ δὲ καλῶς εἰρήνευε, καὶ ἔα τὸν πολυπραγμονοῦντα πράττειν, ὅσον ἂν ἐθελήσῃ. ἐπελεύσεται αὐτῷ πᾶν ὅ,τι ἂν ποιήσῃ ἢ λέξῃ, ὅτι ἐμὲ ἐξαπατᾷν οὐ δύναται.

β. Μὴ μελέτω σοι τῆς σκιᾶς τῆς ἐνδοξίας, μηδὲ τῆς τῶν πολλῶν οἰκειότητος, μηδὲ τῆς ἰδίας ἀγάπης τῶν ἀνθρώπων. ταῦτα γὰρ περισπασμούς, καὶ μεγάλους σκοτασμοὺς τῇ καρδίᾳ ἐμποιεῖ. ἀσμένως ἂν ἐλάλουν σοι τὸν λόγον μου, καὶ τὰ κεκρυμμένα ἀπεκάλυπτον, εἰ τὴν ἄφιξίν μου ἐπιμελῶς ἐτήρεις, καὶ τὴν θύραν τῆς καρδίας μοι ἤνοιγες. ἔσο πρόνους, καὶ γρηγόρει ἐν ταῖς προσευχαῖς, καὶ ἐν πᾶσι ταπεινώθητι.

## Κεφ. κέ.

### Ἐν τίσι βεβαία εἰρήνη τῆς καρδίας, καὶ ἡ ἀληθινὴ ἐπίδοσις κεῖται.

α. ΤΕκνον, ἐγὼ ἐλάλησα· εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. τὴν μὲν εἰρήνην πάντες ἐπιποθοῦσι, τῶν δὲ πρὸς τὴν ἀληθινὴν εἰρήνην φερόντων οὐ πάντες ἐπιμελοῦνται. ἡ εἰρήνη μου μετὰ τῶν ταπεινῶν καὶ πρᾳέων τῇ καρδίᾳ. ἡ εἰρήνη σου ἔσται ἐν τῇ πολλῇ

ὑπομο-

patientia. Si me audieris, & vocem meam ſequutus fueris, poteris multa pace frui. Quid igitur faciam? In omni te attende tibi, quid facias & quid dicas: & omnem intentionem tuam ad hoc dirige, vt mihi ſoli placeas, & extra me nihil cupias vel quæras. Sed & de aliorum dictis vel factis, nil temere iudices: nec cum rebus, tibi non commiſſis, te implices; & poterit fieri, vt parum vel rarò turberis.

2. Nunquam autem ſentire aliquam turbationem, nec aliquam pati cordis vel corporis moleſtiam, non eſt præſentis temporis, ſed ſtatus æternæ quietis. Non ergo exiſtimes te veram pacem inueniſſe, ſi nullam ſenſeris grauitatem: nec tunc totum eſſe bonum, ſi neminem pateris aduerſarium: nec hoc eſſe perfectum, ſi cuncta fiunt ſecundùm tuum affectum. Neque tunc aliquid magni te reputes, aut ſpecialiter dilectum æſtimes, ſi in magna fueris deuotione atque dulcedine: quia in iſtis, non cognoſcitur verus amator virtutis: nec in iſtis, conſiſtit profectus & perfectio hominis.

4. In quo ergo Domine? In offerendo te ex toto corde tuo voluntati diuinæ, non quærendo quæ tua ſunt, nec in paruo, nec in magno, nec in tempore, nec in æternitate: ita vt vna æquali facie, in gratiarum actione permaneas, inter proſpera & contraria, omnia æqua lance penſando. Si fueris tam fortis & longanimis in ſpe, vt ſubtracta interiori conſolatione, etiam ad ampliora ſuſtinenda cor tuum præparaueris, nec te iuſtificaueris, quaſi hæc, tantaq; pati non

deberes:

Digitized by Google

ὑπομονῇ. ἐὰν μου ἀκούσῃς, ϗ τῇ φωνῇ μου ἀκολουθήσῃς, πολλῆς εἰρήνης ἀπολαύειν δυνήσῃ. τί οὖν ποιήσω; ἐν πᾶσιν ἔπεχέ σοι, τί ἂν ποιήσῃς, ϗ τί λέξῃς· ϗ πᾶσαν τὴν προαίρεσίν σου πρὸς τοῦτο κατεύθυνε, ἵνα μόνῳ μοι ἀρέσῃς, ϗ ἔξω μου μηδὲν ποθήσῃς ἢ ζητήσῃς. ἔτι δὲ τοὺς λόγους, ἢ τὰ ἔργα τῶν ἄλλων μὴ εἰκῇ κρῖνε, μηδ᾽ εἰς τὰ πράγματα, ἅπερ οὐκ ἐπιστεύθης, ἐμπλέχθητι· ϗ ἐνδέξεται, μικρὸν ἢ σπανίως σε διαταράττεσθαι.

β'. Μηδενὸς δὲ ταραγμοῦ πώποτε αἰσθάνεσθαι, ϗ μηδεμίαν λύπην τῆς καρδίας, ἢ τοῦ σώματος πάσχειν, οὐ τοῦ παρόντος χρόνου, ἀλλὰ τῆς καταστάσεως τῆς αἰωνίου ἀναπαύσεώς ἐστι. μὴ οὖν νόμιζε τὴν ἀληθινὴν εἰρήνην εὑρεῖν, εἰ μηδεμιᾶς βαρύτητος αἰσθάνῃ· μηδὲ τότε πάντα καλῶς ἔχειν, εἰ μηδένα ἀντίδικον πάσχεις· μηδὲ ταύτην εἶναι τελειότητα, εἰ πάντα κατὰ τὴν γνώμην σου γίνεται. μηδὲ τότε μέγα φρόνει, ἢ ἰδίως ἀγαπητὸν εἶναι ἡγοῦ, εἰ μεγάλης εὐλαβείας ϗ ἡδύτητος ἀπολαύεις· ὅτι ἐκ τούτων οὐ γινώσκεται ὁ ἀληθῶς ὢν φιλάρετος· οὐδ᾽ ἐν τούτοις ἡ προκοπὴ ϗ τελειότης τοῦ ἀνθρώπου κρέμαται.

γ'. Ἐν τίνι οὖν, κύριε; ἐν τῷ προσφέρειν σε τῇ θείᾳ βουλήσει ἐξ ὅλης τῆς καρδίας σου, οὐ ζητοῦντα τὰ σὰ, οὐδ᾽ ἐν μικρῷ, οὐδ᾽ ἐν μεγάλῳ, οὐδ᾽ ἐν χρόνῳ, οὐδ᾽ ἐν αἰδιότητι· ὥστε ἐν τῇ τε εὐτυχίᾳ ϗ τῇ ἀτυχίᾳ ἰσοπροσωπικῶς εὐχαριστοῦντα διατελεῖν, ϗ πάντα ἰσορρόπως σταθμᾶσθαι. εἰ ἔσῃ οὕτως ἀνδρεῖος ϗ μακρόθυμος ἐν τῇ ἐλπίδι, ἵνα, τῆς ἔσω παρακλήσεως ἀφαιρεθείσης, ϗ εἰς τὸ δεινότερα παθεῖν τὴν καρδίαν σου ἑτοιμάσῃς, οὐδὲ σεαυτὸν, ὡς ταῦτα ϗ τοιαῦτα ὑπομένειν οὐκ ὀφείλοντα

δικαιό-

deberes: ſed me in omnibus diſpoſitionibus iuſtificaueris,& ſanctum laudaueris: tunc in vera & recta via pacis ambulas; & ſpes indubitata erit, quòd rurſus in iubilo faciem meam ſis viſurus. Quòd ſi ad plenum tuiipſius contemptum perueneris, ſcito quòd tunc abundantia pacis perfrueris, ſecundùm poſſibilitatem tui incolatus.

## Cap. XXVI.

### *De eminentia liberæ mentis, quam ſupplex oratio magis meretur, quàm lectio.*

1. DOmine, hoc opus eſt perfecti viri, nunquam ab intentione cæleſtium animum relaxare: & inter multas curas, quaſi ſine cura tranſire: non more torpentis, ſed prærogatiua quadam liberæ mentis, nulli creaturæ inordinata affectione adhærendo.

2. Obſecro te, pijſſime Deus meus, præſerua me à curis huius vitæ, ne nimis implicer: à multis neceſſitatibus corporis, ne voluptate capiar: ab vniuerſis animæ obſtaculis, ne moleſtijs fractus, deijciar. Non dico ab his rebus, quas toto affectu ambit vanitas mundana: ſed ab his miſerijs, quæ animam ſerui tui, communi maledicto mortalitatis, pœnaliter grauant & retardant: ne in libertatem ſpiritus, quotiens libuerit, valeat introire.

3. O Deus meus, dulcedo ineffabilis, verte mihi in amaritudinem omnem conſolationem carnalem, ab æternorum amore me adſtrahentem: & ad ſe, intuitu cuiuſdã boni delectabilis præſentis, malè

δικαιώσῃς, ἀλλ᾽ ἐν πάσαις διαθέσεσιν ἐμὲ δικαιώσῃς, καὶ ἅγιον εὐλογήσῃς· τότε ἐν τῇ ἀληθινῇ καὶ εὐθείᾳ ὁδῷ τῆς εἰρήνης πορεύῃ, καὶ ἀναμφισβήτητος ἐλπὶς ἔσται, τὸ πρόσωπόν μου πάλιν ἐν ἀλαλαγμῷ σε βλέψειν. ἐὰν δὲ εἰς τὴν τελείαν καταφρόνησιν σεαυτοῦ ἔλθῃς, γίνωσκε, ὅτι τότε τὴν ἄφθονον εἰρήνην καρπώσῃ, καθ᾽ ὅσον γε οἷόν τ᾽ ἐν τῇ παροικίᾳ σου.

## Κεφ. κϛʹ.

### Περὶ τῆς ὑπεροχῆς τοῦ νοῦ ἐλευθέρου, ἧς ἡ ἱκετικὴ προσευχὴ μᾶλλον ἀξιοῦται, ἢ ἡ ἀνάγνωσις.

αʹ. Κύριε, τόδε τὸ ἔργον τοῦ ἀνδρὸς τελείου ἐστι, μηδέποτε τὸν νοῦν ἀπὸ σκοποῦ τῶν οὐρανίων χαλάσαι, καὶ μεταξὺ πολλῶν φροντίδων ὡς ἀφρόντιδα διελθεῖν, οὐ μὲν τοῦ ὀκνοῦντος δίκην, ἀλλὰ προνομίᾳ τινὶ τῆς ἐλευθέρας διανοίας, τῷ μηδεμιᾷ κτίσει ἀτάκτως συναφθῆναι.

βʹ. Ἀξιῶ σε, ἠπιώτατε θεός μου, φύλαξόν με ἀπὸ τῶν μεριμνῶν τούτου τοῦ βίου, ἵνα μὴ ἄγαν ἐμπλεχθῶ· ἀπὸ πολλῶν ἀναγκῶν τοῦ σώματος, ἵνα μὴ ὑπὸ τῶν ἡδονῶν ληφθῶ· ἀπὸ πάντων τῆς ψυχῆς ἐμποδισμάτων, ἵνα μὴ ἡττηθεὶς τῶν λυπῶν καταβληθῶ. οὐ λέγω ἀπὸ τούτων, ὧν ἡ ματαιότης κοσμικὴ ἐξ ὅλης τῆς ψυχῆς ἐπιθυμεῖ, ἀλλ᾽ ἀπὸ τούτων τῶν ἀθλιοτήτων, αἵπερ τὴν ψυχὴν τοῦ δούλου σου, κοινῇ κατάρᾳ τοῦ θνητοῦ, ποινίμως βαρύνουσι καὶ ἐπέχουσιν, ἵνα μὴ εἰς τὴν ἐλευθερίαν τοῦ πνεύματος, ὁσάκις βούλεται, εἰσελθεῖν δυνηθῇ.

γʹ. Ὦ θεέ μου, ἡδύτης ἀπόρρητε, μεταποίει μοι εἰς πικρότητα, πᾶσαν παραμυθίαν σαρκικὴν τὴν ἀπὸ τῆς ἀγάπης τῶν αἰωνίων με ἀφελκύουσαν, καὶ τῷ ἀγαθοῦ τινος τερπνοῦ παρόντος προσχήματι, πρὸς ἑαυτὴν ἐμὲ κακῶς ἐπαγο-

malè allicientem. Non me vincat, Deus meus, non me vincat caro & ſanguis: non me decipiat mundus, & breuis gloria eius: non me ſupplantet diabolus, & aſtutia illius. Da mihi fortitudinem reſiſtendi, patientiam tolerandi, conſtantiam perſeuerandi. Da pro omnibus mundi conſolationibus, ſuauiſſimam ſpiritus tui vnctionem: & pro carnali amore, tui nominis infunde amorem.

4. Ecce cibus, potus, veſtis, ac cætera vtenſilia, ad corporis ſuſtentaculum pertinentia, feruenti ſpiritui ſunt oneroſa. Tribue talibus fomentis temperatè vti, non deſiderio nimio implicari. Abijcere omnia non licet, quia natura ſuſtentanda eſt: requirere autem ſuperflua, & quæ magis delectant, lex ſancta prohibet: nam aliâs, caro aduerſus ſpiritum inſoleſceret. Inter hæc, quæſo, manus tua me regat & doceat, ne quid nimium fiat.

## Cap. XXVII.

### *Quòd priuatus amor, à ſummo bono maximè retardat.*

1. Fili, oportet te dare totum pro toto, & nihil tuiipſius eſſe. Scito, quòd amor tuiipſius, magis nocet tibi, quàm aliqua res mundi. Secundùm amorem & affectum, quem geris, quælibet res plùs vel minùs adhæret. Si fuerit amor tuus purus, ſimplex & bene ordinatus, eris ſine captiuitate rerum. Noli concupiſcere, quod non licet habere. Noli habere, quod te poteſt impedire, & liber-

ἐπαγομένων. μὴ περιγένωνταί μου, ὦ Θεέ μου, μὴ περιγένωνταί μου ἡ σάρξ καὶ τὸ αἷμα· μὴ ἀπατήσῃ με ὁ κόσμος, καὶ ἡ βραχεῖα δόξα αὐτοῦ· μὴ ὑποσκελίσῃ με ὁ διάβολος, καὶ ἡ πανουργία αὐτοῦ. δός μοι τὴν δύναμιν τοῦ ἀντιστατεῖν, τὴν ὑπομονὴν τοῦ πάσχειν· τὴν εὐστάθειαν τοῦ διαμένειν. χάρισαι ἀντὶ πασῶν παρακλήσεων τοῦ κόσμου, τὴν ἡδυτάτην χρίσιν τοῦ πνεύματός σου, καὶ ἀντὶ τῆς ἀγάπης τῆς σαρκικῆς, ἔγχεε τὴν ἀγάπην τοῦ ὀνόματός σου.

δ'. Ἰδοὺ ἡ βρῶσις, ἡ πόσις, τὸ ἀμφίεσμα, καὶ τἄλλα σκευάρια τὰ πρὸς τὴν τοῦ σώματος προφυλακὴν συντείνοντα, τῷ ζέοντι πνεύματι φορτικά ἐστι. παράσχου τούτοις τοῖς ἐφοδίοις μετρίως χρῆσθαι, οὐ τῇ ἄγαν ἐπιθυμίᾳ ἐμπλέκεσθαι. ἀποβάλλειν μὲν ἅπαντα οὐκ ἔξεστιν, ὅτι δεῖ τὴν φύσιν στρέφειν· τὰ δὲ περισσὰ καὶ τὰ μᾶλλον τέρποντα ἐπιζητεῖν, ὁ ἅγιος νόμος κωλύει· ἄλλως γὰρ ἂν ἡ σάρξ πρὸς τὸ πνεῦμα αὐθίστατο. μεταξὺ τούτων, δέομαι, ἡ χείρ σου ποιμενέτω καὶ διδασκέτω με, τοῦ μήτι τὸ ἄγαν γίνεσθαι.

## Κεφ. κζ.

## Ὅτι ἡ φιλαυτία τοῦ μεγίστου ἀγαθοῦ ἡμᾶς μάλιστα ἐμποδίζει.

α'. Τέκνον, δεῖ σε τὸ ὅλον διδόναι ἀντὶ τοῦ ὅλου, καὶ μηδὲν σεαυτοῦ εἶναι. ἴσθι, ὅτι ἡ φιλαυτία, μᾶλλον βλάπτει σε, ἤ τι τοῦ κόσμου. κατὰ τὴν ἀγάπην καὶ πάθος, ᾧ κατέχῃ, πᾶν πρᾶγμα πλέον ἢ ἔλαττον συνάπτει. ἐὰν ἡ ἀγάπη σου καθαρὰ, ἁπλῆ, καὶ εὔτακτος ᾖ, ἄνευ αἰχμαλωσίας τῶν πραγμάτων ἔσῃ. μὴ ἐπιπόθει, ὅπερ ἔχειν οὐκ ἔξεστι. μὴ ἔχε, ὅ, τι σε ἐμποδίζειν

καὶ τῆς

& libertate interiori priuare. Mirum, quòd non ex toto fundo cordis, teipſum mihi committis, cum omnibus quæ deſiderare potes vel habere.

2. Quare vano mærore conſumeris? Cur ſuperfluis curis fatigaris? Sta ad beneplacitum meum, & nullum patieris detrimentum. Si quæris hoc vel illud, & volueris eſſe ibi vel ibi, propter tuum commodum, & proprium beneplacitum magis habendum: nunquam eris in quietudine, nec liber à ſollicitudine, quia in omni re, reperietur aliquis defectus: & in omni loco erit, qui aduerſetur.

3. Iuuat igitur, non quælibet res adepta, vel multiplicata exteriùs: ſed potiùs contempta, & deciſa ex corde radicitùs. Quod non tantùm de cenſu æris & diuitiarum intelligas, ſed de honoris etiam ambitu, ac vanæ laudationis deſiderio, quæ omnia tranſeunt cum mundo. Munit parum locus, ſi deeſt ſpiritus feruoris: nec diu ſtabit pax illa quæſita forinſecus, ſi vacat à vero fundamento ſtatus cordis, hoc eſt, niſi ſteteris in me; permutare te potes, ſed non meliorare. Nam occaſione orta & accepta, inuenies quod fugiſti, & amplius.

*Oratio pro purgatione cordis, & cæleſti ſapientia.*

1. CONfirma me Deus, per gratiam ſancti ſpiritus. Da virtutem corroborari in interiori homine, & cor meum ab omni inutili ſollicitudine, & angore euacuare, nec varijs deſiderijs trahi cuiuſcunque rei vilis aut pretioſæ: ſed omnia inſpicere ſicut tranſeuntia,

& me

καὶ τῆς ἔσω ἐλευθερίας ἀποστερεῖν δύναται. θαυμά ἐστιν, ὅτι ἐξ ὅλης τῆς καρδίας σου σεαυτόν μοι οὐκ ἐπιτρέπεις μετὰ πάντων, ἃ ἐπιποθεῖν, ἢ ἔχειν δύνῃ.

β΄. Διὰ τί ματαίᾳ λύπῃ καταφθείρῃ; διὰ τί ταῖς περιτταῖς φροντίσι καταπονῇ; στέργε τῇ εὐδοκίᾳ μου, καὶ οὐδὲν ζημιωθήσῃ. εἰ τοῦτο ἢ ἐκεῖνο ζητεῖς, καὶ διὰ τὸ τὴν ὠφέλειάν σου, καὶ τὴν ἰδίαν εὐδοκίαν μᾶλλον καρποῦσθαι, θελήσῃς ἐκεῖ ἢ ἐκεῖ εἶναι, μηδέποτε εἰρηνεύσεις, μηδὲ τῆς μερίμνης ἀπαλλαγήσῃ, ὅτι ἐν πᾶσιν ἔλλειψίς τις εὑρεθήσεται, καὶ πανταχοῦ ἐναντιούμενός τις ἔσται.

γ΄. Ὠφελεῖ τοίνυν οὐ πᾶν ποριαθὲν, ἢ ἔξω πολλαπλασιασθὲν, ἀλλὰ μᾶλλον καταφρονηθὲν, καὶ ἐκ τῆς καρδίας ἀποῤῥιζωθέν. ὅπερ μὴ μόνον περὶ τῆς προσόδου, καὶ τῶν χρημάτων, καὶ τοῦ πλούτου δεῖ κατανοεῖν, ἀλλὰ καὶ περὶ τῆς φιλοτιμίας καὶ τοῦ πόθου τῆς κενοδοξίας, ἅπερ πάντα σὺν τῷ κόσμῳ παράγεται. μικρὸν ὁ τόπος ἀσφαλίζει, εἰ τὸ τῆς ζέσεως πνεῦμα ἐλλείπει, καὶ οὐ πολὺν χρόνον ἐκείνη ἡ εἰρήνη ἡ ἔξωθεν ζητηθεῖσα διαμενεῖ, εἰ ἡ τῆς καρδίας κατάστασις τοῦ ἀληθινοῦ θεμελίου ἀπορεῖ, τοῦτ᾽ ἔστιν, εἰ μὴ ἐμμενεῖς μοι· σὲ μὲν ἀλλοιοῦν, ἀλλ᾽ οὐ βελτιοῦν δύνῃ. τοῦ γὰρ καιροῦ ἐπελθόντος ἢ ληφθέντος, εὑρήσῃς ὅ, τι ἔφυγες, καὶ πλέον.

## Εὐχὴ ὑπὲρ τοῦ καθαρισμοῦ τῆς καρδίας, καὶ τῆς οὐρανίου σοφίας.

δ΄. Στήριξόν με ὁ θεὸς, διὰ τῆς τοῦ ἁγίου πνεύματος χάριτος. δὸς τὴν δύναμιν τοῦ κραταιωθῆναι εἰς τὸν ἔσω ἄνθρωπον, καὶ τὴν καρδίαν μου ἀπὸ πάσης ἀνωφελοῦς μερίμνης καὶ ἀδημονίας κενῶσαι, οὐδὲ ταῖς ποικίλαις ἐπιθυμίαις ἑνὸς ἑκάστου πράγματος εὐτελοῦς, ἢ τιμίου ἑλκυσθῆναι· ἀλλὰ πάντα ὡς παρερχόμενα,

κἀμὲ

& me pariter cum illis tranſiturum: quia nihil permanens ſub ſole, vbi omnia vanitas, & afflictio ſpiritus. O quàm ſapiens, qui ita conſiderat.

5. Da mihi Domine cæleſtem ſapientiam, vt diſcam te ſuper omnia quærere & inuenire, ſuper omnia ſapere & diligere: & cætera ſecundùm ordinem ſapientiæ tuæ, prout ſunt, intelligere. Da prudenter declinare blandientem, & patienter ferre aduerſantem: quia hæc magna ſapientia, non moueri omni vento verborum, nec aurem malè blandienti præbere Sireni: Sic enim in cœpta pergitur via ſecurè.

## Cap. XXVIII.

### *Contra linguas obtrectatorum.*

1. Fili, non ægrè feras, ſi quidam de te malè ſenſerint: & dixerint, quòd non libenter audias. Tu deteriora de teipſo ſentire debes, & neminem infirmiorem te credere. Si ambulas ab intrà, non multùm ponderabis volantia verba. Eſt non parua prudentia, ſilere in tempore malo, & introrſus ad me conuerti, nec humano iudicio diſturbari.

2. Non ſit pax tua in ore hominum. Siue enim bene, ſiue malè interpretati fuerint, non es ideo alter homo. Vbi eſt vera pax, & vera gloria? Nonne in me? Et qui non appetit hominibus placere, nec timet diſplicere, multa perfruetur pace. Ex inordinato amore, & vano timore, oritur omnis inquietudo cordis, & diſtractio ſenſuum.

Cap.

κἀμὲ συμπαρελευσόμενον αὐτοῖς ἐπιβλέψαι· ὅτι μηδὲν διαμένει ὑπὸ τὸν ἥλιον, ὅπου πάντα ματαιότης καὶ θλῖψις τοῦ πνεύματος. ὡς σοφός ἐστιν ὁ οὕτω λογιζόμενος;

ε΄. Δός μοι κύριε τὴν ἐπουράνιον σοφίαν, ἵνα μάθω ὑπὲρ πάντα σε ζητῆσαι καὶ εὑρεῖν, ὑπὲρ πάντα γεύσασθαι, καὶ ἀγαπῆσαι· καὶ τὰ λοιπὰ, κατὰ τὴν τάξιν τῆς σοφίας σου, καθὼς ἔχει, νοῆσαι. δὸς φρονίμως ἐκτρέπειν τὸν κολακεύοντα, καὶ καρτερεῖν τὸν ἐναντιούμενον· ὅτι αὕτη μεγίστη σοφία, οὐ σαλεύεσθαι παντὶ τῷ ἀνέμῳ τῶν ῥημάτων, οὐδὲ τῇ κακῶς κολακευούσῃ σειρῆνι τὰς ἀκοὰς διδόναι. οὕτω γὰρ τὴν ὁδὸν, ἧς ἐχόμεθα, ἀσφαλῶς πορευόμεθα.

## Κεφ. κη΄.

### Κατὰ τῶν γλωττῶν τῶν καταλάλων.

α΄. Τέκνον, μὴ δυσχέραινε, εἴ τινες περὶ σοῦ κακῶς γινώσκουσι, καὶ λέγουσιν, ὅπερ οὐχ ἡδέως ἀκούεις. δεῖ σε κακίω περὶ σοῦ γινώσκειν, καὶ οὐδένα σου ἀσθενέστερον εἶναι πιστεύειν. εἰ πορεύῃ ἔσωθεν, οὐ πολὺ σταθμήσῃ τὰ πετόμενα ῥήματα. οὐ μικρὰ φρόνησίς ἐστιν, ἐν τῷ πονηρῷ καιρῷ σιωπᾶν, καὶ ἔσω πρός με ἐπιστρέφεσθαι, οὐδὲ τῷ κρίματι ἀνθρωπείῳ διαταράττεσθαι.

β΄. Μὴ γένοιτο ἡ εἰρήνη σου ἐν τῷ τῶν ἀνθρώπων στόματι. εἴτε γὰρ ἐπὶ τὸ καλὸν, εἴτε ἐπὶ τὸ κακὸν ὑπολήψονται, οὐ διὰ τοῦτο ἕτερος ἄνθρωπος γίνῃ. ποῦ ἐστιν ἡ ἀληθινὴ εἰρήνη καὶ ἀληθινὴ δόξα; οὐχὶ ἐν ἐμοί; καὶ δὴ ὃς οὐκ ἐπιποθεῖ τοῖς ἀνθρώποις ἀρέσκειν, οὐδὲ φοβεῖται δυσαρεστεῖν, πάνυ εἰρηνεύσει. ἐκ τῆς γὰρ ἀτάκτου ἀγάπης, καὶ ματαίου φόβου, πᾶσα ἡ τῆς καρδίας ταραχὴ καὶ διασπασμὸς τῶν αἰσθήσεων γίνεται.



Digitized by Google

## CAP. XXIX.

### *Qualiter inſtante tribulatione Deus inuocandus eſt, & benedicendus.*

1. SIt nomen tuum (Domine) benedictum in ſæcula: qui voluiſti hanc tentationem & tribulationem venire ſuper me. Non poſſum eam effugere, ſed neceſſe habeo ad te confugere: vt me adiuues, & in bonum mihi conuertas. Domine, modò ſum in tribulatione, & non eſt cordi meo bene, ſed multùm vexor à præſenti paſſione. Et nunc, Pater dilecte, quid dicam? Deprehenſus ſum inter anguſtias. Saluifica me ex hora hac. Sed propterea veni in hanc horam, vt tu clarificeris, cùm fuero valdè humiliatus, & per te liberatus. Complaceat tibi Domine, vt eruas me: nam ego pauper, quid agere poſſum, & quò ibo ſine te? Da patientiam Domine, etiam hac vice. Adiuua me Deus meus, & non timebo quantumcumque grauatus fuero.

2. Et nunc inter hæc, quid dicam? Domine, fiat voluntas tua. Ego bene merui tribulari, & grauari. Oportet vtique, vt ſuſtineam: & vtinam patienter, donec tranſeat tempeſtas, & meliùs fiat. Potens eſt autem omnipotens manus tua, etiam hanc tentationem à me auferre, & eius impetum mitigare: ne penitus ſuccumbam, quemadmodum & priùs ſæpiùs egiſti mecum; Deus meus miſericordia mea. Et quantò mihi difficiliùs, tantò tibi facilior eſt hæc mutatio dexteræ excelſi.

CAP.

Digitized by Google

## Κεφ. κθ'.

### Πῶς ἐπικειμένης τῆς θλίψεως δεῖ τὸν θεὸν ἐπικαλεῖν καὶ εὐλογεῖν.

α. Εἴη τὸ ὄνομά σου, κύριε, εὐλογημένον εἰς τοὺς αἰῶνας· ὃς τοῦτον τὸν πειρασμὸν καὶ τὴν θλίψιν ἐμοὶ ἐπελθεῖν ἠθέλησας. οὐχ οἷός τ' εἰμὶ αὐτὴν ἐκφυγεῖν, ἀλλὰ δεῖ ἐμὲ πρός σε καταφυγεῖν, ἵνα μοι βοηθήσῃς, καὶ εἰς ἀγαθόν μοι ἐπιστράφῃς. κύριε, νυνί εἰμι ἐν τῇ θλίψει, καὶ ἡ καρδία μου οὐ καλῶς ἔχει, ἀλλὰ σφόδρα κακοῦμαι ὑπὸ τοῦ παρόντος πάθους. καὶ νῦν, πάτερ ἀγαπητέ, τί λαλήσω; κατελήφθην ἐν τῇ στενοχωρίᾳ. σῶσόν με ἐκ τῆς ὥρας ταύτης. ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην, ἵνα σὺ δοξασθῇς, ἐμοῦ μὲν πολὺ ταπεινωθέντος, ὑπὸ σοῦ δὲ σωθέντος. εὐδόκησον κύριε, τοῦ ῥύσασθαί με· τί γὰρ ἐγὼ πένης ποιεῖν δύναμαι, ἢ ποῖ πορευθήσομαι χωρὶς σοῦ; δὸς τὴν ὑπομονὴν κύριε, ἔτι νῦν. βοήθησόν μοι θεός μου, καὶ οὐ φοβηθήσομαι, ὁπόσον οὖν ἂν βαρυνθῶ.

β. Καὶ νῦν μεταξὺ τούτων τί λέξω; κύριε, γενηθήτω τὸ θέλημά σου. ἐγὼ δὴ ἄξιός εἰμι θλίβεσθαι καὶ βαρύνεσθαι. δεῖ δήπου με πάσχειν, καὶ εἴθε ὑπομονητικῶς, ἕως ἂν παρέλθῃ ὁ χειμὼν, καὶ κρεῖττον ἐμοὶ γένηται. καίτοι ἡ χείρ σου παντοδύναμος οἵα τ' ἐστὶν, καὶ τὸν πειρασμὸν τοῦτον ἀφαιρεῖν μου, καὶ τὴν ἐμβολὴν αὐτοῦ πραΰνειν, ἵνα μὴ παντελῶς ἡττηθῶ, καθὼς καὶ πρότερον πλεονάκις μετ' ἐμοῦ ἐποίησας, ὁ θεός μου, τὸ ἔλεός μου. καὶ ὅσῳ μοι τοῦτο χαλεπώτερόν ἐστι, τοσούτῳ σοὶ αὕτη ἡ ἀλλαγὴ τῆς δεξιᾶς τοῦ ὑψίστου ῥᾴων γίνεται.

## CAP. XXX.

### *De diuino petendo auxilio, & confidentia recuperanda gratiæ.*

1. FIli, ego Dominus, confortans in die tribulationis. Venias ad me, cùm tibi non fuerit bene. Hoc eſt, quòd maximè conſolationem impedit cæleſtem, quia tardiùs te conuertis ad orationem. Nam antequam me intentè roges, multa interim ſolatia quæris, & recreas te in externis. Ideoque fit, vt parum omnia proſint, donec aduertas, quia ego ſum, qui eruo ſperantes in me: nec eſt extra me valens auxilium, neque vtile conſilium, ſed neque durabile remedium. Sed iam reſumpto ſpiritu poſt tempeſtatem, reconualeſce in luce miſerationum mearum: quia propè ſum, (dicit Dominus) vt reſtaurem vniuerſa, non ſolùm integrè, ſed & abundanter ac cumulatè.

2. Nunquid mihi quicquam eſt difficile, aut ero ſimilis dicenti & non facienti? Vbi eſt fides tua? Sta firmiter, & perſeueranter. Eſto longanimis & vir fortis, veniet tibi conſolatio in tempore ſuo. Expecta me, exſpecta: veniam, & curabo te. Tentatio eſt, quæ te vexat, & formido vana, quæ te exterret. Quid importat ſollicitudo de futuris contingentibus, niſi vt triſtitiam ſuper triſtitiam habeas? Sufficit diei malitia ſua. Vanum eſt & inutile de futuris conturbari vel gratulari, quæ fortè nunquam euenient.

3. Sed humanum eſt, huiuſmodi imaginationibus

## Κεφ λ'.

### Περὶ τῆς δεήσεως τοῦ θείου βοηθήματος, καὶ τῆς πεποιθήσεως τοῦ πάλιν τυχεῖν τῆς χάριτος.

α'. Τέκνον, ἐγὼ ὁ κύριος, στηρίζων σε ἐν τῇ ἡμέρᾳ τῆς θλίψεως· δεῦρο πρός με κακῶς ἔχων. τοῦτό ἐστιν, ὃ τὴν οὐράνιον παράκλησιν μάλιστα ἐμποδίζει, ὅτι βραδύτερον ἐπιστρέφεις εἰς τὴν προσευχήν. πρὶν γὰρ ἂν ἐκτενῶς ἀξιώσῃς με, πολλὰς παρακλήσεις ζητεῖς, καὶ ἐν τοῖς ἔξω τέρπῃ. διόπερ πάντα ὀλίγον ὠφελεῖ, ἕως ἂν κατανοήσῃς, ὅτι ἐγώ εἰμι ὁ τοὺς ἐλπίζοντας ἐπ' ἐμοὶ ῥυόμενος, καὶ ὅτι ἔξω μου οὐκ ἔστι βοήθεια ἐνεργὴς, οὐδὲ βουλὴ ὠφέλιμος, οὐδὲ φάρμακον διαρκές. καίτοι νῦν μετὰ τὸν χειμῶνα τὸ πνεῦμα ἀναλαβὼν, ἐν τῷ φωτὶ τῶν οἰκτιρμῶν μου ἀναῤῥώσθητι· ὅτι ἐγγύς ἐγώ εἰμι (λέγει ὁ κύριος) τοῦ ἀνασκευάζειν πάντα, οὐ μόνον τελείως, ἀλλὰ καὶ ἀφθόνως καὶ ἐκπλέως.

β'. Πότερόν μοι χαλεπόν τι ἐστὶν, ἢ ὁμοιωθήσομαι τῷ μὲν λέγοντι, οὐ δὲ ποιοῦντι; ποῦ ἐστιν ἡ πίστις σου; στῆθι βεβαίως καὶ ἐπιμόνως. μακροθύμει καὶ ἀνδρίζου· ἐπελεύσεται ἡ παραμυθία ἐν τῷ καιρῷ αὐτῆς. προσδόκα με, προσδόκα, ἐγὼ ἐλθὼν θεραπεύσω σε. πειρασμός ἐστιν ὁ κακῶν σε, καὶ φόβος μάταιος ὁ καταπλήττων σε. τί συμφέρει ἡ περὶ τῶν μελλόντων συμβήσεσθαι μέριμνα, εἰ μὴ ἵνα συνεχῆ λύπην ἔχῃς; ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς. μάταιον καὶ ἀνωφελές ἐστι διὰ τὰ μέλλοντα διαταράττεσθαι ἢ χαίρειν, ἅτινα ἴσως οὐδέποτε συμβήσεται.

γ'. Ἀνθρώπειον δ' ἐστὶ, τοιαύταις φαντασίαις ἐμπαί-

nibus illudi: & parui adhuc animi ſignum, tam leuiter trahi à ſuggeſtione inimici. Ipſe enim non curat, vtrum veris an falſis illudat & decipiat: vtrum præſentium amore, aut futurorum formidine proſternat. Non ergo turbetur cor tuum, neque formidet. Crede in me, & in miſericordia mea habeto fiduciam. Quando tu putas te elongatum à me, ſæpè ſum propinquior. Quando tu æſtimas penè totum perditum, tunc ſæpè maius merendi inſtat lucrum. Non eſt totum perditum, quando res accidit in contrarium. Non debes iudicare ſecundùm præſens ſentire: nec ſic grauitati alicui, vndecunque venienti, inhærere & accipere, tanquam omnis ſpes ſit ablata emergendi.

4. Noli putare te relictum ex toto, quamuis ad tempus tibi miſerim aliquam tribulationem, vel etiam optatam ſubtraxerim conſolationem: ſic enim tranſitur ad regnum cælorum. Et hoc ſine dubio magis expedit tibi, & cæteris ſeruis meis: vt exercitemini aduerſis, quàm ſi cuncta ad libitum haberetis. Ego noui cogitationes abſconditas: quia multum expedit pro ſalute tua, vt interdum ſine ſapore relinquaris: ne fortè eleueris in bono ſucceſſu, & tibiipſi placere velis in eo, quod non es. Quod dedi, auferre poſſum: & reſtituere, quum mihi placuerit.

5. Quum dedero, meum eſt: quum ſubtraxero, tuum non tuli: quia meum eſt omne datum bonum, & omne donum perfectum. Si tibi miſero grauitatem aut quamlibet contrarietatem, ne indigneris, neque concidat cor tuum: ego citò ſubleuare poſſum, & omne onus in gaudium

ζεσθαι· καὶ τῆς μικροθυμίας τεκμήριον, οὕτω ῥᾳδίως ἑλκύεσθαι ὑπὸ τῆς τοῦ ἐχθροῦ ὑποβολῆς. οὐ γὰρ μέλει αὐτῷ πότερον ἂν ἀληθινοῖς ἢ ψευδέσιν παίζῃ καὶ ἀπατᾷ· πότερον τῇ τῶν παρόντων ἀγάπῃ, ἢ τῷ τῶν μελλόντων φόβῳ καταβάλλῃ. μὴ οὖν ταρασσέσθω ἡ καρδία σου, μηδὲ φοβείσθω. πίστευε εἰς ἐμὲ, καὶ τῷ ἐλέει μου πέποιθε ἡγουμένου σου, ὅτι ἐγὼ μακρύνω, πολλάκις σοι ἐγγίτερός εἰμι. νομίζοντός σου, ὅτι σχεδὸν τὸ ὅλον ἀπόλωλε, τότε συχνῶς μεῖζον κέρδος τοῦ καταξιωθῆναι πάρεστιν. οὐ τὸ ὅλον ἀπόλωλε, τοῦ πράγματος εἰς τοὐναντίον συμβάντος. οὐ δεῖ σε κρίνειν κατὰ τὸ ἐν παρόντι δοκεῖν, οὐδὲ βαρύτητί τινι ὁθενοῦν γινομένῃ προσκεῖσθαι, καὶ αὐτὴν λαμβάνειν, ὡς πάσης ἐλπίδος τοῦ ἐκφεύγειν ἀφερεθείσης.

δ. Μὴ νόμιζε ὅτι παντελῶς κατελείφθης, εἰ καὶ πρὸς χρόνον, θλίψιν τινὰ εἰσέβαλόν σοι, ἢ καὶ τὴν εὐκταίαν παράκλησιν ὑφεῖλον· οὕτω γὰρ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν βαδίζουσι. καὶ τοῦτο ἀναμφισβητήτως σοι καὶ τοῖς ἄλλοις δούλοις μου μᾶλλον συμφέρει, ἵνα τῇ ἀτυχίᾳ ἀσκηθῆτε, ἢ εἰ πάντα κατὰ τὴν γνώμην εἴχετε. ἐγὼ γινώσκω τὰς διανοίας ἀποκεκρυμμένας, ὅτι τὸ καταλειφθῆναι ἄνευ ἡδύσματος, εἰς τὴν σωτηρίαν σου πολύ ποτε ὠφελεῖ, ἵνα μὴ ἐπαρθῇς εὐτυχῶν, καὶ αὐτάρεστος γένῃ ἐν τούτῳ, ὅπερ οὐκ εἶ. ὃ ἔδωκα, ἀφελέσθαι δύναμαι· καὶ ἀποδοῦναι, ὅτε μοι δοκεῖ.

ε. Οταν διδῶ, ἐμόν ἐστιν· ὅταν ἀφέλω, τὸ σὸν οὐκ ἀφεῖλον· ὅτι πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἐμόν ἐστιν. εἰ ἐπαφήσω σοι βαρύτητα, ἢ ὁτιοῦν ἐναντίωμα, μὴ δυσχέραινε, μηδὲ ἡ καρδία σου συμπιπτέτω. ἐγὼ ταχέως ὑπεξαίρειν, καὶ πᾶν βάρος εἰς χαρὰν μετα-

dium tranſmutare. Verumtamen iuſtus ſum, & recommendabilis multùm, quum ſic facio tecum.

6. Si rectè ſapis, & in veritate aſpicis, nunquam debes propter aduerſa tam deiectè contriſtari, ſed magis gaudere, & gratias agere: imò hoc vnicum reputare gaudium, quod affligens te doloribus, non parco tibi. Sicut dilexit me pater, & ego vos diligo, dixi dilectis diſcipulis meis: quos vtique non miſi ad gaudia temporalia, ſed ad magna certamina: non ad honores, ſed deſpectiones: non ad otium, ſed ad labores: non ad requiem, ſed ad afferendum fructum multum in patientia. Horum memento, fili mi, verborum.

## CAP. XXXI.

### *De neglectu omnis creaturæ, vt creator poſsit inueniri.*

1. DOmine, bene indigeo adhuc maiori gratia, ſi debeam illuc peruenire, vbi me nemo poterit, nec vlla creatura impedire. Nam quam diu res aliqua me retinet, non poſſum liberè ad te volare. Cupiebat liberè volare, qui dicebat: Quis dabit mihi pennas ſicut columbæ, & volabo, & requieſcam? Quid ſimplici oculo quietius? Et quid liberius nil deſiderante in terris? Oportet igitur omnem ſupertranſire creaturam, & ſeipſum perfectè deſerere, ac in exceſſu mentis ſtare, & videre te omnium conditorem, cum creaturis nil ſimile habere. Et niſi quis ab omnibus creaturis fuerit expeditus, non poterit liberè

Digitized by Google

βάλλειν δύναμαι. ἀλλὰ μὴν δίκαιος καὶ πολὺ ἐπαινετός εἰμι, οὕτω τὸ ὅλον ποιῶν.

ς΄. Εἰ εὖ φρονεῖς, καὶ ἀληθῶς καθορᾷς, οὐδέποτε δεῖ σε ἐπὶ τῇ ἀτυχίᾳ οὕτως ἀθύμως λυπεῖσθαι, ἀλλὰ μᾶλλον χαίρειν καὶ εὐχαριστεῖν· μενοῦνγε τοῦτο μόνον χαρὰν εἶναι νομίζειν, ὅτι ταῖς ὀδύναις θλίβων σε, σοῦ οὐ φείδομαι. καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ ἀγαπῶ ὑμᾶς, τοῖς ἀγαπητοῖς μαθηταῖς μου ἔλεξα, οὓς δηλονότι οὐκ ἀπέστειλα πρὸς τὰς χαρὰς προσκαίρους, ἀλλὰ πρὸς τοὺς μεγάλους ἀγῶνας· οὐ πρὸς τὰς τιμὰς, ἀλλὰ πρὸς τὰς καταφρονήσεις· οὐ πρὸς τὴν ἀργίαν, ἀλλὰ πρὸς τοὺς πόνους· οὐ πρὸς τὴν ἀνάπαυσιν, ἀλλὰ πρὸς τὴν καρποφορίαν μεγάλην τὴν ἐν ὑπομονῇ. τούτων λόγων, τέκνον μου, μέμνησο.

## Κεφ. λα΄.

### Περὶ τοῦ καταφρονεῖν πάσης τῆς κτίσεως, ἵν' ὁ κτίστης εὑρεθῆναι δυνηθῇ.

α΄. Κύριε, μείζονος δὴ χάριτος ἔτι χρείαν ἔχω, ἐὰν ὀφείλω ἐκεῖσε διήκειν, ὅπου μηδ' ἄνθρωπος, μηδὲ κτίσμα τι ἐμποδίζειν με δυνήσεται. μέχρι γάρ τι κατέχει με, οὐ δύναμαι πρός σε ἐλευθέρως πετᾶσθαι. ἐπεπόθει δὲ ἀνεμποδίστως πετᾶσθαι ὁ λέγων· τίς δώσει μοι πτέρυγας, ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; τί τοῦ ἁπλοῦ ὀφθαλμοῦ ἡσυχαίτερον; καὶ τί ἐλευθερώτερον τοῦ ἐπὶ τῆς γῆς μηδὲν ἐπιποθοῦντος; χρὴ τοίνυν πᾶσαν κτίσιν ὑπερβῆναι, καὶ ἑαυτὸν παντελῶς καταλιπεῖν, καὶ τῆς ψυχῆς ἐκστῆναι, καὶ βλέψαι, ὅτι σὺ κτίστης πάντων τοῖς κτίσμασιν οὐδὲν ὅμοιον ἔχεις. καὶ ἐὰν μή τις πάντων κτισμάτων ἀπαλλαγῇ, τοῖς τοῦ θεοῦ

liberè intendere diuinis. Ideò enim pauci inueniuntur contemplatiui, quia pauci ſciunt ſe à perituris & creaturis, ad plenum ſequeſtrare.

2. Ad hoc magna requiritur gratia, quæ animam leuet, & ſupra ſemetipſam rapiat. Et niſi homo ſit in ſpiritu eleuatus, & ab omnibus creaturis liberatus, ac Deo totus vnitus: quicquid ſcit, quicquid etiam habet, non eſt magni ponderis. Diu paruus erit, & in terra iacebit, qui aliquid magnum æſtimat, niſi ſolùm unum immenſum, æternum bonum. Nam quicquid Deus non eſt, nihil eſt, & pro nihilo computari debet. Eſt magna differentia ſapientia illuminati & deuoti viri, & ſcientia literati atque ſtudioſi clerici. Multò nobilior eſt illa doctrina, quæ de ſurſum ex diuina influentia manat: quàm quæ laborioſè, humano acquiritur ingenio.

3. Plures reperiuntur contemplationem deſiderare, ſed quæ ad eam requiruntur, non ſtudent exercere. Eſt magnum impedimentum, quia in ſignis & ſenſibilibus rebus ſtatur, & parum de perfecta mortificatione habetur. Neſcio quid eſt, & quo ſpiritu ducimur, & quid prætendimus, qui ſpirituales dici videmur: quòd tantum laborem, & ampliorem ſollicitudinem, pro tranſitorijs & vilibus rebus agimus, & de interioribus noſtris vix aut raro, plenè recollectis ſenſibus, cogitamus.

4. Proh dolor, ſtatim poſt modicam recollectionem foras erumpimus: nec opera noſtra, diſtricta examinatione trutinamus. Vbi iacent affectus noſtri, non attendimus: & quàm impura ſint omnia, non deploramus.

τὸν νοῦν ἀκωλύτως προσέχειν οὐ δύναται. διὰ τοῦτο γὰρ ὀλίγοι θεωρητικοὶ εὑρίσκονται, ὅτι ὀλίγοι ἑαυτοὺς τῶν πλωσίμων κτίσεων πάντως χωρίζεσθαι ἐπίστανται.

β'. Τοῦτο μεγάλης χάριτος δεῖται, ἣ τὴν ψυχὴν ἂν ἐπάρῃ, καὶ ὑπὲρ ἑαυτὴν ἁρπάζῃ. καὶ εἰ μὴ ὁ ἄνθρωπος τῷ πνεύματι ἐπήρθη, πάντων τε κτισμάτων ἀπηλλάγη, καὶ τῷ θεῷ ὅλος ἡνώθη· ὅ,τι οὖν γινώσκει, ἀλλὰ δὴ καὶ ὃ ἔχει, οὐ περὶ πολλοῦ ποιητέον. πολὺν χρόνον μικρὸς ἔσται, καὶ ὑποκάτω κείσεται, ὃς περὶ πολλοῦ τι ποιεῖται, πλὴν τοῦ ἑνὸς ἀμετρήτου καὶ αἰωνίου ἀγαθοῦ. ὅ,τι οὖν γὰρ θεὸς οὐκ ἔστι, μηδέν ἐστι, καὶ περὶ οὐδενὸς ποιητέον. πολὺ διαφέρει ἡ σοφία τοῦ φωτισθέντος καὶ εὐλαβοῦς ἀνδρός, καὶ ἡ ἐπιστήμη τοῦ πεπαιδευμένου καὶ φιλολόγου κληρικοῦ. ἡ διδαχὴ ἡ ἄνωθεν ἐκ τῆς θείας εἰσρύσεως γινομένη, πολλῷ τιμιωτέρα ἐστὶ τῆς τῇ ἀνθρωπίνῃ ἀγχινοίᾳ ἐπιπόνως προσπορίζομένης.

γ'. Πλείους μὲν εὑρίσκονται οἱ τῆς θεωρίας ἐπιθυμοῦντες, περὶ δὲ τὸ ἀσκεῖν τὰ αὐτῇ ἀναγκαῖα οὐ σπουδάζοντες. μέγιστον ἐμπόδισμά ἐστι τὸ τοῖς σημείοις καὶ τοῖς αἰσθητικοῖς ἐμμένειν, καὶ μικρὸν τῆς τελείας νεκρώσεως ἔχειν. οὐκ οἶδα τί ἐστι, καὶ τίνι πνεύματι ἀγόμεθα, καὶ τί προφασιζόμεθα, οἱ πνευματικοὶ λέγεσθαι δοκοῦντες, ὅτι τοσοῦτον μὲν πονοῦμεν, καὶ μᾶλλον περὶ τῶν φθαρτῶν καὶ εὐτελέων πραγμάτων φροντίζομεν, περὶ δὲ τῶν ἔσω ἡμῶν μόλις ἢ σπανίως, τὰς αἰσθήσεις πάντως συλλέξαντες λογιζόμεθα.

δ'. Φεῦ, ἀδέως μετ' ὀλίγην συλλογὴν τῆς ψυχῆς ἔξω ἀναρρηγνύμεθα, καὶ τὰ ἔργα ἡμῶν ἀκριβεῖ ἐξετάσει οὐ σταθμώμεθα. ὅπου ἂν αἱ διαθέσεις ἡμῶν κέωνται, οὐ προσέχομεν, οὐδὲ, ὡς πάντα ἀκάθαρτά ἐστιν, ἀποδυ-

mus. Omnis quippe caro corruperat viam ſuam, & ideo ſequebatur diluuium magnum. Cùm ergo interior affectus noſter multùm corruptus ſit, neceſſe eſt, vt actio ſequens, index carentiæ interioris vigoris corrumpatur. Ex puro corde, procedit fructus bonæ vitæ.

5. Quantum quis fecerit quæritur: ſed ex quanta virtute agit, non tam ſtudioſè penſatur. Si fuerit fortis, diues, pulcher, habilis, vel bonus ſcriptor, bonus cantor, bonus laborator, inueſtigatur: quàm pauper ſit ſpiritu, quàm patiens & mitis, quam deuotus & internus, à multis tacetur. Natura exteriora hominis reſpicit, gratia ad interiora ſe conuertit. Illa frequenter fallitur, iſta in Deo ſperat, vt non decipiatur.

## Cap. XXXII.

### *De abnegatione ſui, & abdicatione omnis cupiditatis.*

1. Fili, non potes perfectam poſſidere libertatem, niſi totaliter abneges temetipſum. Compediti ſunt omnes proprietarij, & ſuiipſius amatores, cupidi, curioſi, gyrouagi, quærentes ſemper mollia, non quæ Ieſu Chriſti, ſed hoc ſæpe fingentes & componentes, quòd non ſtabit. Peribit enim totum, quod non eſt ex Deo ortum. Tene breue & conſummatum verbum. Dimitte omnia, & inuenies omnia. Relinque cupidinem, & reperies requiem. Hoc mente pertracta: & quum impleueris, intelliges omnia.

2. Domi-

ρόμεθα. πᾶσα γὰρ σὰρξ διέφθειρε τὴν ὁδὸν αὐτῆς, καὶ διὰ τοῦτο ὁ μέγας κατακλυσμὸς εἵπετο. τῆς οὖν διαθέσεως τῆς ἔσω ἡμῶν πολὺ διεφθαρμένης, ἐπάναγκες, τὴν πρᾶξιν ἑπομένην, τὴν οὖσαν τεκμήριον τῆς ἀπορίας τῆς ἔσω ἀκμῆς, καταφθείρεσθαι. ἐκ τῆς καθαρᾶς καρδίας ὁ τοῦ βίου καλοῦ καρπὸς ἐκπορεύεται.

ε. Ὅσον μέν τις ἐποίησεν, ἐπιζητεῖται, ἐξ ὅσης δ' ἀρετῆς ποιεῖ οὐχ οὕτως ἀκριβῶς ἐξετάζεται. πότερον ἰσχυρὸς, πλούσιος, εὔμορφος, εὐάρμοστος, καλλιγράφος, καλὸς ἀοιδὸς, ἢ καλὸς ἐργάτης ἐστὶν, ἀκριβοῦται· ὡς δὲ πτωχὸς τῷ πνεύματι, ὡς ὑπομονητικὸς καὶ πρᾶος, ὡς εὐλαβὴς καὶ περὶ τὰ ἔσω σπουδάζων, ὑπὸ πολλῶν σιωπᾶται. ἡ φύσις τὰ ἔξω τοῦ ἀνθρώπου σκοπεῖ, ἀλλ' ἡ χάρις εἰς τὰ ἔσω ἀποβλέπει. ἡ μὲν συχνοῖς ἀπατᾶται, ἡ δὲ ἐπὶ τῷ θεῷ ἐλπίζει, τοῦ μὴ ἀπατηθῆναι.

## Κεφ. λβ'.

### Περὶ τῆς ἀπαρνήσεως αὑτοῦ, καὶ τῆς ἀπορρήσεως ἁπάσης ἐπιθυμίας.

α. Τέκνον, οὐ δύνῃ τὴν παντελῆ ἐλευθερίαν κτᾶσθαι, εἰ μὴ ὅλως σεαυτὸν ἀπαρνῇ. ἐπεδήθησαν πάντες οἱ ἰδιοκτήμονες, καὶ φίλαυτοι, πλεονέκται, πολυπράγμονες, πλάνητες, οἱ ἀεὶ μὲν ζητοῦντες τὰ μαλακὰ, οὐ δὲ τὰ Ἰησοῦ Χριστοῦ· καὶ πολλάκις τοῦτο πλάττοντες καὶ συντάττοντες, ὅπερ οὐ διαμενεῖ. ἀπολεῖται γὰρ πᾶν τὸ τοῦ θεοῦ οὐκ ἐκγινόμενον. τήρει τὸν βραχὺν καὶ ἀποτετελεσμένον λόγον· ἄφες πάντα, καὶ εὑρήσεις πάντα. κατάλειπε τὴν ἐπιθυμίαν, καὶ εὑρήσεις τὴν ἡσυχίαν. τοῦτο τῇ γνώμῃ ἐπισκόπει, καὶ πληρώσας, γνώσῃ πάντα.

β'. Κύριε,

2. Domine, hoc non eſt opus vnius diei, nec ludus paruulorum: imò in hoc breui includitur omnis perfectio religioſorum. Fili, non debes auerti, nec ſtatim deijci, audita via perfectorum; ſed magis ad ſublimiora prouocari, & ad minùs ad hæc ex deſiderio ſuſpirare. Vtinam ſic tecum eſſet, & ad hoc perueniſſes, vt tuiipſius amator non eſſes, ſed ad nutum meum purè ſtares, & eius quem tibi præpoſui patris: tunc mihi valde placeres, & tota vita tua in gaudio & pace tranſiret. Adhuc multa habes ad relinquendum: quæ niſi mihi ex integro reſignaueris, non acquires, quod poſtulas. Suadeo tibi emere à me aurum ignitum, vt locuples fias, id eſt, cœleſtem ſapientiam, omnia infima conculcantem. Poſtpone terrenam ſapientiam, omnem humanam & propriam complacentiam.

3. Dixi, viliora tibi emenda pro pretioſis & altis, in rebus humanis. Nam valde vilis & parua, ac penè obliuioni tradita videtur, vera cæleſtis ſapientia: non ſapiens alta de ſe, nec magnificari quærens in terra, quam multi ore tenus prædicant, ſed vita longè diſſentiunt: ipſa tamen eſt pretioſa margarita à multis abſcondita.

## CAP. XXXIII.

### *De inſtabilitate cordis, & de intentione finali ad Deum habenda.*

1. FIli, noli credere affectui tuo: qui nunc eſt, citò mutabitur in aliud. Quamdiu vixeris,

ϛ'. Κύριε, τοῦτο οὐκ ἔργον ἐστὶ μιᾶς ἡμέρας, οὐδὲ παιδιὰ τῶν παίδων· ἀλλὰ δὴ καὶ ταύτῃ τῇ βραχυλογίᾳ συνέχεται πᾶσα τελειότης τῶν ἀσκητῶν. τέκνον, οὐκ ὀφείλεις ἀποτρέπεσθαι, οὐδ' εὐθέως ἀθυμεῖν ἀκούσας τῆς ὁδοῦ τῶν τελείων, ἀλλὰ μᾶλλον ἐπὶ τὰ ὑψηλότερα παροξύνεσθαι, καὶ τοὐλάχιστον ταῦτα ἐπιθυμητικῶς στενάζειν. εἴθε οὕτως εἶχες, καὶ εἰς τοῦτο ἦλθες, ὥστε οὐ φίλαυτος γινόμενος, τῷ νεύματί μου, καὶ τοῦ πατρὸς, ὃν ἐπέστησά σοι, εἰλικρινῶς ἔστεργες· τότε μοι σφόδρα ἤρεσκες, καὶ ὅλον τὸν βίον σου μετὰ χαρᾶς καὶ εἰρήνης διῆγες. ἔτι χρή σε πολλὰ καταλιπεῖν, ἅτινα εἰ μὴ παντελῶς ἐπιτρέψεις μοι, τοῦ αἰτήματός σου οὐκ ἐπιτεύξῃ. συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον, ἵνα πλουτήσῃς, τοῦτ' ἐστι, τὴν σοφίαν οὐράνιον πάντα τὰ κάτω καταπατοῦσαν. [illegible] ἐλάττονος ποίου τὴν σοφίαν γηΐνην, πᾶσαν τὴν ἀνθρωπίνην καὶ ἰδίαν εὐδοκίαν.

γ'. Ἔλεξα, ὅτι ἐν τοῖς ἀνθρωπείοις πράγμασιν ὀφείλεις τὰ εὐτελέστερα ἀντὶ τῶν τιμίων καὶ ὑψηλῶν ἀγοράσαι. πολὺ γὰρ εὐτελὴς καὶ μικρὰ εἶναι, καὶ σχεδὸν τῆς τῶν ἀνθρώπων μνήμης ἐκπεσεῖν δοκεῖ ἡ ἀληθινὴ καὶ οὐράνιος σοφία, οὐ μέγα φρονοῦσα, οὐδ' ἐπὶ τῆς γῆς τὸ τιμᾶσθαι ζητοῦσα, ἣν πολλοὶ μὲν τῷ στόματι ἐγκωμιάζουσι, τῷ δὲ βίῳ πολὺ διαφέρουσιν· ἀλλ' ὅμως αὕτη ἐστὶ πολύτιμος μαργαρίτης ἀπὸ πολλῶν ἀποκεκρυμμένος.

## Κεφ. λγ'.

### Περὶ τῆς ἀσταθείας τῆς καρδίας, καὶ τελευταίας προαιρέσεως τῆς πρὸς τὸν θεόν.

α'. ΤΕκνον, μὴ πίστευε τῷ πάθει σου· ὅ, τι νῦν ἐστιν, εὐθέως εἰς ἄλλο μεταβληθήσεται, ἕως ἂν ζήσῃς, καὶ

ris, mutabilitati ſubiectus es, etiam nolens: vt modò lætus, modò triſtis: modò pacatus, modò turbatus: nunc deuotus, nunc indeuotus: nunc ſtudioſus, nunc acedioſus: nunc gratus, nunc leuis inueniaris. Sed ſtat ſuper hæc mutabilia ſapiens, & bene doctus in ſpiritu, non attendens, quid in ſe ſentiat, vel qua parte flet ventus inſtabilitatis: ſed vt tota intentio mentis eius, ad debitum & optimum proficiat finem. Nam ſic poterit vnus & idem, inconcuſſusque permanere, & ſimplici intentionis oculo, per tot varios euentus, ad me imprætermiſſè directo.

2. Quantò autem purior fuerit intentionis oculus, tantò conſtantius inter diuerſas itur procellas. Sed in multis caligat oculus puræ intentionis: reſpicitur enim citò in aliquod delectabile, quod occurrit. Nam & rarò totus liber quis inuenitur, à næuo propriæ exquiſitionis. Sic Iudæi olim venerant in Bethaniam, ad Martham & Mariam: non propter Ieſum tantùm, ſed & vt Lazarum viderent. Mundandus eſt ergo intentionis oculus, vt ſit ſimplex & rectus, atque vltra omnia varia media ad me dirigendus.

## Cap. XXXIIII.

### *Quòd amanti, ſapit Deus ſuper omnia, & in omnibus.*

στῆς, καὶ ἄκοντι μεταβλητικὸς ἔσῃ, ὅπως νυνὶ μὲν εὔθυμος, νυνὶ δὲ σκυθρωπός· νῦν ἥσυχος, νῦν τεταραγμένος· νῦν εὐλαβὴς, νῦν περὶ τὰ τοῦ θεοῦ ἀηδής· νῦν σπουδαῖος, νῦν ἀκηδής· νῦν σεμνὸς, νῦν κοῦφος γένῃ. ἀλλὰ παρὰ ταῦτα τὰ μεταβλητικὰ ὁ σοφὸς καὶ τῷ πνεύματι εὖ πεπαιδευμένος ὑφίσταται, οὐ προσέχων, τί ἂν ἐν αὐτῷ αἴσθῃ, ἢ πόθεν ὁ τῆς ἀσταθείας ἄνεμος πνεύσῃ, ἀλλ' ἵνα πᾶσα προαίρεσις τῆς ψυχῆς αὐτοῦ εἰς δέον καὶ βέλτιστον τέλος προκόψῃ. οὕτω γὰρ ὁ εἷς καὶ ὁ αὐτὸς καὶ ἀσάλευτος διαμένειν ἰσχύσει, τοῦ ἁπλοῦ ὀφθαλμοῦ τῆς προαιρέσεως, ἐν ταῖς διαφερούσαις συμπλώσεσι τῶν πραγμάτων, πρὸς ἐμὲ ἀδιαλείπτως ἐπιστραφέντος.

β'. Οσῳ γὰρ ἂν ἁπλούστερος ὁ ὀφθαλμὸς τῆς προαιρέσεως γένηται, τοσούτῳ εὐσταθεστέρα ἡ ὁδοιπορία ἡ μεταξὺ διαφόρων θυελλῶν ἔσται. ἀλλὰ μὴν ἐν πολλοῖς ὁ ὀφθαλμὸς τῆς καθαρᾶς προαιρέσεως ἀμβλυώττει· ταχέως γὰρ εἰς τερπνόν τι συντυχὸν ἀποβλέπει, ἐπεὶ σπανίως ἐστὶν εὑρεῖν τινα ἄσπιλον ὄντα τῆς ἰδίας ὠφελείας. τοῦτον τρόπον πάλαι οἱ Ιουδαῖοι εἰς τὴν Βηθανίαν πρὸς τὴν Μάρθαν καὶ τὴν Μαρίαν ἦλθον, οὐ διὰ τὸν Ιησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν. δεῖ τοίνυν τὸν ὀφθαλμὸν τῆς προαιρέσεως καθαρίζειν, ὅπως ἁπλοῦς καὶ εὐθὺς ᾖ, καὶ αὐτὸν ὑπὲρ πάντα ἐφόδια διαφέροντα πρὸς ἐμὲ κατευθύνειν.

## Κεφ. λδ'.

### Ὅτι τῷ ἀγαπῶντι ὁ θεὸς ὑπὲρ πάντα καὶ ἐν πᾶσιν ἡδύνεται.

α'. Ιδού,

α'. Ἰδοὺ, ὁ Θεός μου, καὶ ἅπαντα· τί ἔτι θέλω, καὶ τί εὐδαιμονέστερον ἐπιποθεῖν δύναμαι; ὦ γλυκὺς καὶ ἡδὺς λόγος, ἀλλὰ τῷ τὸν λόγον, οὐ τὸν κόσμον, οὐδὲ τὰ ἐν κόσμῳ ἀγαπῶντι. ὁ Θεός μου καὶ ἅπαντα. τῷ συνετῷ ἱκανῶς εἴρηται, καὶ πολλάκις ἀναλαβεῖν, τῷ ἀγαπῶντι ἡδύ ἐστι. σοῦ μὲν γὰρ παρόντος, πάντα ἡδέα τυγχάνει· σοῦ δ' ἀπόντος, ἅπαντα δύσκολά ἐστι. σὺ τὴν καρδίαν γαληνοῖς, εἰρήνην μεγάλην, καὶ ἑορτάσιμον εὐφροσύνην παρέχων. σὺ ποιεῖς καλῶς γινώσκειν περὶ πάντων, καὶ ἐν πᾶσί σε ἐπαινεῖν, καὶ ἄνευ σοῦ διὰ πολλοῦ ἀρέσκειν τι οὐ δύναται· ἀλλ' εἰ εὐπρόσδεκτον καὶ ἡδὺ εἶναι ὀφείλει, ἐπάναγκες τὴν χάριν σου παρεῖναι, καὶ τῷ τῆς σοφίας σου ἀρτύματι ἀρτύεσθαι.

β'. Ὧπερ σὺ γλυκαίνῃ, τί αὐτῷ οὐκ εὖ γλυκανθήσεται; καὶ ᾧ σὺ οὐ γλυκαίνῃ, τί αὐτὸν ἡδυνεῖ; ἀλλ' ἐλλείπουσιν ἐν τῇ σοφίᾳ σου, οἱ σοφοὶ τοῦ κόσμου καὶ τὰ τῆς σαρκὸς φρονοῦντες, ὅτι ἐκεῖ πλείστη ματαιότης, καὶ ᾧ δὴ ὁ θάνατος εὑρίσκεται. οἱ δὲ διὰ τῆς καταφρονήσεως τῶν κοσμικῶν, καὶ τῆς νεκρώσεως τῆς σαρκὸς ἀκολουθοῦντές σοι, ὄντως σοφοὶ γινώσκονται, ὅτι ἀπὸ τῆς ματαιότητος εἰς τὴν ἀλήθειαν, ἀπὸ τῆς σαρκὸς εἰς τὸ πνεῦμα μεταβαίνουσι. τούτοις ὁ Θεὸς γλυκαίνεται, καὶ ὁτιοῦν καλὸν ἐν ταῖς κτίσεσιν εὑρίσκεται, ὅλον εἰς τὴν δόξαν τοῦ κτίστου αὐτῶν ἀναφέρουσιν. οὐ μὴν ἀλλὰ ἀνόμοιος καὶ πολὺ ἀνόμοιός ἐστιν, ὁ γλυκασμὸς τοῦ κτιστοῦ καὶ τῶν κτισμάτων, τῆς τε αἰδιότητος καὶ τοῦ χρόνου, τοῦ κτισθέντος φωτὸς, καὶ τοῦ ἀκτίστου φωτός.

γ'. Ὦ φῶς αἰώνιον, πάντα κτισθέντα φῶτα ὑπερβαῖνον· ἄστραψον ἀστραπὴν ὑψόθεν, τὴν τὰ τῆς καρδίας μου ἐνδότατα διερχομένην. καθάρισον, εὔφρανον,

λάμπρυ-

κάμπτρωιον, καὶ ζωοποίησον τὸ πνεῦμά μου μετὰ τῶν δυνάμεων αὐτοῦ, εἰς τὸ συνάψαι σοι, τοῖς ἀλαλαγμοῖς ἐκστατικοῖς ὦ πότε ἡ μακαρία καὶ ἐπιπόθητος ὥρα ἐλεύσεται, ἵνα σὺ κορέσῃς με τῆς παρουσίας σου, καὶ γένῃ μοι τὰ πάντα ἐν πᾶσιν. ἕως οὗ τοῦτο οὐ δοθήσεται, ἡ χαρὰ πλήρης οὐκ ἔσται. ἔτι, οἴμοι, ἐν ἐμοὶ ὁ πάλαι ἄνθρωπος ζῇ, καὶ οὐχ ὅλος ἐσταυρώθη, οὐδὲ πάντως ἀπέθανεν. ἔτι ἡ σάρξ ἰσχυρῶς ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, ἔσω πολεμοποιεῖ, καὶ τὴν τῆς ψυχῆς βασιλείαν εἰρηνεύειν οὐκ ἐᾷ.

δ. Ἀλλὰ σὺ ὁ δεσπόζων τοῦ κράτους τῆς θαλάσσης, καὶ καταπραΰνων τὰ κύματα αὐτῆς, ἀνάστηθι, καὶ βοήθησόν μοι. διασκόρπισον ἔθνη, τὰ τοὺς πολέμους θέλοντα· σύντριβε αὐτὰ ἐν τῇ δυνάμει σου· ἐπίδειξον, δέομαι, τὰ μεγαλεῖά σου, καὶ δοξασθήτω ἡ δεξιά σου· ὅτι μοι οὐκ ἔστιν ἄλλη ἐλπίς, οὐδὲ καταφυγή, εἰ μὴ ἐν σοι, κύριε ὁ Θεός μου.

## Κεφ. λέ.

### Ὅτι οὐκ ἔστι ἀσφάλεια ἀπὸ τοῦ πειρασμοῦ ἐν τούτῳ τῷ βίῳ.

α. ΤΈκνον, οὐδέποτε ἀσφαλῶς ἔχεις ἐν τούτῳ τῷ βίῳ, ἀλλὰ μέχρις οὗ ζήσῃς, τῶν ὅπλων πνευματικῶν χρήζεις. μεταξὺ τῶν ἐχθρῶν διάγεις, καὶ ἐκ τῆς δεξιᾶς καὶ ἀριστερᾶς πολεμῇ. διόπερ, ἐὰν μὴ τῇ τῆς ὑπομονῆς ἀσπίδι πανταχόθεν χρήσῃ, οὐ πολὺν χρόνον ἄτρωτος διατελέσῃς. ἔτι δὲ ἐὰν μὴ τὴν καρδίαν σου βεβαίως ἐν ἐμοὶ τιθῇς, σὺν εἰλικρινεῖ θελήματι τοῦ διά με πάντα πάσχειν, οὐ τοῦτον τὸν καύσωνα ὑπομένειν, οὐδὲ τοῦ τῶν μακαρίων ἄθλου ἐπιτυχεῖν δυνήσῃ. χρὴ οὖν σε ἀνδρείως πάντα

διελθεῖν,

pertranſire, & potenti manu vti aduerſus obiecta. Nam vincenti datur manna, & torpenti relinquitur multa miſeria.

2. Si quæris in hac vita requiem, quomodo tunc peruenies ad æternam requiem? Non ponas te ad multam requiem, ſed ad magnam patientiam. Quære veram pacem, non in terris, ſed in cælis: non in hominibus nec in cæteris creaturis, ſed in Deo ſolo. Pro amore Dei, debes omnia libenter ſubire, labores ſcilicet & dolores, tentationes, vexationes, anxietates, neceſſitates, infirmitates, iniurias, oblocutiones, reprehenſiones, humiliationes, confuſiones, correctiones & deſpectiones. Hæc iuuant ad virtutem: hæc probant Chriſti tyronem: hæc fabricant cæleſtem coronam. Ego reddam mercedem æternam pro breui labore, & infinitam gloriam, pro tranſitoria confuſione.

3. Putas tu, quòd ſemper habebis pro tua voluntate conſolationes ſpirituales? ſancti mei non habuerunt tales, ſed multas grauitates, & tentationes varias, magnaſque deſolationes. Sed patienter ſuſtinuerunt in omnibus, & magis confiſi ſunt Deo, quàm ſibi: ſcientes, quia non ſunt condignæ paſſiones huius temporis, ad futuram gloriam promerendam. Vis tu ſtatim habere, quod multi poſt lachrymas & magnos labores vix obtinuerunt? Expecta Dominum, viriliter age & confortare: noli diffidere, noli diſcedere, ſed corpus & animam expone conſtanter pro gloria Dei. Ego reddam pleniſſimè: ego tecum ero in omni tribulatione.

Cap.

διελθεῖν, καὶ ἰσχυρᾷ χειρὶ χρήσασθαι κατὰ τῶν ἀντικειμένων. τῷ μὲν γὰρ νικῶντι τὸ μάννα δίδοται, τῷ δὲ ῥαθυμοῦντι, πολλὴ ταλαιπωρία καταλείπεται.

ϛ'. Εἰ ἐν ταύτῃ τῇ ζωῇ τὴν ἀνάπαυσιν ζητεῖς, πῶς τότε τῆς ἀναπαύσεως τῆς αἰωνίου ἐπιτεύξῃ; μὴ ἑτοίμασόν σε πρὸς πολλὴν εἰρήνην, ἀλλὰ πρὸς μεγάλην ὑπομονήν. ζήτει τὴν ἀληθινὴν εἰρήνην, οὐκ ἐπὶ τῆς γῆς, ἀλλ' ἐν τοῖς οὐρανοῖς· οὐκ ἐν τοῖς ἀνθρώποις, οὐδὲ ἐν τοῖς ἄλλοις κτίσμασιν, ἀλλ' ἐν τῷ θεῷ μόνῳ. τῆς θεοφιλίας ἕνεκα ὀφείλεις ἀσμένως πάντα καρτερεῖν, πόνους δήπου καὶ ὀδύνας, πειρασμούς, κακώσεις, ἀδημονίας, ἀνάγκας, ἀσθενείας, ὕβρεις, καταλαλιάς, ἐπιτιμήσεις, ταπεινώσεις, αἰσχύνας, παιδεύσεις καὶ καταφρονήσεις. ταῦτα εἰς τὰς ἀρετὰς ὠφελεῖ· ταῦτα τὸν νέον στρατιώτην τοῦ Χριστοῦ δοκιμάζει· ταῦτα τὸν ἐπουράνιον στέφανον κατεργάζεται. ἐγὼ τὸν αἰώνιον μισθὸν ἀντὶ τοῦ βραχέος πόνου, καὶ τὴν ἄπειρον δόξαν ἀντὶ τῆς προσκαίρου αἰσχύνης ἀποδώσω.

γ'. Σὺ δοκεῖς, ὅτι ἀεί, κατὰ τὴν γνώμην, τὰς παρακλήσεις πνευματικὰς ἕξεις; οἱ ἅγιοί μου οὐκ εἶχον τοιαύτας, μᾶλλον δὲ πολλὰς βαρύτητας, καὶ διαφόρους πειρασμούς, καὶ μεγάλας ἐρημώσεις. ἀλλ' ἐκαρτέρησαν ἅπαντα, μᾶλλον τῷ θεῷ, ἢ αὐτοῖς πεποιθότες, καὶ εἰδότες, ὅτι οὐκ ἄξιά ἐστι τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν μισθοφορεῖν. βούλει σὺ παραυτίκα ἔχειν, ὅ,τι πολλοὶ μετὰ δάκρυα καὶ μεγάλους πόνους μόλις ἔλαβον; ὑπόμεινον τὸν κύριον καὶ ἀνδρίζου, καὶ κραταιώθητι· μὴ ἀπίστει, μὴ ὕπαγε, ἀλλὰ τὸ σῶμα καὶ τὴν ψυχὴν εὐσταθῶς ὑπὲρ τῆς τοῦ θεοῦ δόξης παράδος. ἐγὼ πλειότατόν σοι ἀποδώσω· ἐγὼ μετά σου ἐν πάσῃ θλίψει ἔσομαι.

## CAP. XXXVI.

### *Contra vana hominum iudicia.*

1. FIlli, iacta cor tuum firmiter in Domino, & humanum ne metuas iudicium, vbi te conſcientia pium reddit & inſontem. Bonum eſt & beatum taliter pati, nec hoc erit graue humili cordi, & Deo magis, quàm ſibiipſi confidenti. Multi multa loquuntur, & ideo parua fides eſt adhibenda. Sed & omnibus ſatis eſſe, non eſt poſſibile. Et ſi Paulus omnibus ſtuduit in Domino placere, & omnibus omnia factus eſt: tamen etiam pro minimo duxit, quòd ab humano die iudicatus fuerit.

2. Egit ſatis pro aliorum ædificatione & ſalute, quantum in ſe erat & poterat: ſed ne ab alijs aliquando iudicaretur, vel non deſpiceretur, cohibere non potuit. Ideo totum Deo commiſit qui totum nouerat: & patientia ac humilitate, contra ora loquentium iniqua, aut etiam vana ac mendoſa cogitantium, atque pro libitu ſuo quæque jactantium ſe defendit. Reſpondit tamen interdum, ne infirmis, ex ſua taciturnitate generaretur ſcandalum.

3. Quis tu, vt timeas à mortali homine? Hodie eſt, & cras non comparet. Deum time, & hominum terrores non expaueſces. Quid poteſt aliquis in te verbis, aut iniurijs? Sibi potiùs nocet, quàm tibi: nec

## Κεφ. λϛ'.

### Κατὰ τῶν ματαίων κρίσεων τῶν ἀνθρώπων.

α'. Τέκνον, τὴν καρδίαν σου ἐν τῷ κυρίῳ βεβαίως πῆξατι, καὶ τὴν ἀνθρωπίνην κρίσιν μὴ φοβοῦ, τῆς συνειδήσεώς σε εὐσεβῆ καὶ ἄκακον ὄντα ἀποδεικνυούσης· καλὸν καὶ μακάριόν ἐστιν οὕτω πάσχειν, καὶ τοῦτο τῷ ταπεινῷ τῇ καρδίᾳ, καὶ ἐπὶ τῷ θεῷ μᾶλλον, ἢ ἐφ' αὐτῷ πεποιθότι, οὐ χαλεπὸν ἔσται. πολλοὶ πολλὰ λαλοῦσι, καὶ διὰ τοῦτο χρὴ αὐτοῖς ὀλίγον πιστεύειν. καίτοι καὶ πᾶσιν ἀρέσκειν οὐ δυνατόν ἐστιν. εἰ καὶ ὁ Παῦλος πᾶσιν ἐν τῷ κυρίῳ ἀρέσκειν ἐσπούδασε, καὶ πᾶσι τὰ πάντα γέγονεν, αὐτῷ μέν τοι καὶ εἰς ἐλάχιστον ἦν, ἵν' ὑπ' ἀνθρωπίνης ἡμέρας ἀνακριθῇ.

β'. Ἐξαρκούντως ἐπόνησεν ὑπὲρ τῆς τῶν ἄλλων οἰκοδομῆς καὶ σωτηρίας, ὅσον ἐπ' αὐτῷ καὶ δυνατὸν ἦν· τὸ δὲ κριθῆναί ποτε αὐτὸν ὑπ' ἄλλων, ἢ οὐ καταφρονηθῆναι, κωλύειν οὐκ ἠδυνήθη. διόπερ πᾶν τῷ θεῷ τῷ πᾶν εἰδότι ἐπέτρεψε, καὶ τῇ ὑπομονῇ καὶ τῇ ταπεινότητι, πρὸς τὰ στόματα τῶν ἄδικα λαλούντων, ἢ τὰ μάταια καὶ ψευδῆ ἐννοούντων, καὶ καθὼς αὐτοῖς φίλον ἐστὶν, ὁπουοῦν ἐξαγορευόντων, ὑπὲρ αὐτοῦ ἠπολογήσατο. ἀλλ' ὅμως ποτὲ ἀπεκρίθη, τοῦ μὴ τοῖς ἀσθενέσι, διὰ τῆς αὐτοῦ σιωπῆς σκάνδαλον ἐμποιηθῆναι.

γ'. Τίς εἶ σὺ, ἵνα φοβηθῇς ἀπὸ θνητοῦ ἀνθρώπου; σήμερόν ἐστι, καὶ αὔριον οὐ φαίνεται. τὸν θεὸν φοβοῦ, καὶ τῷ τῶν ἀνθρώπων δείματι οὐκ ἐκπληχθήσῃ. τί ἄν τις τοῖς ῥήμασιν, ἢ ταῖς ὕβρεσι κακῶς σε ποιήσει; μᾶλλον ἑαυτὸν, ἢ σε βλάπτει·

καὶ τὸ

nec poterit iudicium Dei effugere, quicunque eſt ille. Tu habe Deum præ oculis, & noli contendere verbis queruloſis. Quòd ſi ad præſens tu videris ſuccumbere, & confuſionem pati, quam non meruiſti: ne indigneris ex hoc, neque per impatientiam minuas coronam tuam: ſed ad me potiùs reſpice in cælum, qui potens ſum eripere, ab omni confuſione & iniuria, & vnicuique reddere ſecundùm opera ſua.

## Cap. XXXVII.

### *De pura & integra reſignatione ſui, ad obtinendam cordis libertatem.*

1. Fili, relinque te, & inuenies me. Sta ſine electione & omni proprietate, & lucraberis ſemper. Nam & adijcietur tibi amplior gratia, ſtatim vt te reſignaueris, nec reſumpſeris. Domine, quotiens me reſignabo, & in quibus me relinquam? Semper, & omni hora: ſicut in paruo, ſic & in magno. Nihil excipio, ſed in omnibus te nudatum inueniri volo. Alioquin, quomodo poteris eſſe meus, & ego tuus, niſi fueris ab omni propria voluntate intùs & foris ſpoliatus? Quantò celeriùs hoc agis, tantò meliùs habebis: & quantò pleniùs & ſynceriùs, tantò mihi plùs placebis, & amplius lucraberis.

2. Quidam ſe reſignant, ſed cum aliqua exceptione: non enim plenè Deo confidunt, ideò ſibi prouidere ſatagunt. Quidam etiam primò totum offerunt, ſed poſtea tentatione pulſati, ad propria redeunt, ideò minimè in virtute proficiunt. Hi ad veram puri cordis

ϗ τὸ κρίμα τοῦ θεοῦ ἐκφυγεῖν οὐ δυνήσεται, ὅστις ἂν ᾖ. σὺ τὸν θεὸν πρὸ ὀφθαλμῶν ἔχε, ϗ τοῖς λόγοις περιμεμφέσι μὴ ἔριζε. εἰ δὲ εἰς τὸ παρὸν ἡττᾶσθαι ϗ ἀδίκως καταισχύνεσθαι δοκεῖς, μὴ τούτῳ δυσχέραινε, μηδὲ δι' ἀτλησίας τὸν στέφανόν σου μείου· ἀλλὰ μᾶλλον ἀνάβλεπε εἰς τὸν οὐρανὸν πρὸς ἐμὲ τὸν δυνάμενον πάσης αἰσχύνης ϗ ὕβρεως ἀπαλλάττειν, ϗ ἑκάστῳ ἀποδιδόναι κατὰ τὰ ἔργα αὐτοῦ.

## Κεφ. λζ.

### Περὶ τῆς καθαρᾶς ϗ τελείας ἐπιτροπῆς αὐτοῦ πρὸς τὸ τυχεῖν τῆς ἐλευθερίας τῆς καρδίας.

α. Τέκνον, ἄφες σε, ϗ εὑρήσεις με· ἀπαλλάγηθι τῆς διακρίσεως, ϗ πάσης ἰδιότητος, ϗ ἀεὶ κερδήσεις. ϗ γὰρ ϗ μείζων χάρις προστεθήσεταί σοι, ἅμα ἂν σὲ ἐπιτρέψῃς, ϗ οὐκ ἀναλήψῃ. κύριε, ποσάκις ἐπιτρέψω με, ϗ ἐν τίσι καταλείψω με; πάντοτε ϗ πάσῃ τῇ ὥρᾳ, ὡς ἐν μικρῷ, οὕτως ἐν μεγάλῳ· μηδὲν ἐξαιρῶ, ἀλλ' ἐν πᾶσι γυμνωθέντα σε εὑρίσκεσθαι ἐθέλω. εἰ δὲ μή, πῶς δυνήσῃ εἶναι ἐμός, κἀγὼ σός, ἐὰν μὴ ἀπὸ πάσης ἰδίας βουλήσεως, ἔσω ϗ ἔξω, ἀποστερηθῇς; ὅσῳ τάχιον τοῦτο ποιεῖς, τοσούτῳ βέλτιον ἕξεις· ϗ ὅσῳ πλέον ϗ εἰλικρινέστερον, τοσούτῳ μᾶλλον ἀρέσεις μοι, ϗ μεῖζον κερδήσεις.

β. Οἱ μὲν ἑαυτοὺς ἐπιτρέπουσιν, ἀλλὰ σύν τινι ἐξαιρέσει· οὐ γὰρ πάντως τῷ θεῷ πεποίθασι, διὸ ἑαυτῶν προνοεῖν σπουδάζουσιν. οἱ δὲ ϗ πρῶτον τὸ ὅλον προσφέρουσιν, ἀλλὰ τῷ πειρασμῷ βληθέντες, εἰς τὰ ἴδια ἀναστρέφουσι, διόπερ τῇ ἀρετῇ ἥκιστα προκόπτουσιν. οὗτοι τῆς ἀληθινῆς

cordis libertatem, & iucundæ familiaritatis meæ gratiam non pertingent: niſi integra reſignatione, & quotidiana ſui immolatione priùs facta: ſine qua non ſtat, nec ſtabit vnio fruitiua.

3. Dixi tibi ſæpiſſimè, & nunc iterum dico. Relinque te, reſigna te, & frueris magna interna pace. Da totum pro toto: nihil exquire, nil repete: ſta purè & inhæſitanter in me, & habebis me. Eris liber in corde, & tenebræ non conculcabunt te. Ad hoc conare, hoc ora, hoc deſidera: vt ab omni proprietate poſſis exſpoliari, & nudum Ieſum ſequi: tibi mori, & mihi æternaliter viuere. Tunc deficient omnes vanæ phantaſiæ, conturbationes iniquæ, & curæ ſuperfluæ. Tunc etiam recedet immoderatus timor, & inordinatus amor morietur.

## Cap. XXXVIII.

### *De bono regimine in externis, & recurſu ad Deum in periculis.*

1. Fili, ad iſtud diligenter tendere debes, vt in omni loco & actione, ſeu occupatione externa, ſis interius liber, & tuiipſius potens, & ſint omnia ſub te, & tu non ſub eis: vt ſis Dominus actionum tuarum & rector, non ſeruus nec emptitius: ſed magis exemptus verusque Hebræus, in ſortem ac libertatem tranſiens filiorum Dei: qui ſtant ſuper præſentia, & ſpeculantur æterna: qui tranſitoria ſiniſtro intuentur oculo, & dextro cæleſtia: quos temporalia non trahunt ad inhærendum, ſed trahunt ipſi magis

ἐλευθερίας τῆς καρδίας, καὶ τῆς χάριτος τῆς ἡδείας οἰκειότητός μου οὐκ ἐφίξονται, ἐὰν μὴ πρότερον παντελῶς ἑαυτοὺς ἐπιτρέψωσι, καὶ καθ' ἑκάστην θύωσιν, ἄνευ οὗ ἡ ἀπολαυστικὴ ἕνωσις οὐχ ὑφίσταται, οὐδὲ ὑποστήσεται.

γ'. Ελεξά σοι πλειστάκις, καὶ νῦν αὖθις λέγω. ἄφες σε, ἐπίτρεψόν σε, καὶ μεγάλης εἰρήνης τῆς ἔσω ἀπολαύσεις. δὸς τὸ ὅλον ἀντὶ τοῦ ὅλου· μηδὲν ἐπιζήτησον· μηδὲν ἀνάλαβε· ἔμμεινόν μοι καθαρῶς καὶ ἀναμφισβητήτως, καὶ ἕξεις με. ἔσῃ ἐλεύθερος τῇ καρδίᾳ, καὶ τὸ σκότος οὐ καταπατήσει σε. περὶ τούτου σπούδασον, τοῦτο ἀξίωσον, τοῦτο ἐπιθύμησον, ἵν' οἷός τ' ᾖς πάσης ἰδιότητος ἀποστερηθῆναι, καὶ γυμνὸς τῷ γυμνῷ Ιησοῦ ἀκολουθῆσαι· σοὶ ἀποθανεῖν, κἀμοὶ ἀϊδίως ζῆσαι. τότε πᾶσαι μάταιαι φαντασίαι, αἱ ἄδικοι συνταράξεις, καὶ περισσαὶ φροντίδες ἐκλείψουσι. τότε ὁ ἄμετρος φόβος ἀπελεύσεται, καὶ ἡ ἄτακτος ἀγάπη ἀποθανεῖται.

## Κεφ. λη'.

### Περὶ τῆς καλῆς οἰκονομίας τῆς ἐν τοῖς ἔξω, καὶ τῆς καταφυγῆς πρὸς τὸν θεὸν ἐν τοῖς κινδύνοις.

α'. ΤΕκνον, τοῦτο δεῖ σε στοχάζεσθαι, ἵν' ἐν παντὶ τόπῳ καὶ πράξει, ἢ ἀσχολίᾳ τῇ ἔξω, ἔσω ἐλεύθερος ᾖς, καὶ σεαυτοῦ κρατήσῃς, καὶ πάντα ὑπό σοι γένηται, καὶ σὺ οὐχ ὑπ' αὐτοῖς· ὅπως τῶν πράξεών σου κύριος καὶ εὐθύντης ὑπάρξῃς, οὐ δοῦλος, οὐδ' ἀργυρώνητος, ἀλλὰ μᾶλλον ἐξαίρετος καὶ ἀληθινὸς ἑβραῖος, εἰς τὸν κλῆρον καὶ τὴν ἐλευθερίαν τῶν τοῦ θεοῦ υἱῶν μεταβαίνων· οἵτινες ὑπὲρ τῶν παρόντων ἱστάμενοι τὰ αἰώνια θεωροῦσι· καὶ τὰ μὲν πρόσκαιρα τῷ ἀριστερῷ, τὰ δ' οὐράνια τῷ δεξιῷ ὀφθαλμῷ προσβλέπουσιν· οὓς τὰ βιωτικὰ εἰς τὸ συνάπτειν οὐχ ἑλκύει, ἀλλ' αὐτοὶ ἐκεῖνα

magis ea ad bene ſeruiendum: prout ordinata ſunt à Deo, & inſtituta à ſummo opifice: qui nil inordinatum in ſua reliquit creatura.

2. Si etiam in omni euentu ſtas, non in apparentia externa, nec oculo carnali luſtras viſa vel audita: ſed mox in qualibet cauſa intras cum Moyſe in tabernaculum, ad conſulendum Dominum: audies nonnunquam diuinum reſponſum, & redibis inſtructus de multis præſentibus & futuris. Semper enim Moyſes, recurſum habuit ad tabernaculum, pro dubijs & quæſtionibus ſoluendis: fugitque ad orationis adiutorium, pro periculis & improbitatibus hominum ſubleuandis. Sic & tu confugere debes, in cordis tui ſecretarium, diuinum intentiùs implorando ſuffragium. Propterea namque Ioſue & filij Iſraël, à Gabaonitis leguntur decepti: quia os Domini prius non interrogauerunt, ſed nimiùm creduli dulcibus ſermonibus, falſa pietate deluſi ſunt.

## Cap. XXXIX.

### *Quod homo non ſit importunus in negotijs.*

1. Fili, committe mihi ſemper cauſam tuam, ego bene diſponam in tempore ſuo. Expecta ordinationem meam, & ſenties inde profectum. Domine, ſatis libenter tibi omnes res committo, quia parum poteſt cogitatio mea proficere. Vtinam non multùm adhærerem futuris euentibus, ſed ad beneplacitum tuum incunctanter me offerrem.

2. Fili, ſæpè homo rem aliquam vehementer agitat,

εἰς τὸ καλῶς δουλεύειν ἐπάγουσι, καθὼς ὑπὸ τοῦ ὑψίστου κτιστοῦ ἐτάχθη καὶ κατεστάθη, ὃς μηδὲν ἄτακτον ἐν τῷ κτίσματι αὐτοῦ κατέλιπε.

β'. Πρὸς τούτοις, ἐὰν ἐν παντὶ συμβαίνοντι οὐκ ἀγαπήσῃς τῷ φαίνεσθαι τῷ ἔξω, οὐδὲ τὰ ἑωραμένα ἢ ἠκουσμένα τῷ ὀφθαλμῷ σαρκικῷ ἐπιβλέψῃς· ἀλλ' ἐν ἑκάστῳ πράγματι παραχρῆμα σὺν Μουσῇ εἰς τὴν σκηνὴν εἰσέλθῃς, τοῦ πυθέσθαι παρὰ κυρίου· χρηματισθήσῃ ποτὲ ὑπὸ τοῦ θεοῦ, καὶ πολλὰ τῶν παρόντων καὶ τῶν μελλόντων καταμαθὼν ἀναστρέψεις. ἀεὶ γὰρ ὁ Μωυσῆς εἰς τὴν σκηνὴν συνέδραμε, τοῦ τὰς ἀπορίας καὶ τὰ ζητήματα λύεσθαι· καὶ πρὸς τὴν τῆς δεήσεως βοήθειαν κατέφυγε τοῦ τοὺς κινδύνους, καὶ τὰς τῶν ἀνθρώπων πονηρίας ἀφαιρεῖσθαι. οὕτω καὶ σὺ εἰς τὸ τῆς καρδίας σου ἀπόκρυφον καταφυγεῖν ὀφείλεις, τὴν τοῦ θεοῦ βοήθειαν ἀκριβέστερον ἐπικαλῶν. διὰ ταῦτα γὰρ ὁ Ἰωσουέ, καὶ οἱ υἱοὶ Ἰσραὴλ ὑπὸ τῶν Γαβαωνιτῶν ἠπατημένοι ἀναγινώσκονται, ὅτι τὸ στόμα τοῦ κυρίου πρότερον οὐκ ἐπηρώτησαν, ἀλλ' ἄγαν ταχυπειθεῖς τῇ αὐτῶν ἡδυλογίᾳ γινόμενοι, τῇ ψευδοσεβείᾳ ἐνεπαίχθησαν.

## Κεφ. λθ'.

Ἵν' ὁ ἄνθρωπος ἐν τοῖς πράγμασι μὴ ᾖ ἄκαιρος.

α'. ΤΕκνον, ἐπίτρεψόν μοι ἀεὶ τὴν δίκην σου· ἐγὼ ἐν τῷ καιρῷ αὐτῆς καλῶς διαθήσω. προσδόκα τὴν ἐμοῦ διάταξιν, κἀκεῖθεν αἰσθήσῃ τῆς ἐπιδόσεως. κύριε, πάνυ ἀσμένως σοι πάντα τὰ πράγματά μου ἐπιτρέπω, ὅτι ἡ διάνοιά μου ὀλίγον συμφέρειν δύναται. εἴθε οὐ πολὺ τοῖς μέλλουσι συμβήσεσθαι συνῆπτον, ἀλλ' εἰς τὴν εὐδοκίαν σου ἀμελλητί με προσέφερον.

β'. Τέκνον, πολλάκις μὲν ὁ ἄνθρωπος λίαν στρέφει τι,

agitat, quam deſiderat: ſed cùm ad eam peruenerit, aliter ſentire incipit: quia affectiones circa idem, non ſunt durabiles: ſed magis de vno ad aliud impellunt. Non eſt ergo minimum, etiam in minimis, ſeipſum relinquere.

3. Verus profectus hominis, eſt abnegatio ſuiipſius: & homo abnegatus, valde liber eſt & ſecurus. Sed antiquus hoſtis, omnibus bonis aduerſans, à tentatione non ceſſat: ſed die noctuque graues molitur inſidias, ſi fortè in laqueum deceptionis poſſit præcipitare incautum. Vigilate & orate, dicit Dominus, vt non intretis in tentationem.

## CAP. XL.

*Quòd homo nihil boni ex ſe habet, & de nullo gloriari poteſt.*

1. DOmine, quid eſt homo, quòd memor es eius: aut filius hominis, quia viſitas eum? Quid promeruit homo, vt dares illi gratiam tuam? Domine, quid poſſum conqueri, ſi me deſeris? aut quid iuſtè obtendere poſſum, ſi, quod peto, non feceris? Certè hoc in veritate cogitare poſſum, & dicere: Domine nihil ſum, nihil poſſum, nihil boni ex me habeo; ſed in omnibus deficio, & ad nihil ſemper tendo. Et niſi à te fuero adiutus, & interiùs informatus, totus efficior tepidus & diſſolutus.

2. Tu autem Domine, ſemper idem ipſe es, & permanes in æternum ſemper bonus, iuſtus & ſanctus, benè, iuſtè ac ſanctè agens omnia, & diſponens in ſapientia. Sed ego, qui ad defectum ſum magis pronus quam

ὅτινος ἐπιθυμεῖ· αὐτοῦ δ' ἐφικόμενος ἄλλως γινώσκειν ἄρχεται, ὅτι τὰ πάθη περὶ τὸ αὐτὸ οὐ μόνιμά ἐστιν, ἀλλὰ μᾶλλον ἀφ' ἑνὸς εἰς ἄλλο ἐπάγει. οὐ τοίνυν τοὐλάχιστόν ἐστι, καὶ ἐν τοῖς ἐλαχίστοις ἑαυτὸν καταλιπεῖν.

γ'. Η ἀληθινὴ ἐπίδοσις τοῦ ἀνθρώπου ἐστὶ τὸ ἀπαρνήσασθαι ἑαυτόν· καὶ ὁ ἄνθρωπος ἀπαρνησάμενος ἑαυτόν, πάνυ ἐλεύθερος καὶ ἀσφαλὴς ὑπάρχει. ὁ δὲ παλαιὸς ἐχθρός, πᾶσιν ἀγαθοῖς ἐναντιούμενος, οὐ λήγει πειράζων, ἀλλὰ τῆς ἡμέρας καὶ τῆς νυκτὸς δεινῶς ἐπιβουλεύει, εἰ ἄρα εἰς τὴν τῆς ἀπάτης παγίδα τὸν ἀφύλακτον καταβάλλειν δυνήσεται. γρηγορεῖτε καὶ προσεύχεσθε, φησὶν ὁ κύριος, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

Κεφ. μ'.

## Οτι ὁ ἄνθρωπος μηδὲν ἀγαθὸν ἐξ αὐτοῦ ἔχει, καὶ ἐπ' οὐδενὶ καυχᾶσθαι δύναται.

α. ΚΥριε, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; καὶ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; πῶς ἠξιώθη ὁ ἄνθρωπος τοῦ δοθῆναι αὐτῷ τὴν χάριν σου; κύριε, τί δύναμαι μεμψιμοιρεῖν, εἰ ἐμὲ καταλείπεις; ἢ τί εἰκότως ἔχω προφασίζεσθαι, εἰ ὅ,τι ἀξιῶ, οὐ ποιεῖς; τοῦτο δὴ ἀληθῶς λογίζεσθαι, καὶ λέγειν δύναμαι· κύριε, μηδέν εἰμι, μηδὲν ἰσχύω, μηδὲν ἀγαθὸν ἐξ ἐμοῦ ἔχω, ἀλλ' ἐν πᾶσιν ἐλλείπω, καὶ ἀεὶ εἰς μηδὲν φέρομαι. καὶ ἐὰν μὴ βοηθήσῃς μοι, καὶ ἔσω παιδεύσῃς, ὅλως χλιαίνομαι καὶ ἐκλύομαι.

β'. Σὺ δὲ κύριε, ἀεὶ ὁ αὐτὸς εἶ, καὶ εἰς τὸν αἰῶνα μένεις ἀεὶ ἀγαθός, δίκαιος καὶ ἅγιος, ἀγαθῶς, δικαίως καὶ ἁγίως πάντα πράττων, καὶ σοφῶς πάντα διατιθείς. ἐγὼ δέ, ὁ εἰς ἔκλειψιν μᾶλλον ἢ εἰς

quàm ad profectum, non ſum ſemper in vno ſtatu perdurans: quia ſemper tempora mutantur ſuper me. Verumtamen citò meliùs fit, cùm tibi placuerit, & manum porrexeris adiutricem: quia tu ſolus ſine humano ſuffragio poteris auxiliari, & in tantum confirmare, vt vultus meus ampliùs in diuerſa non mutetur, ſed in te vno cor meum conuertatur, & quieſcat.

3. Vnde, ſi bene ſcirem omnem humanam conſolationem abijcere, ſiue propter deuotionem adipiſcendam, ſiue propter neceſſitatem, qua compellor te quærere, quia non eſt homo qui me conſoletur: tunc poſſem meritò de gratia tua ſperare, & de dono nouæ conſolationis exultare.

4. Gratias tibi ago, vnde totum venit, quotieſcunque mihi bene ſuccedit. Ego autem vanitas & nihilum ante te, inconſtans homo & infirmus. Vnde ergo poſſum gloriari, aut cur appeto reputari? Nunquid de nihilo? & hoc vaniſſimum eſt. Verè inanis gloria, mala peſtis, vanitas maxima: quia à vera trahit gloria, & cæleſti ſpoliat gratia. Dum enim homo complacet ſibi, diſplicet tibi: dum inhiat laudibus humanis, priuatur veris virtutibus.

5 Eſt autem vera gloria & exultatio ſancta gloriari in te, & non in ſe: gaudere in nomine tuo, non in propria virtute, nec in aliqua creatura delectari, niſi propter te. Laudetur nomen tuum, non meum: magnificetur opus tuum, non meum: benedicatur nomen ſanctum tuum, nihil mihi autem attribuatur de laudibus hominum. Tu gloria mea, tu exultatio cordis mei: In te gloriabor & exul-

Digitized by Google

περιποπὴν ῥέπων, οὐχ ἀεὶ ὡσαύτως διατελῶ· ὅτι οἱ καιροὶ ἐπί με ἀεὶ ἀλλάττονται. καίτοι εὐθέως βέλτιον ἔχω, ἐὰν ἀρέσῃ σοι, καὶ ἐὰν ἀντιλήψῃ με· ὅτι σὺ μόνος ἄνευ τῆς ἀνθρωπίνης συνεργείας δύνασαι βοηθεῖν, καὶ οὕτω κραταιοῦν, ἵνα τὸ πρόσωπόν μου οὐ συμπέσῃ ἔτι, ἀλλ' εἰς σὲ ἡ καρδία μου ἐπιστραφῇ, καὶ εἰρηνεύσῃ.

γʹ. Διόπερ εἰ εὖ ἐπισταίμην πᾶσαν ἀνθρωπίνην παραμυθίαν ἀποβάλλειν, ἤτοι διὰ τὸ τυχεῖν τῆς εὐλαβείας, ἤτοι δι' ἀνάγκην, ᾗ ζητεῖν σε ἀναγκάζομαι, ὅτι οὐκ ἔστιν ἄνθρωπος ὁ παρακαλῶν με· τότε εἰκότως ἂν τὴν χάριν σου ἐλπίζειν, καὶ τῷ δώρῳ τῆς καινῆς παραμυθίας ἀγαλλιάσαι ἠδυνάμην.

δʹ. Ευχαριστῶ σοι, ἀφ' οὗ πᾶν ἔρχεται, ὁποσάκις οὖν μοι καλῶς περιχωρεῖ. ἐγὼ δὲ ματαιότης καὶ μηδὲν ἐνώπιόν σου, ἀσταθὴς καὶ ἀσθενὴς ἄνθρωπος· πόθεν οὖν καυχᾶσθαι, ἢ διά τί τιμᾶσθαι ἐπιποθῶ; ἆρά γε περὶ μηδενός; καὶ τοῦτο ματαιότατόν ἐστιν. ὄντως ἡ κενοδοξία, κακὸς λοιμὸς, μεγίστη ματαιότης, ὅτι τῆς ἀληθινῆς δόξης ἀφελκύει, καὶ τῆς οὐρανίου χάριτος ἀποστερεῖ. ἐν τῷ μὲν γὰρ ἄνθρωπον ἀρέσκειν αὐτῷ, ἀπαρέσκει σοι· ἐν τῷ δὲ τοῖς ἀνθρωπίνοις ἐπαίνοις ἐγχαίρειν, τὰς ἀληθινὰς ἀρετὰς ἀφαιρεῖται.

εʹ. Η δ' ἀληθινὴ δόξα, καὶ ἁγία ἀγαλλίασίς ἐστι τὸ ἐπὶ σοὶ καυχᾶσθαι, ἀλλ' οὐκ ἐφ' ἑαυτῷ· χαίρειν ἐπὶ τῷ ὀνόματί σου, ἀλλ' οὐκ ἐπ' ἰδίᾳ δυνάμει, οὐδέ τινι κτίσει, πλὴν ἢ διά σε, ἥδεσθαι. ἐπαινείσθω τὸ ὄνομα σὸν, οὐ τὸ ἐμόν· μεγαλυνέσθω τὸ ἔργον σὸν, οὐ τὸ ἐμόν· εὐλογείσθω τὸ ἅγιον ὄνομά σου, ἐμοὶ δὲ μηδὲν ἐκ τῆς τῶν ἀνθρώπων αἰνέσεως αἰσθανέσθω. σὺ δόξα μου, σὺ ἀγαλλίασις τῆς καρδίας μου. ἐν σοὶ καυχήσομαι, καὶ

exultabo tota die, pro me autem nihil, niſi in infirmitatibus meis.

6. Quærant Iudæi gloriam, quæ ab inuicem eſt: ego hanc requiram, quæ à ſolo Deo eſt. Omnis quidem gloria humana, omnis honor temporalis, omnis altitudo mundana, æternæ gloriæ tuæ comparata, vanitas eſt & ſtultitia. O veritas mea & miſericordia mea. Deus meus, Trinitas beata, tibi ſoli laus, honor, virtus & gloria, per infinita ſæculorum ſæcula.

## CAP. XLI.

### *De contemptu omnis temporalis honoris.*

1. FIlli, noli tibi attrahere, ſi videas alios honorari & eleuari, te autem deſpici & humiliari. Erige cor tuum ad me in cælum, & non contriſtabit te contemptus hominum in terris. Domine, in cæcitate ſumus, & vanitate citò ſeducimur. Si rectè me inſpicio, nunquam mihi facta eſt iniuria ab aliqua creatura, vnde nec iuſtè habeo conqueri aduerſum te.

2. Quia autem frequenter & grauiter peccaui tibi, meritò armatur contra me omnis creatura. Mihi igitur iuſtè debetur confuſio & contemptus; tibi autem laus, honor & gloria. Et niſi me ad hoc præparauero, quòd velim libenter ab omni creatura deſpici & relinqui, atque penitus nihil videri, non poſſum interiùs pacificari & ſtabiliri, nec ſpiritualiter illuminari, neque plenè tibi vniri.

## CAP. XLII.

### *Quòd pax non eſt ponenda in hominibus.*

1. Fili,

ἀγαλλιάσω ὅλην τὴν ἡμέραν, ὑπὲρ δὲ ἐμαυτοῦ μηδα-
μῶς, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου.

ϛʹ. Ζητείτωσαν οἱ Ἰουδαῖοι τὴν δόξαν τὴν ἀπ' ἀλ-
λήλων· ἐγὼ τὴν ἐπὶ τοῦ θεοῦ μόνου ζητήσω. πᾶσα γὰρ
ἀνθρωπίνη δόξα, πᾶσα τιμὴ πρόσκαιρος, πᾶν ὕψος
κοσμικὸν πρὸς τὴν αἰώνιον δόξαν συμβληθὲν, μα-
ταιότης καὶ μωρία ἐστιν. ὦ ἀλήθειά μου, καὶ ἔλεός μου, θεός
μου, μακαρία τριάς, σοὶ μόνῃ ἔπαινος, τιμὴ, δύναμις καὶ
δόξα, εἰς ἀπείρους αἰῶνας τῶν αἰώνων.

## Κεφ. μαʹ.

### Περὶ τοῦ καταφρονεῖν πάσης προσκαί-ρου τιμῆς.

αʹ. Τέκνον, μὴ λυποῦ, εἰ ἴδῃς μὲν ἄλλους τιμωμένους,
καὶ ὑψουμένους, σὲ δὲ καταφρονούμενον καὶ τα-
πεινούμενον ὁρᾷς. ἔγειρε τὴν καρδίαν σου πρὸς ἐμὲ
εἰς τὸν οὐρανὸν, καὶ οὐ λυπήσει σε ἡ καταφρόνησις τῶν
ἀνθρώπων ἐπὶ τῆς γῆς. κύριε, ἐν τῇ τυφλότητί ἐσμεν,
καὶ τῇ ματαιότητι ταχέως ἀπατώμεθα. εἰ καλῶς
ἐπιβλέπω με, οὐδέποτε ὑπό τινος κτίσεως ὑβρίσθην,
διὸ οὐκ ἔχω εἰκότως μέμφεσθαί σοι.

βʹ. Ὅτι δὲ συχνῶς καὶ δεινῶς ἥμαρτόν σοι, δικαίως
κατά μου πᾶσα κτίσις ὁπλίζεται. διὰ ταῦτα αἰσχύνη
καὶ καταφρόνησίς μοι πρέπει· σοὶ δ' ἔπαινος, τιμὴ, καὶ
δόξα· καὶ ἐὰν μὴ ἕτοιμος γένωμαι ὑπὸ πάσης κτίσεως
ἀσμένως καταφρονεῖσθαι καὶ καταλείπεσθαι, καὶ πάντως
ἐξουδενοῦσθαι, οὐχ οἷός τ' εἰμὶ ἔσω εἰρηνεύειν καὶ βεβαιοῦ-
σθαι, οὐδὲ πνευματικῶς φωτίζεσθαι, καὶ τελείως συν-
ενοῦσθαι.

## Κεφ. μβʹ.

### Ὅτι οὐ δεῖ τὴν εἰρήνην ἐν τοῖς ἀνθρώποις τιθέναι.

1. FIlli, ſi ponis pacem tuam cum aliqua perſona, propter tuum ſentire & conuiuere, inſtabilis eris & implicatus. Sed ſi recurſum habes, ad ſemper viuentem & manentem veritatem, non contriſtabit amicus recedens aut moriens. In me debet amici dilectio ſtare: & propter me diligendus eſt, quisquis tibi bonus viſus eſt, & multùm charus in hac vita. Sine me non valet, nec durabit amicitia: nec eſt vera & munda dilectio, quam ego non copulo. Ita mortuus debes eſſe, talibus affectionibus dilectorū hominum, vt (quantum ad te pertinet) ſine omni humano optares eſſe conſortio. Tantò homo Deo magis appropinquat, quantò ab omni ſolatio terreno longiùs recedit. Tantò etiam altiùs ad Deum aſcendit, quantò profundiùs in ſe deſcendit, & plus ſibiipſi vileſcit.

2. Qui autem ſibi aliquid boni attribuit, gratiam Dei in ſe venire impedit: quia gloria ſpiritus ſancti, cor humile ſemper quærit. Si ſcires te perfectè annihilare, atque ab omni creato amore euacuare, tunc deberem in te cum magna gratia emanare. Quando tu reſpicis ad creaturas, ſubtrahitur tibi aſpectus creatoris. Diſce te in omnibus, propter creatorem vincere, tunc ad diuinam valebis cognitionem pertingere. Quantumcumque modicum ſit, ſi inordinatè diligitur & reſpicitur, retardat à ſummo bono, & vitiat.

## CAP. XLIII.

### *Contra vanam & ſecularem ſcientiam.*

1. FIli, non te moueant pulchra & ſubtilia hominum dicta. Non enim eſt regnum

Dei

α΄. Τέκνον, εἰ πρός τινα ἄνθρωπον εἰρήνην ἄγεις, διὰ τὸ δοκεῖν σοι καὶ συνομιλεῖν, ἀβέβαιος ἔσῃ, καὶ ἐμπλεχθήσῃ. εἰ δὲ πρὸς τὴν ἀεὶ ζῶσαν, καὶ διαμένουσαν ἀλήθειαν καταφεύγεις, οὐ λυπήσει σε ὁ φίλος ἀπερχόμενος ἢ τελευτῶν. ἐν ἐμοὶ τὴν τοῦ φίλου ἀγάπην δεῖ κεῖσθαι· καὶ διά με ἀγαπητὸς ὑπάρχει, ὅστις ἂν ἀγαθὸς καὶ πολὺ προσφιλὴς ἐν ταύτῃ τῇ ζωῇ σοι εἶναι δόξῃ. ἄνευ μου οὐκ ἰσχύει ἡ φιλία, οὐδὲ διαμενεῖ· οὐδ᾽ ἀληθινὴ καὶ καθαρὰ ἀγάπη ἐστίν, ἣν ἐγὼ οὐ ποιῶ. οὕτω δεῖ σε τούτοις τοῖς πάθεσι τῶν ἀνθρώπων ἀγαπητῶν ἀποθανεῖν, ὥστε (τὸ κατὰ σὲ) ἄνευ πάσης ἀνθρωπίνης ὁμιλίας ζῆν ἐπιποθεῖς. τοσούτῳ μᾶλλον ὁ ἄνθρωπος τῷ θεῷ πλησιάζει, ὅσῳ πορρωτέρω πάσης τῆς ἐπιγείου παρακλήσεως ἀφίσταται. ἔτι δὲ, τοσούτῳ ὑψηλότερον πρὸς τὸν θεὸν ἀναβαίνει, ὅσῳ βαθύτερον εἰς ἑαυτὸν καταβαίνει, καὶ πλέον ἑαυτῷ εὐτελίζεται.

β΄. Ὁ δ᾽ ἀγαθόν τι ἑαυτῷ ἀνατιθεὶς, τὴν τοῦ θεοῦ χάριν κωλύει ἐλθεῖν· ὅτι ἡ χάρις τοῦ ἁγίου πνεύματος, ταπεινὴν καρδίαν ἀεὶ ζητεῖ. εἰ ἐπίστασο τελείως σε ἐξουδενῆσαι, καὶ πάσης κτισθείσης ἀγάπης ἀποκενῶσαι, τότε ἔδει με σὺν μεγάλῃ χάριτί σοι ἐγχυθῆναι. ὅτε σὺ πρὸς τὰς κτίσεις ἀποβλέπεις, ὑφελκύεταί σοι ἡ ὄψις τοῦ κτίστου. μάνθανε ἐν πᾶσι διὰ τὸν κτίστην νικῆσαί σε, τότε τῆς θείας γνώσεως ἐφικέσθαι δυνήσῃ. ὁπηλικονοῦν ἂν ᾖ, εἰ ἀτάκτως ἀγαπᾶται καὶ τιμᾶται, τοῦ μεγίστου ἀγαθοῦ ἐπέχει, καὶ κακύνει.

## Κεφ. μγ΄.

### Κατὰ τῆς κενῆς καὶ κοσμικῆς ἐπιστήμης.

α΄. Τέκνον, μὴ κινήθητι τῇ καλλιλογίᾳ καὶ λεπτολογίᾳ τῶν ἀνθρώπων. οὐ γὰρ ἐν λόγῳ ἐστὶν ἡ βασιλεία τοῦ

Digitized by Google

Dei in ſermone,ſed in virtute. Attende verba mea,quæ corda accendunt, & mentes illuminant : inducunt compunctionem, & variam ingerunt conſolationem. Nunquam ad hoc legas verbum, vt doctior aut ſapientior poſſis videri. Stude mortificationi vitiorum, quia hoc ampliùs tibi proderit, quàm notitia multarum difficilium quæſtionum.

2. Quum multa legeris & cognoueris,ad vnum ſemper oportet redire principium. Ego ſum, qui doceo hominem ſcientiam : & clariorem intelligentiam paruulis tribuo, quàm ab homine poſſit doceri. Cui ego loquor, citò ſapiens erit,& multùm in ſpiritu proficiet. Væ eis, qui multa curioſa ab hominibus inquirunt, & de via mihi ſeruiendi parùm curant. Veniet tempus, quando apparebit magiſter magiſtrorum Chriſtus, Dominus Angelorum, cunctorum auditurus lectiones,hoc eſt, ſingulorum examinaturus conſcientias. Et tunc ſcrutabitur Hieruſalem in lucernis, & manifeſta erunt abſcondita tenebrarum, tacebuntque argumenta linguarum.

3. Ego ſum, qui humilem in puncto eleuo mentem,vt plures æternæ veritatis capiat rationes,quàm ſi quis decem annis ſtuduiſſet in ſcholis. Ego doceo ſine ſtrepitu verborum, ſine confuſione opinionum,ſine faſtu honoris, ſine pugnatione argumentorum. Ego ſum, qui doceo terrena deſpicere, præſentia faſtidire, æterna quærere, æterna ſapere : honores fugere,

Digitized by Google

λεία τοῦ θεοῦ, ἀλλ' ἐν δυνάμει. πρόσεχε τοῖς λόγοις μου, τοῖς τὰς καρδίας μὲν ἀνάπτουσι, καὶ τὰς ψυχὰς φωτίζουσι, τὴν δὲ σύννυξιν εἰσάγουσι καὶ ποικίλην παραμυθίαν ἐμποιοῦσιν. οὐδέποτε διὰ τοῦτο ῥῆμα ἀνάγνωθι, ἵνα παιδευτότερος ἢ σοφώτερος φανῆναι δυνηθῇς. περὶ τὴν νέκρωσιν τῶν κακιῶν σπούδαζε, ὅτι τοῦτο μᾶλλον ὠφελήσει σε, ἢ ἡ πολλῶν χαλεπῶν ζητημάτων γνῶσις.

β'. Σὲ τὰ πολλὰ ἀναγνόντα καὶ καταμαθόντα, εἰς μίαν ἀρχὴν ἐπανελθεῖν χρή. ἐγώ εἰμι, ὁ τὸν ἄνθρωπον τὴν ἐπιστήμην διδάσκων, καὶ τοῖς νηπίοις σαφεστέραν σύνεσιν χαριζόμενος, ἢ ἂν ὑπὸ τοῦ ἀνθρώπου διδάσκεσθαι δυνηθῇ. ᾧτινι ἐγὼ λαλῶ, παραυτίκα σοφὸς ἔσται, καὶ πολὺ τῷ πνεύματι προκόψει. οὐαὶ τοῖς πολλὰ μὲν πάρεργα παρὰ τῶν ἀνθρώπων ἐξετάζουσιν, ὀλίγον δὲ τῆς ὁδοῦ τοῦ δουλεύειν μοι ἐπιμελουμένοις. ἐλεύσεται ὁ χρόνος, ὅτε φανήσεται διδάσκαλος τῶν διδασκάλων ὁ χριστὸς, κύριος τῶν ἀγγέλων, τὰς ἀναγνώσεις πάντων ἀκούσων, τοῦτ' ἔστι, τὰς συνειδήσεις πάντων ἐξετάσων. καὶ τότε ἐξερευνηθήσεται ἡ Ἱερουσαλὴμ μετὰ λύχνου, καὶ τὰ κρυπτὰ τοῦ σκότους φανερὰ ἔσται, καὶ οἱ ἔλεγχοι τῶν γλωττῶν σιωπήσουσιν.

γ'. Ἐγώ εἰμι, ὁ τὸν ταπεινὸν τῇ διανοίᾳ, ἐν ἀκαρεῖ ἐπαίρων, ἵνα πλείους λόγους τῆς αἰωνίου ἀληθείας χαρίσῃ, ἢ ἐάν τις δέκα ἔτη εἰς τὸ διδασκαλεῖον φοιτήσῃ. ἐγὼ διδάσκω ἄνευ δούπου τῶν ῥημάτων, ἄνευ συγχύσεως τῶν γνωμῶν, ἄνευ τύφου τῆς δόξης, ἄνευ μάχης τῶν ἐλέγχων. ἐγώ εἰμι ὁ διδάσκων τῶν ἐπιγείων καταφρονεῖν, τὰ παρόντα ἀποστρέφεσθαι, τὰ αἰώνια ζητεῖν, τὰ αἰώνια φρονεῖν· τὰς τιμὰς

φεύγειν

fugere, ſcandala ſufferre, omnem ſpem in me ponere, extra me nil cupere, & ſuper omnia me ardenter amare.

4. Nam quidam amando me intimè, didicit diuina, & loquebatur mirabilia. Plus profecit in relinquendo omnia, quàm in ſtudendo ſubtilia. Sed alijs loquor communia, alijs ſpecialia: aliquibus in ſignis & figuris dulciter appareo, quibusdam verò in multo lumine reuelo myſteria. Vna vox librorum, ſed non omnes æquè informat: quia intùs ſum doctor, veritas, ſcrutator cordis, cogitationum intellector, actionum promotor, diſtribuens ſingulis, ſicut dignū iudicauero.

## CAP. XLIIII.

### *De non attrahendo ſibi res exteriores.*

1. FIlli, in multis oportet te eſſe inſcium, & æſtimare te tanquam mortuum ſuper terram, & cui totus mundus crucifixus ſit. Multa etiam oportet ſurda aure pertranſire, & quæ tuæ pacis ſunt magis cogitare. Vtiliùs eſt oculos à rebus diſplicentibus auertere, & vnicuique ſuum ſentire relinquere, quàm contentioſis ſermonibus deſeruire. Si benè ſteteris cum Deo, & eius iudicium aſpexeris, faciliùs te victum portabis.

2. O Domine, quonam venimus? Ecce damnum defletur temporale, pro modico quæſtu laboratur & curritur, & ſpirituale detrimentum in obliuionem tranſit, & vix ſerò reditur. Quod parum vel nihil prodeſt attenditur, & quod ſummè neceſſarium eſt, negligenter prætcritur, quia totus homo ad externa defluit, & niſi citò reſipiſcat, libens in exterioribus iacet.

CAP.

φεύγειν, τὰ σκάνδαλα ὑπομένειν, πᾶσαν ἐλπίδα ἐπ' ἐμὲ τιθέναι, ἔξω ἐμοῦ μηδενὸς ἐπιθυμεῖν, καὶ ὑπὲρ πάντα ἐμὲ ζεστῶς ἀγαπᾶν.

δ'. Τῷ γὰρ προσφιλέστατα διακεῖσθαι πρὸς ἐμέ, ἔμαθέ τις τὰ θεῖα, καὶ θαυμάσια ἐλάλησε· μᾶλλον προέκοψε τῷ καταλιπεῖν πάντα, ἢ τῷ σπουδάσαι περὶ λεπτά. ἀλλὰ μὴν τοῖς μὲν κοινά, τοῖς δ' ἴδια λαλῶ· ἄλλοις ἐν σημείοις καὶ τύποις ἡδέως φαίνομαι, ἐνίοις δὲ μεγάλῳ φωτὶ τὰ μυστήρια ἀποκαλύπτω. μία μὲν φωνὴ τῶν βίβλων, πάντας δὲ οὐκ ἴσως παιδεύει· ὅτι ἐντός εἰμι διδάσκαλος, ἀλήθεια, καρδιογνώστης, νοητὴς τῶν λογισμῶν, προβιβαστὴς τῶν πράξεων, διανέμων ἑκάστοις, καθὼς ἂν ἄξιον κρίνω.

## Κεφ. μδ'.

### Περὶ τοῦ μὴ ἑαυτῷ ἐφέλκειν τὰ ἔξω.

α'. Τέκνον, ἐν πολλοῖς δεῖ εἶναί σε ἀγνοοῦντα, καὶ νομίζειν ἀποθανόντα σε ἐπὶ τῆς γῆς, καί σοι ὅλον τὸν κόσμον σταυρωθέντα. ἔτι δέ, χρὴ πολλὰ παρακοῦσαι, καὶ τὰ τῆς εἰρήνης σου μᾶλλον ἐνθυμεῖσθαι. ὠφελιμώτερόν ἐστι τοὺς ὀφθαλμοὺς ἀπὸ τῶν δυσαρεστούντων ἀποστρέφειν, καὶ ἑκάστῳ τὸ δοκοῦν αὐτῷ καταλείπειν, ἢ τοῖς ἐριστικοῖς λόγοις σχολάζειν. ἐὰν καλῶς ἔχεις πρὸς τὸν θεόν, καὶ τὸ κρίμα αὐτοῦ σκοπήσῃς, τὸ ἡττᾶσθαι ῥᾷον ὑπομενεῖς.

β'. Ω κύριε, ποῖ ἤλθομεν; ἰδοὺ τὴν πρόσκαιρον βλάβην καταδακρύομεν, ὑπὲρ ὀλίγου μὲν κέρδους πονοῦντες, καὶ τρέχοντες, τῆς δὲ ζημίας τῆς πνευματικῆς ἀμνημονοῦντες, καὶ μόγις ὀψὲ ἀναστρέφοντες. τῷ μικρὸν ἢ μηδὲν ἡμᾶς ὠφελοῦντι τὸν νοῦν προσέχομεν, καὶ τοῦ ἀναγκαιεστάτου ὀλιγωροῦμεν. ὅλος γὰρ ὁ ἄνθρωπος εἰς τὰ ἔξω φέρεται, καὶ ἐὰν μὴ ταχέως μετανοήσῃ, ἡδέως ἐν αὐτοῖς κεῖται.



Digitized by Google

## CAP. XLV.

### *Quòd omnibus non eſt credendum, & de facili lapſu verborum.*

1. DA mihi auxilium Domine de tribulatione, quia vana ſalus hominis. Quàm ſæpè ibi non inueni fidem, vt me habere putaui? Quotiens etiam ibi reperi, vbi minus præſumpſi? Vana ergo ſpes in hominibus, ſalus autem iuſtorum, in te DEVS. Benedictus ſis Domine Deus meus in omnibus, quæ accidunt nobis. Infirmi ſumus & inſtabiles, citò fallimur & permutamur.

2. Quis eſt homo, qui ita cautè & circumſpectè in omnibus ſe cuſtodire valet, vt aliquando in aliquam deceptionem vel perplexitatem non veniat? Sed qui in te Domine confidit, ac ſimplici ex corde quærit, non tam facilè labitur. Et ſi inciderit in aliquam tribulationem, quocumque modo fuerit etiam implicatus, citiùs per te eruetur, aut à te conſolabitur: quia tu non deſeres in te ſperantem vſque in finem. Rarus fidus amicus, in cunctis amici perſeuerans preſſuris. Tu Domine, tu ſolus es fideliſſimus in omnibus, & præter te non eſt alter talis.

3. O quàm bene ſapuit ſancta illa anima, quæ dixit: Mens mea ſolidata eſt, & in Chriſto fundata. Si ita mecum foret, non tam facilè timor humanus me ſollicitaret, nec verborum iacula mouerent. Quis omnia prouidere, quis præcauere futura mala ſufficit? Si præuiſa ſæpè etiam lædunt, quid improuiſa niſi grauiter feriunt? Sed quare mihi miſero non meliùs prouidi? Cur etiã tam facilè alijs credidi? Sed homines ſum⁹,

nec

Digitized by Google

Κεφ. με´. Ὅτι οὐ πᾶσι πιστευτέον· καὶ περὶ τοῦ ῥᾳδίου πλαίσματος τῶν ῥημάτων.

α´. Δός μοι, κύριε, βοήθειαν ἐκ θλίψεως, ὅτι ματαία σωτηρία ἀνθρώπου. ποσάκις τὴν πίστιν οὐχ εὗρον, ὅπου ἐνόμιζα ἔχειν; ποσάκις καὶ ἐκεῖ εὗρον, ὅπου ἧττον ἐδόξα; ματαία τοίνυν ἡ ἐλπὶς ἐν τοῖς ἀνθρώποις, ἡ δὲ σωτηρία τῶν δικαίων ἐν σοὶ ὁ θεός. εὐλογήθητι σὺ κύριε, ὁ θεός μου, ἐν πᾶσι τοῖς συμβαίνουσιν ἡμῖν. ἀσθενεῖς καὶ ἀσταθεῖς γινόμεθα, ταχέως ἀπατώμεθα καὶ μεταλλαττόμεθα.

β´. Τίς ἐστιν ὁ ἄνθρωπος, ὁ οὕτω πεφυλαγμένως καὶ περιεσκεμμένως ἐν πᾶσιν ἔχειν δυνάμενος, ὅπως εἰς ἀπάτην καὶ ἀμηχανίαν τινά ποτε οὐκ ἔλθῃ; ὁ δ' ἐπί σε κύριε πεποιθὼς καὶ ἁπλῇ καρδίᾳ σε ζητῶν, οὐχ οὕτω ῥᾳδίως ὀλισθαίνει. εἰ δ' εἰς θλῖψιν τινὰ ἐμπέσῃ, ὁπωσοῦν ἂν ἐμπλεχθῇ, τάχιον ὑπὸ σοῦ λυτρωθήσεται ἢ παρακληθήσεται· ὅτι σὺ οὐ καταλείπεις τὸν ἐλπίζοντα ἐπὶ σὲ εἰς τέλος. σπάνιος ὁ πιστὸς φίλος ἐν πάσαις ἀθλιότησι τοῦ φίλου διατελῶν. σὺ κύριε, σὺ μόνος πιστότατος ἐν πᾶσι, καὶ πλὴν σοῦ οὐκ ἔστιν ἕτερος τοιοῦτος.

γ´. Πῶς εὖ ἐφρόνησεν ἁγία ἐκείνη ἡ ψυχή, ἡ λέξασα· ὁ νοῦς μου ἐβεβαιώθη, καὶ ἐν τῷ Χριστῷ ἐθεμελιώθη. εἰ οὕτως εἶχον, οὐκ ἂν τοσαύτην φροντίδα ὁ φόβος ἀνθρώπινός μοι εἰργάζετο, οὐδὲ τὰ τῶν ῥημάτων βέλη με ἐκίνει. τίς πάντα προορᾷν, τίς τὰ ἐσόμενα κακὰ προφυλάττεσθαι οἷός τε γίνεται; εἰ πολλάκις καὶ τὰ προεωραμένα βλάπτει, πῶς οὐ δεινῶς τὰ ἀπροόρατα παίει; ἀλλὰ διὰ τί ἐμοῦ ταλαιπώρου οὐ βέλτιον προὐνόησα; διὰ τί οὕτω κούφως τοῖς ἄλλοις ἐπίστευσα; ἀλλὰ μὴν ἄνθρωποί ἐσμεν,

καὶ οὐκ

nec aliud quàm fragiles homines ſumus, etiamſi Angeli à multis æſtimamur & dicimur. Cui credam Domine? Cui, niſi tibi? veritas es, quæ non fallis, nec falli potes. Et rurſum: Omnis homo mendax, infirmus, inſtabilis, & labilis maximè in verbis: ita vt ſtatim vix credi debeat, quod rectum in facie ſonare videtur.

4. Quàm prudenter præmonuiſti, cauendum ab hominibus: & quia inimici hominis domeſtici eius: nec credendum, ſi quis dixerit: Ecce hic, aut ecce illic. Doctus ſum damno meo, & vtinam ad cautelam maiorem, & non ad inſipientiam mihi. Cautus eſto (ait quidam) cautus eſto, ſerua apud te quod dico. Et dum ego ſileo, & abſconditum credo, nec ille ſilere poteſt, quod ſilendum petijt, ſed ſtatim prodit me & ſe, & abijt. Ab huiuſmodi fabulis, & incautis hominibus, protege me Domine, ne in manus eorum incidam, nec vnquam talia committam. Verbum verum & ſtabile da in os meum, & linguam callidam longè fac à me. Quod pati nolo, omnimodè cauere debeo.

5. O quàm bonum & pacificum de alijs ſilere, nec indifferenter omnia credere, neque de facili vlterius effari: paucis ſeipſum reuelare, te ſemper inſpectorem cordis quærere: nec omni vento verborum circumferri, ſed omnia intima & externa, ſecundùm placitum tuæ voluntatis, optare perfici. Quàm tutum, pro conſeruatione cæleſtis gratiæ, humanam fugere apparentiam, nec appetere quæ foris admirationem videntur præbere:

καὶ οὐκ ἄλλο πλὴν ἄνθρωποι ἀσθενεῖς τυγχάνομεν, καίπερ πολλοῖς ἄγγελοι δοκοῦντες καὶ λεγόμενοι. τίνι ἂν πιστεύσω κύριε; τίνι, εἰ μὴ σοί; ἀλήθεια ὑπάρχεις ἡ μήτ' ἀπατῶσα, μήτ' ἀπατᾶσθαι δυναμένη. καὶ πάλιν· πᾶς ἄνθρωπος ψεύστης, ἀσθενής, ἄστατος, καὶ ὀλισθηρὸς, μάλιστα δὲ τοῖς λόγοις· ὥστε μόλις εὐθέως πιστεύειν δεῖ, ὅ, τι κατ' εἶδος εὖ ἠχεῖν φαίνεται.

δ'. Ὡς φρονίμως προπαρῄνεσας φυλάξασθαι ἀπὸ τῶν ἀνθρώπων, ὅτι ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ, καὶ οὐ πιστεύειν, ἐάν τις εἴπῃ· ἰδοὺ ὧδε, ἢ ἰδοὺ ἐκεῖ. ἐπαιδεύθην τῇ βλάβῃ μου, καὶ εἴθε εἰς τὴν μείζω προφυλακὴν, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. φυλάττου (φησί τις) φυλάττου, τήρει παρὰ σοὶ, ὅ, τι λέγω. ἐμοῦ δὲ σιωπῶντος, καὶ ἀποκρύπτεσθαι ἡγουμένου, καὶ αὐτὸς σιωπᾶν οὐ δύναται, ὃ σιωπᾶσθαι ἠξίωσεν, ἀλλ' εὐθέως ἐμὲ καὶ ἑαυτὸν ἐξαγορεύσας ἀπῆλθεν. ἀπὸ τοιούτων μύθων καὶ ἀπρονοήτων ἀνθρώπων φύλαξόν με κύριε, τοῦ μὴ ταῖς χερσὶν αὐτῶν περιπεσεῖν, μηδὲ τοιαῦτά ποτε πλημμελεῖν. λόγον ἀληθῆ καὶ βέβαιον δὸς εἰς τὸ στόμα μου, καὶ γλῶτταν δολίαν ἀπ' ἐμοῦ μάκρυνε· ὅπερ πάσχειν οὐκ ἐθέλω, πάντως φυλάττειν ὀφείλω.

ε'. Ὡς ἀγαθὸν καὶ εἰρηνικόν ἐστι περὶ τῶν ἄλλων σιγῆσαι, καὶ οὐ πάντα ἀδιακρίτως πιστεῦσαι, οὐδὲ κούφως πορρωτέρω ἐξαγορεῦσαι, ὀλίγοις ἑαυτὸν ἀποκαλύψαι, σὲ τὸν καρδιογνώστην ὄντα ἀεὶ ζητῆσαι, οὐδὲ παντὶ ἀνέμῳ τῶν λόγων περιενεχθῆναι, ἀλλὰ τά τε ἔσω, καὶ τὰ ἔξω κατὰ τὴν εὐδοκίαν σου ποθῆσαι ἀποτελεσθῆναι. ὡς ἀσφαλὲς ὑπὲρ τοῦ διαφυλάξαι τὴν οὐράνιον χάριν, τὸ τοῖς ἀνθρώποις φαίνεσθαι φεύγειν, οὐδὲ τὰ τοῖς ἀνθρώποις ἔξωθεν θαύματος ἄξια δοκοῦντα, γλίχεσθαι·

Digitized by Google

bere: ſed ea, tota ſedulitate ſectari, quæ vitæ emendationem dant & feruorem.

6. Quàm multis nocuit virtus ſcita, ac præproperè laudata? Quàm ſanè profuit gratia ſilentio ſeruata in hac fragili vita, quæ tota tentatio fertur & militia?

## Cap. XLVI.

### *De confidentia in Deo habenda, quando inſurgunt verborum iacula.*

1. Fili, ſta firmiter, & ſpera in me. Quid enim ſunt verba, niſi verba? Per aërem volant, ſed lapidem non lædunt. Si reus es, cogita, quòd libenter emendare te velis. Si nihil tibi conſcius es, penſa quòd velis libenter pro Deo hoc ſuſtinere. Parum ſatis eſt, vt vel verba interdum ſuſtineas, qui necdùm fortia verbera tolerare vales. Et quare tam parua tibi ad cor tranſeunt, niſi quia adhuc carnalis es, & homines magis quàm oportet attendis? Nam quia deſpici metuis, reprehendi pro exceſſibus non vis, & excuſationum vmbracula quæris.

2. Sed inſpice te meliùs, & agnoſces, quia viuit adhuc in te mundus, & vanus amor placendi hominibus. Cùm enim quaſſari refugis, & confundi pro defectibus, conſtat vtique, quòd nec verus humilis ſis, nec verè mundo mortuus, nec mundus tibi crucifixus. Sed audi verbum meum, & non curabis decem millia verba hominum. Ecce, ſi cuncta contra te dicerentur, quæ fingi malitioſiſſimè poſſent: quid

Digitized by Google

χεσθαι· ἀλλὰ τὰ τὴν τοῦ βίου ἐπανόρθωσιν καὶ ζωὴν παρέχοντα, ἐπιμελέστατον διώκειν.
ς'. Πόσους ἡ ἀρετὴ γνωσθεῖσα, καὶ λίαν ταχέως ἐπαινεθεῖσα ἔβλαψεν; ὡς δὴ ὠφέλησεν ἡ χάρις σιωπηθεῖσα ἐν τούτῳ τῷ εὐθραύστῳ βίῳ, ὅσπερ ὅλος πειρασμὸς καὶ στρατεία λέγεται;

## Κεφ. μς'.

### Περὶ τῆς πεποιθήσεως τῆς ἐπὶ τῷ θεῷ, τῶν βελῶν τῶν ῥημάτων ἐπιβαλλομένων.

α'. Τέκνον, διΐσχυρίζου, καὶ ἐπ' ἐμὲ ἔλπιζε. τί γὰρ ἄλλο οἱ λόγοι εἰσὶν ἢ λόγοι; διὰ τοῦ μὲν ἀέρος πέτανται, λίθον δὲ οὐ βλάπτουσιν. εἰ ὑπεύθυνος εἶ, ἐννόει ὅτι ἑκουσίως ἐπανορθοῦν σε ἐθέλεις. εἰ δ' οὐδέν σοι σύνοιδας, ἐνθυμοῦ ὅτι ἀσμένως ὑπὲρ τοῦ θεοῦ τοῦτο ὑπομένειν ἐθέλεις. ἱκανῶς ὀλίγον ἐστὶν, μόνον τοὺς λόγους σέ ποτε καρτερεῖν, ὁ οὔπω δεινὰς πληγὰς πάσχειν δυνάμενος. διὰ τί δὲ οὕτω μικρὰ ὄντα τὴν καρδίαν σου λυπεῖ, πλὴν ὅτι σαρκικὸς ἔτι τυγχάνεις, καὶ μείζω τοῦ δέοντος λόγον τῶν ἀνθρώπων ἔχεις; ὅτι γὰρ καταφρονεῖσθαι φοβῇ, διὰ τὰ πλημμελήματα ψέγεσθαι οὐκ ἐθέλεις, καὶ τὰ τῶν ἀπολογιῶν σκιάδια ἐπιζητεῖς.
β'. Ἀλλ' ἔφορα σεαυτὸν ἀκριβέστερον, καὶ γνώσῃ, ὅτι ἔν σοι ἔτι ζῇ ὁ κόσμος, καὶ ἡ κενοσπουδία τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις· ἐν τῷ γὰρ τὸ ταπεινοῦσθαι, καὶ διὰ τὰ ἐλλείμματα καταισχύνεσθαι, φεύγειν, δῆλόν γε ὅτι οὐκ ἀληθῶς ταπεινὸς εἶ, οὐδ' ὄντως τῷ κόσμῳ ἀπέθανες, οὐδέ σοι ὁ κόσμος ἐσταυρώθη. καίτοι ἄκουσον τοῦ λόγου μου, καὶ οὐ μελήσει σοι μυρίων ῥημάτων τῶν ἀνθρώπων. ἰδοὺ, εἰ πάντα κατά σου ἐλέγετο, ἅτινα ἂν δυνατὸν ἐστὶ πονηρότατα πλάττεσθαι,

τί σε

quid tibi nocerent, ſi omninò tranſire permitteres, nec plùs quàm feſtucam perpenderes? Numquid vel vnum capillum tibi extrahere poſſent?

3. Sed qui cor intùs non habet, nec Deum præ oculis, faciliter verbo mouetur vituperationis. Qui autem in me confidit, nec proprio iudicio ſtare appetit, abſque humano terrore erit. Ego enim ſum iudex, & cognitor omnium ſecretorum: ego ſcio, qualiter res acta eſt: ego iniuriantem noui & ſuſtinentem. A me exijt verbum iſtud, me permittente hoc accidit, vt reuelentur ex multis cordibus cogitationes. Ego reum & innocentem iudicabo, ſed occulto iudicio vtrumque antè probare volui.

4. Teſtimonium hominum ſæpe fallit: meum iudicium verum eſt, ſtabit, & non ſubuertetur. Latet plerunque, & paucis ad ſingula patet: nunquam tamen errat, nec errare poteſt, etiamſi oculis inſipientium non rectum videatur. Ad me ergo currendum eſt in omni iudicio, nec proprio innitendum arbitrio. Iuſtus enim non conturbabitur, quicquid à Deo ei acciderit. Etiamſi iniuſtè aliquid contra eum prolatum fuerit, non multùm curabit. Sed nec vanè exultabit, ſi per alios rationabiliter excuſetur. Penſat namque, quia ego ſum ſcrutans corda & renes, qui non iudico ſecundùm faciem & humanam apparentiam. Nam ſæpè in oculis meis reperitur culpabile, quod hominum iudicio creditur laudabile.

5. Domine Deus, iudex iuſte, fortis & pa-

tiens,

τί σε ἔβλαπ]εν, εἰ πάντως παρελθεῖν εἴας, καὶ περὶ οὐδε-
νὸς ἐποιοῦ; ἆρα μίαν γε τρίχα ἐκτίλλειν σοι ἐδύναντο;

γ'. Ἀλλὰ μὴν ὁ ἔσω ἀκάρδιος ὢν, καὶ τὸν θεὸν ἐνώπιον αὐτοῦ οὐ προστιθεὶς, ῥαδίως τῷ τῆς μέμψεως λόγῳ κινεῖται. ὁ δ' ἐμοὶ πεποιθὼς, καὶ ἐπὶ τῇ σοφίᾳ αὐτοῦ ἐπερείδεσθαι οὐκ ἐπιθυμῶν, τοῦ φόβου ἀνθρωπίνου ἀπαλλαγήσεται. ἐγὼ γὰρ κριτὴς, καὶ πάντων ἀπορρήτων γνώστης τυγχάνω· ἐγὼ οἶδα πῶς τὸ ἔργον ἐπράχθη· ἐγὼ τὸν ἀδικοῦντα καὶ τὸν ἀδικούμενον γινώσκω. παρ' ἐμοῦ οὗτος ὁ λόγος ἐξῆλθεν, ἐμοῦ δ' ἐῶντος, τοῦτο συνέβη, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. ἐγὼ μὲν τὸν ἔνοχον καὶ ἄκακον κρινῶ, τῇ δὲ ἀποκρύφῳ κρίσει ἀμφότερον ἔμπροσθεν δοκιμάζειν ἠθέλησα.

δ'. Ἡ τῶν ἀνθρώπων μαρτυρία πολλάκις ψεύδεται, ἀλλ' ἡ κρίσις μου ἀληθὴς οὖσα στήσεται, καὶ οὐ καταστραφήσεται. ἐπὶ τὸ πολὺ λανθάνει, καὶ ὀλίγοις καθ' ἕκαστα φανεροῦται, ὅμως οὔποτε σφάλλεται, οὐδὲ σφάλλεσθαι οἷά τ' ἐστὶν, εἰ καὶ τοῖς τῶν ἀνοήτων ὀφθαλμοῖς οὐκ εὐθεῖα δοκεῖ. δεῖ οὖν ἐν παντὶ κρίματι πρὸς ἐμὲ τρέχειν, καὶ ἐν ἰδίᾳ γνώμῃ οὐ στηρίζεσθαι. ὁ δίκαιος οὐ λυπηθήσεται, ὁποιοῦν ἂν αὐτῷ παρὰ τοῦ θεοῦ συμβῇ· εἰ καὶ ἀδίκως τι κατ' αὐτοῦ λεχθήσεται, οὐ πολὺ μελήσει αὐτῷ· πλὴν οὐδὲ ματαίως ἀγαλλιάσεται, εἴ τινες ὑπὲρ αὐτοῦ εὐλόγως ἀπολογήσονται. ἐνθυμεῖται γὰρ ὅτι ἐγὼ καρδίας καὶ νεφροὺς ἐτάζω, οὐδὲ κατ' ὄψιν καὶ φαντασίαν ἀνθρωπίνην κρίνω. πολλάκις γὰρ ἐνώπιόν μου εὑρίσκεται ἐπίμεμπτον, ὅ, τι τῇ τῶν ἀνθρώπων κρίσει ἐπαινετὸν νομίζεται.

ε'. Κύριε ὁ θεὸς, κριτὰ δίκαιε, ἰσχυρὲ καὶ μα-

tiens, qui hominum noſti fragilitatem & prauitatem, eſto robur meum, & tota fiducia mea, non enim mihi ſufficit conſcientia mea. Tu noſti, quod ego non noui, & ideo in omni reprehenſione humiliare me debui, & manſuetè ſuſtinere. Ignoſce quoque mihi propitius, quotiens ſic non egi, & dona iterum gratiam amplioris ſufferentiæ. Melior eſt enim mihi tua copioſa miſericordia ad conſequutionem indulgentiæ: quàm mea opinata iuſtitia pro defenſione latentis conſcientiæ. Et ſi nihil mihi conſcius ſum, tamen in hoc iuſtificare me non poſſum: quia remota miſericordia tua, non iuſtificabitur in conſpectu tuo omnis viuens.

## CAP. XLVII.

### *Quòd omnia grauia pro æterna vita ſunt toleranda.*

1. FIli, non te frangant labores, quos aſſumpſiſti propter me, nec tribulationes te deijciant vſquequaque: ſed mea promiſſio, in omni euentu te roboret & conſoletur. Ego ſufficiens ſum, ad reddendum ſupra omnem modum & menſuram. Non diu hic laborabis, nec ſemper grauaberis doloribus. Expecta pauliſper, & videbis celerem finem malorum. Veniet vna hora, quando ceſſabit omnis labor & tumultus. Modicum eſt & breue, omne quod tranſit cum tempore.

2. Age, quod agis: fideliter labora in vinea mea, ego ero merces tua. Scribe, lege, canta,

χρῆσθαί με, ὁ τὴν ἀσθένειαν ϗ πονηρίαν τῶν ἀνθρώπων εἰδὼς, ἔσο ῥώμη μου, ϗ ὅλη πεποίθησίς μου· οὐ γὰρ ἡ συνείδησίς μου ἀρκεῖ μοι. σὺ οἶδας, ὅ,τι ἐγὼ οὐκ εἶδα, ϗ διὰ ταῦτα ἐν πάσῃ ἐπιτιμήσει ταπεινῶσαί με, ϗ πρᾴως ὑπομεῖναι ὤφειλον. ἔτι ἱλάσθητί μοι, ὁποσάκις οὕτως οὐκ ἐποίησα, ϗ δώρησαι πάλιν τῆς μείζονος ὑπομονῆς χάριν. τὸ γὰρ πολὺ ἔλεός σου εἰς τὸ τῆς συγγνώμης ἐπιτυχεῖν βέλτιόν μοί ἐστι, τῆς νομιζομένης δικαιοσύνης μου εἰς τὸ ἀπολογήσασθαι ὑπὲρ ἀποκρυπτομένης συνειδήσεως. εἰ γὰρ ϗ οὐδέν μοι σύνοιδα, ὅμως ἐν τούτῳ οὐ δικαιῶσαί με δύναμαι, ὅτι ἀποχωρισθέντος ἐλέους σου, οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

## Κεφ. μζ.

### Ὅτι πάντα τὰ δεινὰ ὑπὲρ τῆς αἰωνίου ζωῆς ἀνεκτέον.

ά. ΤΕκνον, μὴ καταγνύτωσάν σε οἱ πόνοι, οὓς δι' ἐμὲ ἦρας, οὐδὲ αἱ θλίψεις καταβαλλέτωσαν εἰς τέλος, ἀλλ' ἡ ἐπαγγελία μου ἐν πάσῃ ἀποβάσει σε κραταιούτω ϗ παρακαλείτω. ἐγὼ ἀρκῶ πρὸς τὸ ἀποδοῦναι, ὑπὲρ πάντα τρόπον ϗ μέτρον. οὐ πολὺν χρόνον ἐνθάδε πονήσεις, οὐδ' ἀεὶ βαρυνθήσῃ ταῖς ὀδύναις. προσδόκα μικρὸν, ϗ βλέψεις τὸ ὀξὺ τέλος τῶν κακῶν. ἐλεύσεται μία ὥρα, ὅτε ἅπας πόνος ϗ θόρυβος λήξει. μικρὸν ϗ βραχύ ἐστι πᾶν τὸ χρόνῳ συμπαραγόμενον.

β΄. Ποίησον ὃ ποιεῖς, πιστῶς πόνησον ἐν τῷ ἀμπελῶνί μου, ἐγὼ ἔσομαι ὁ μισθός σου· γράψον, ἀνάγνωθι,

canta, geme, tace, ora, ſuſtine viriliter contraria: digna eſt his omnibus, & maioribus prælijs vita æterna. Veniet pax in die vna, quæ nota eſt Domino; & erit, non dies neque nox huius ſcilicet temporis, ſed lux perpetua, claritas infinita, pax firma, & requies ſecura. Non dices tunc: Quis me liberabit de corpore mortis huius? Nec clamabis: Hei mihi, quia incolatus meus prolongatus eſt: quoniam præcipitabitur mors, & ſalus erit indefectiua: anxietas nulla, iucunditas beata, ſocietas dulcis & decora.

3. O ſi vidiſſes ſanctorum in cælo coronas perpetuas, quanta quoque nunc exultant gloria, (qui huic mundo olim contemptibiles, & quaſi vita ipſa indigni putabantur) profectò te ſtatim humiliares vſque ad terram, & affectares potiùs omnibus ſubeſſe, quàm vni præeſſe: nec huius vitæ lætos dies concupiſceres, ſed magis pro Deo tribulari gauderes: & pro nihilo inter homines computari, maximum lucrum duceres.

3. O ſi tibi hæc ſaperent, & profundè ad cor tranſirent, quomodo auderes vel ſemel conqueri? Nónne pro vita æterna, cuncta laborioſa ſunt toleranda? Non eſt paruum quid, perdere aut lucrari regnum Dei. Leua igitur faciem tuam in cælum. Ecce ego, & omnes ſancti mei mecum, qui in hoc ſæculo magnum habuere certamen, modò gaudent, modò conſolantur, modò ſecuri ſunt, modò requieſcunt, & ſine fine mecum in regno patris mei permanebunt.

Cap.

Digitized by Google

ᾆσον, στέναξον, σίγησον, προσεῦξαι, ὑπόμεινον ἀνδρείως τὰ ἐναντιούμενα· ἡ ζωὴ αἰώνιος πάντων τούτων καὶ μειζόνων πολέμων ἀξία ἐστίν. ἐλεύσεται ἡ εἰρήνη ἐν ἡμέρᾳ μιᾷ, ἥτις ἐγνώσθη τῷ κυρίῳ, καὶ ἔσται οὐχ ἡμέρα, οὐδὲ νὺξ τούτου δήπου χρόνου, ἀλλὰ φῶς αἰώνιον, λαμπρότης ἄπειρος, εἰρήνη βεβαία, καὶ ἀνάπαυσις ἀσφαλής. οὐ λέξεις τότε· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; οὐδὲ κεκράξῃ· οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη· ὅτι ὁ θάνατος κατακρημνισθήσεται. καὶ ἡ σωτηρία ἀνελλιπὴς ἔσται, ἀδημονία οὐδεμία, τερπνότης μακαρία, ἑταιρία ἡδεῖα καὶ εὐπρεπής.

γ'. Ὤφελον ἴδοις τοὺς τῶν ἁγίων αἰωνίους στεφάνους ἐν τῷ οὐρανῷ, ὁπόσῃ δόξῃ νῦν ἀγαλλιῶνται (οἱ τῷ κόσμῳ τούτῳ πάλαι εὐκαταφρόνητοι, καὶ τῆς ζωῆς ἀνάξιοι εἶναι δόξαντες) εὐθέως δὴ ἂν σὺ ἕως τῆς γῆς ἐταπείνους, καὶ μᾶλλον ἐσπούδαζες τοῖς πᾶσιν ὑποτάττεσθαι, ἢ ἑνὶ ἐπιστατεῖν· καὶ τῶν τῆς ζωῆς ταύτης ἱλαρῶν ἡμερῶν οὐκ ἐπεθύμεις, ἀλλὰ μᾶλλον ὑπὲρ τοῦ θεοῦ θλίβεσθαι ἔχαιρες, καὶ μεταξὺ τῶν ἀνθρώπων οὐδενὸς τιμᾶσθαι, μέγιστον κέρδος ἐνόμιζες.

δ'. Εἴθε ταῦτά σοι ἐγλυκαίνοιτο, καὶ βαθέως τῆς καρδίας ἐξικνοῖτο· πῶς ἂν ἅπαξ γε ἐτόλμας μεμψιμοιρεῖν; οὐχὶ ὑπὲρ τῆς αἰωνίου ζωῆς πάντα ἐπίπονα ἀνεκτέον; οὐ μικρόν ἐστιν ἀπολέσαι ἢ κερδῆσαι τὴν βασιλείαν τοῦ θεοῦ. ἆρον οὖν τὸ πρόσωπόν σου εἰς τὸν οὐρανόν. ἰδοὺ ἐγώ, καὶ πάντες οἱ ἅγιοί μου συνόντες μοι, καὶ ἐν τῷ κόσμῳ τούτῳ μέγαν ἀγῶνα ποιησάμενοι, νυνὶ χαίρουσι, νυνὶ παρακαλοῦνται, νυνὶ ἀσφαλῶς ἔχουσι, νυνὶ ἀναπαύονται, καὶ ἀπεράντως μετά μου ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου διαμενοῦσι.

## CAP. XLVIII.

### *De die æternitatis, & huius vitæ anguſtijs.*

1. O Supernæ ciuitatis manſio beatiſſima: O dies æternitatis clariſſima: quam nox non obſcurat, ſed ſumma veritas ſemper irradiat, dies ſemper læta, ſemper ſecura, & nunquam ſtatum mutans in contraria. O vtinam dies illa illuxiſſet, & cuncta hæc temporalia finem accepiſſent. Lucet quidem ſanctis perpetua claritate ſplendida, ſed non niſi à longè & per ſpeculum peregrinantibus in terra.

2. Norunt cæli ciues, quàm gaudioſa ſit illa: gemunt exules filij Euæ, quòd amara & tædioſa ſit iſta. Dies huius temporis parui & mali, pleni doloribus & anguſtijs: vbi homo multis peccatis inquinatur, multis paſſionibus irretitur, multis timoribus ſtringitur, multis curis diſtenditur, multis curioſitatibus diſtrahitur, multis vanitatibus implicatur, multis erroribus circumfunditur, multis laboribus atteritur, tentationibus grauatur, delitijs eneruatur, egeſtate cruciatur.

3. O quando finis horum malorum: quando liberabor à miſera ſeruitute vitiorum? quando memorabor Domine tui ſolius? quando ad plenum lætabor in te? Quando ero ſine omni impedimento in vera libertate, ſine omni grauamine mentis & corporis? Quando erit pax ſolida, pax imperturbabilis & ſecura, pax

intus

Κεφ. μη'.

Περὶ τῆς ἡμέρας τῆς ἀϊδιότητος, καὶ τῶν στενοχωριῶν τοῦ βίου τούτου.

ά. Ω μονὴ μακαριωτάτη τῆς ἄνω πόλεως· ὦ ἡμέρα λαμπροτάτη τῆς ἀϊδιότητος· ἣν τινα ἡ νὺξ οὐ σκοτίζει, ἀλλ' ὑπερτάτη ἀλήθεια πάντοτε ἀκτῖσι περικυκλοῖ, ἡμέρα ἀεὶ ἱλαρά, ἀεὶ ἀσφαλής, καὶ μηδέποτε τὴν κατάστασιν εἰς τοὐναντίον μεταβάλλουσα. εἴθε ἐκείνη ἡ ἡμέρα ἐπέλαμψε, καὶ πάντα τάδε τὰ πρόσκαιρα ἐτελέσθη. λάμπει μὲν τοῖς ἁγίοις τῷ αἰωνίῳ ἐπαυγάσματι στίλβουσα, ἀλλ' οὐ τοῖς ἐπὶ τῆς γῆς ἀποδημοῦσιν, εἰ μὴ μακρόθεν, καὶ δι' εἰσόπτρου.

β'. Γινώσκουσιν οἱ τοῦ οὐρανοῦ πολῖται, ὡς ἡ μὲν πολυγηθής ἐστι, ταύτην δὲ πικρὰν καὶ λυπηρὰν οὖσαν οἱ τῆς Ευας ἐξόριστοι παῖδες στενάζουσιν. αἱ τούτου τοῦ χρόνου ἡμέραι μικραὶ καὶ πονηραί, καὶ πλήρεις τῶν ὀδυνῶν καὶ στενοχωριῶν· ὅπου ὁ ἄνθρωπος πολλαῖς ἁμαρτίαις μολύνεται, πολλοῖς πάθεσι περιβάλλεται, πολλοῖς φόβοις πιέζεται, πολλαῖς μερίμναις περισπᾶται, πολλαῖς περιεργίαις διαμερίζεται, πολλαῖς ματαιότησιν ἐμπλέκεται, πολλοῖς σφάλμασι περιχεῖται, πολλοῖς καμάτοις συντρίβεται, τοῖς πειρασμοῖς βαρύνεται, ταῖς τρυφαῖς μαλακίζεται, τῇ ἐνδείᾳ ὀδυνᾶται.

γ'. Ω πότε τὸ τέλος τῶν κακῶν τούτων γενήσεται; πότε τῆς ἀθλίας δουλείας τῶν ἁμαρτιῶν ἐλευθερωθήσομαι; πότε σοῦ μόνου μνησθήσομαι; πότε ἐκπλέως ἐπὶ σοὶ χαρήσομαι; πότε ἐν τῇ ἀληθινῇ ἐλευθερίᾳ ἄνευ πάσης βαρύτητος τῆς ψυχῆς καὶ τοῦ σώματος ἀνεμπόδιστος ἔσομαι; πότε ἔσται ἡ εἰρήνη βεβαία, εἰρήνη ἀτάρακτος, καὶ ἀσφαλής, εἰρήνη

intùs & foris, pax ex omni parte firma? Ieſu bone, quando ſtabo ad videndum te? quando contemplabor gloriam regni tui, quando eris mihi omnia in omnibus? O quando ero tecum in regno tuo, quod præparaſti dilectis tuis ab æterno? Relictus ſum pauper & exul in terra hoſtili, vbi bella quotidiana, & infortunia maxima.

4. Conſolare exilium meum, mitiga dolorem meum, quia ad te ſuſpirat omne deſiderium meum. Nam onus mihi totum eſt, quicquid hic mundus offert ad ſolatium. Deſidero te intimè frui, ſed nequeo apprehendere. Opto inhærere cæleſtibus, ſed deprimunt res temporales, & immortificatæ paſſiones. Mente omnibus rebus ſupereſſe volo, carnem autem inuitè ſubeſſe cogor. Sic ego homo infelix mecum pugno, & factus ſum mihimetipſi grauis, dum ſpiritus ſurſum, & caro quærit eſſe deorſum.

5. O quid intùs patior, dum mente cæleſtia tracto, & mox carnalium turba occurrit oranti. Deus meus, ne elongeris à me, neque declines in ira à ſeruo tuo. Fulgura coruſcationem tuam, & diſſipa eas: emitte ſagittas tuas, & conturbentur omnes phantaſiæ inimici. Recollige ſenſus meos ad te: fac me obliuiſci omnium mundanorum: da citò abijcere, & contemnere phantaſmata vitiorum. Succurre mihi æterna veritas, vt nulla me moueat vanitas. Adueni cæleſtis ſuauitas, & fugiat à facie tua omnis impuritas. Ignoſce quoque mihi, &

Digitized by Google

ἔσω καὶ ἔξω, εἰρήνη πανταχόθεν στερεά; ὦ Ἰησοῦ ἀγαθέ, πότε στήσομαι τοῦ ὁρᾷν σε; πότε θεωρήσω τὴν δόξαν τῆς βασιλείας σου; πότε μοι τὰ πάντα ἐν πᾶσιν ἔσῃ; ὦ πότε μετά σου ἔσομαι ἐν τῇ βασιλείᾳ σου, ἣν τοῖς ἀγαπητοῖς ἑτοίμασας ἀπ' αἰῶνος; καταλείφθην πένης καὶ φυγὰς ἐν τῇ πολεμίᾳ, ὅπου μάχαι καθημεριναί, καὶ ἀτυχήματα μέγιστα.

δ'. Παραμυθοῦ τὴν φυγαδείαν μου, καταπράϋνε τὴν ὀδύνην μου, ὅτι πρός σε πᾶσα ἡ ἐπιθυμία μου στενάζει. βάρος γὰρ πᾶν ἐστιν, ὅ,τι ὁ κόσμος οὗτος εἰς παραμυθίαν πορίζει. ἐπιθυμῶ σου ἐνδότατα ἀπολαῦσαι, ἀλλ' οὐ δύναμαι καταλαβεῖν. εὔχομαι τοῖς ἐπουρανίοις συνάπτειν, ἀλλὰ τὰ πρόσκαιρα, καὶ τὰ πάθη οὐ νεκρωτὰ βρίθει. τῇ ψυχῇ μὲν πάντων περιγίνεσθαι ἐθέλω, τῇ δὲ σαρκὶ ἄκοντι ὑποτάττεσθαι ἀναγκάζομαι. τοῦτον τρόπον ἐγὼ ταλαίπωρος ἄνθρωπος μάχομαί μοι, κἀμοὶ φορτικὸς γέγονα, τοῦ μὲν πνεύματος ἄνω, τῆς δὲ σαρκὸς κάτω εἶναι ἐπιποθούσης.

ε. Ὦ τί ἐντὸς πάσχω, τὰ οὐράνια διανοούμενος, ὅτε εὐθέως ὁ τῶν σαρκικῶν ὄχλος μοι προσευχομένῳ ὑπέρχεται. ὁ θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ, μηδὲ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου· ἄστραψον τὴν ἀστραπήν σου, καὶ διασκόρπισον αὐτά· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράττωσαν πᾶσαι φαντασίαι τοῦ ἐχθροῦ. συνάγαγε τὰς αἰσθήσεις μου πρός σε· ποίησόν με ἀμνημονεῖν πάντων τῶν κοσμικῶν· παράσχου ταχέως ἀποβάλλειν, καὶ καταφρονεῖν πάντα φαντάσματα τῶν κακιῶν. βοήθησόν μοι αἰώνιε ἀλήθεια, ἵνα μή με κινήσῃ ἡ ματαιότης. ἐλθὲ αἰώνιε ἡδύτης, καὶ φυγέτω ἐνώπιόν σου πᾶσα ἀκαθαρσία. πρὸς τούτοις σύγγνωθί

hi, & miſericorditer indulge, quotiens præter te aliud in oratione reuoluo. Confiteor etenim verè, quia valde diſtractè me habere conſueui. Nam ibi multotiens non ſum, vbi corporaliter ſto aut ſedeo: ſed ibi magis ſum, quò cogitationibus feror. Ibi ſum, vbi cogitatio mea eſt. Ibi eſt frequenter cogitatio mea, ubi eſt, quod amo. Hoc mihi citò occurrit, quod naturaliter delectat, aut ex vſu placet.

6. Vnde tu veritas apertè dixiſti: Vbi enim eſt theſaurus tuus, ibi eſt & cor tuum. Si cælum diligo, libenter de cæleſtibus penſo. Si mundum amo, mundi felicitatibus congaudeo, & de aduerſitatibus eius triſtor. Si carnem diligo, quæ carnis ſunt ſæpe imaginor. Si ſpiritum amo, de ſpiritualibus cogitare delector. Quæcunque enim diligo, de his libenter loquor & audio, atque talium imagines mecum ad domum reporto. Sed beatus ille homo, qui propter te Domine, omnibus creaturis licentiam abeundi tribuit: qui naturæ vim facit, & concupiſcentias carnis feruore ſpiritus crucifigit: vt ſerenata conſcientia, puram tibi orationem offerat, dignusque ſit angelicis intereſſe choris, omnibus terrenis foris & intùs excluſis.

## CAP. XLIX.

*De deſiderio æternæ vitæ, & quanta ſint certantibus bona promiſſa.*

1. Fili

Digitized by Google

μοι, καὶ ἐλεεινῶς χάρισαι, ὁποσάκις ἄλλο πλὴν σοῦ ἐν προσευχῇ διανοοῦμαι. ὁμολογῶ γὰρ ἀληθῶς, ὅτι σφόδρα διασπασθῆναι εἴωθα. πολλάκις γὰρ ἐκεῖ οὐκ εἰμὶ, ὅπου σωματικῶς ἵσταμαι, ἢ καθίζω, ἀλλὰ μᾶλλον ἐκεῖ εἰμι, ὅποι τοῖς λογισμοῖς φέρομαι. ἐκεῖ εἰμι, ὅπου ὁ ἐμοῦ λογισμός ἐστιν. ἐκεῖ συχνῶς ὁ λογισμὸς μου ἐστὶν, ὅπου τὸ ἀγαπώμενόν μοι ἐστί. τοῦτο ταχέως ἐπέρχεταί μοι, ὅ,τι φυσικῶς με τέρπει, ἢ ἐκ τῆς χρήσεως ἀρέσκει.

ϛʹ. Ὅθεν σὺ ἀλήθεια σαφῶς εἶπες· ὅπου γάρ ἐστιν ὁ θησαυρός σου, ἐκεῖ ἐστι καὶ ἡ καρδία σου. εἰ τὸν οὐρανὸν ἀγαπῶ, ἀσμένως τὰ οὐράνια ἐννοῶ. εἰ τὸν κόσμον ἀγαπῶ, τοῖς τοῦ κόσμου εὐτυχήμασι συνήδομαι, καὶ ἐπὶ τοῖς ἀτυχήμασι λυποῦμαι. εἰ τὴν σάρκα ἀγαπῶ, τὰ τῆς σαρκὸς πολλάκις φαντάζομαι. εἰ τὸ πνεῦμα ἀγαπῶ, τῷ τὰ πνευματικὰ λογίζεσθαι τέρπομαι. ἅπαν ὅσον γὰρ ἀγαπῶ, περὶ τούτων ἑκόντι λαλῶ καὶ ἀκούω, καὶ αὐτῶν φαντάσματα μετά μου οἴκαδε ἀνακομίζω. ἀλλὰ μακάριος ὁ ἄνθρωπος, ὃς διά σε, κύριε, πᾶσι κτίσμασιν ἀποτάττεται, καὶ τὴν φύσιν βιώμενος τὰς τῆς σαρκὸς ἐπιθυμίας τῇ πνεύματος ζέσει σταυροῖ· ἵνα τῇ γαληνωθείσῃ συνειδήσει τὴν καθαρὰν προσευχὴν σοι προσενέγκῃ, καὶ τοῖς ἀγγελικοῖς χοροῖς παρεῖναι ἀξιωθῇ, πάντων τῶν ἐπιγείων ἔσω καὶ ἔξω ἀποκλεισθέντων.

## Κεφ. μθʹ.

### Περὶ τῆς ποθήσεως τοῦ αἰωνίου βίου, καὶ ὁπόσα ἀγαθὰ τοῖς ἀγωνιζομένοις ἐπηγγέλθη.

αʹ. Τέκνον,

1. Filli, cùm tibi deſiderium æternæ beatitudinis deſuper infundi ſentis, & de tabernaculo corporis exire concupiſcis, vt claritatem meam ſine viciſſitudinis vmbra contemplari poſſis: dilata cor tuum, & omni deſiderio hanc ſanctam inſpirationem ſuſcipe. Redde ampliſſimas supernæ bonitati gratias, quæ tecum ſic dignanter agit, clementer viſitat, ardenter excitat, potenter ſubleuat, ne proprio pondere ad terrena labaris. Neque enim hoc cogitatu tuo aut conatu accipis, ſed ſola dignatione supernæ gratiæ & diuini aſpectus: quatenus in virtutibus & maiori humilitate proficias, & ad futura certamina te præpares, mihique toto cordis affectu adhærere, ac feruenti voluntate ſtudeas deſeruire.

2. Fili, ſæpè ignis ardet, ſed ſine fumo flamma non aſcendit. Sic & aliquorum deſideria ad cæleſtia flagrant, & tamen à tentatione carnalis affectus liberi non ſunt. Idcirco nec omnino purè pro honore Dei agunt, quod tam deſideranter ab eo petunt. Tale eſt & tuum ſæpe deſiderium, quod inſinuaſti fore tam importunum. Non enim eſt hoc purum & perfectum, quod propria commoditate eſt infectum.

3. Pete, non quod tibi eſt delectabile & commodum, ſed quod mihi eſt acceptabile atque honorificum: quia ſi rectè iudicas, meam ordinationem, tuo deſiderio & omni deſiderato, præferre debes ac ſequi. Noui deſiderium tuum, & frequentes gemitus audiui. Iam velles eſſe in libertate gloriæ filio-

α. Τέκνον, ὅτε τὴν πόθησιν τῆς αἰωνίου ζωῆς ἄνωθέν σοι ἐγχυθεῖσαν αἰσθάνῃ, καὶ ἐκ τῆς σκηνῆς τοῦ σώματος ἐξελθεῖν ἐπιθυμεῖς, ἵνα τὴν δόξαν μου ἄνευ ἀποσκιάσματος τῆς τροπῆς θεωρῆσαι δυνηθῇς· πλάτυνον τὴν καρδίαν σου, καὶ πάσῃ ἐπιθυμίᾳ τὴν ἁγίαν ταύτην εἰσπνοιὴν ἀνάδεξαι. τῇ δ᾽ ἄνω ἀγαθότητι ὡς μάλιστα εὐχαρίστησον, ἥτις οὕτως εὐμενῶς σοι προσφέρεται, προσηνῶς ἐπισκέπτεται, ζεστῶς ἐγείρει, δυνατῶς ὑπεξαίρει, τοῦ μὴ ἰδίῳ βάρει εἰς τὰ ἐπίγεια ὀλισθαίνειν. οὐ γὰρ τοῦτο τῇ διανοίᾳ, ἢ τῇ ἐπιχειρήσει σου λαμβάνεις, ἀλλὰ τῇ μόνῃ ἀξιώσει τῆς ἄνω χάριτος, καὶ τῆς θείας ἐπόψεως, ἵν᾽ εἰς τὰς ἀρετὰς καὶ μείζω ταπεινότητα ἐπιδῷς, καὶ εἰς τοὺς μέλλοντας ἀγῶνάς σε ἑτοιμάσῃς, ὅλῃ τε διαθέσει τῆς καρδίας μοι συνάψῃς, καὶ ζεστῇ βουλήσει δουλεῦσαι ἐπιχειρήσῃς.

β′. Τέκνον, πολλάκις τὸ πῦρ ἀνάπτεται, ἀλλ᾽ ἄνευ τοῦ καπνοῦ ἡ φλὸξ οὐκ ἀναβαίνει. οὕτω καὶ αἱ ἐπιθυμίαι τινῶν ἐπὶ τὰ οὐράνια φέρονται, ἀλλ᾽ ὅμως τοῦ πειρασμοῦ τοῦ σαρκικοῦ παθήματος οὐκ εἰσὶν ἐλεύθεροι. διόπερ οὐ πάντως εἰλικρινῶς ὑπὲρ τῆς τοῦ θεοῦ δόξης πράττουσιν, ὅ, τι οὕτω θερμῶς παρ᾽ αὐτοῦ αἰτοῦσι. τοιαύτη ἐστὶ πολλάκις καὶ ἡ ἐπιθυμία σου, ἣν ἔσεσθαι οὕτως ἄκαιρον ἐπέδειξας. οὐ γάρ ἐστι καθαρὸν καὶ τέλειον, ὅ, τι τῇ ἰδίᾳ ὠφελείᾳ διεφθάρθη.

γ′. Αἴτησον, οὐ τὸ τερπνὸν καὶ ὠφέλιμόν σοι, ἀλλὰ τὸ εὐπρόσδεκτον καὶ ἔντιμόν μοι γινόμενον· εἰ γὰρ εὖ φρονεῖς, τὴν διάταξίν μου περὶ πλείονος ἡγεῖσθαι, καὶ μᾶλλον διώκειν ὀφείλεις τῆς ποθήσεώς σου, καὶ παντὸς τοῦ ἐπιποθημένου. ἐγὼ γινώσκω τὴν πόθησίν σου, καὶ τῶν συχνῶν στεναγμῶν ἤκουσα· νῦν βούλοιο ἂν εἶναι ἐν τῇ ἐλευθερίᾳ

filiorum Dei: iam te delectat domus æterna & cæleſtis patria gaudio plena, ſed nondum venit hora iſta: ſed eſt adhuc aliud tempus, ſcilicet tempus belli, tempus laboris & probationis. Optas ſummo repleri bono, ſed non potes hoc aſſequi modò. Ego ſum: expecta me (dicit Dominus) donec veniat regnum Dei.

4. Probandus es adhuc in terris, & in multis exercitandus. Conſolatio tibi interdum dabitur, ſed copioſa ſatietas non concedetur. Confortare igitur, & eſto robuſtus, tàm in agendo, quàm in patiendo naturæ contraria. Oportet te nouum induere hominem, & in alterum virum mutari. Oportet te ſæpè agere, quod non vis: & quod vis, oportet relinquere. Quod alijs placet, proceſſum habebit: quod tibi placet, vltrà non proficiet. Quod alij dicunt, audietur: quod tu dicis, pro nihilo computabitur. Petent alij, & accipient; tu petes, nec impetrabis.

5. Erunt alij magni in ore hominum, de te autem tacebitur. Alijs hoc vel illud committetur, tu autem ad nihil vtilis iudicaberis. Propter hoc natura quandoque contriſtabitur, & magnum, ſi ſilens portaueris. In his & ſimilibus multis, probari ſolet fidelis Domini ſeruus: qualiter ſe abnegare & in omnibus frangere quiuerit. Vix eſt aliquid tale, in quo tantundem mori indiges, ſicut videre & pati, quæ voluntati tuæ aduerſa ſunt: maximè autem

τῆς δόξης τῶν υἱῶν τοῦ θεοῦ· νῦν τέρπει σε ἡ αἰώνιος οἰκία, καὶ ἡ οὐράνιος πατρὶς πλήρης τῆς χαρᾶς, οὔπω δὲ ἡ ὥρα αὕτη ἦλθεν, ἀλλ' ἔτι ἄλλος χρόνος ἐστὶν, ὁ χρόνος δήπου τοῦ πολέμου, ὁ χρόνος τοῦ πόνου καὶ τῆς δοκιμασίας. ποθεῖς ἀναπληροῦσθαι τοῦ μεγίστου ἀγαθοῦ, ἀλλ' οὐ δύνῃ τούτου νῦν ἐφικέσθαι. ἐγώ εἰμι, προσδόκα με (φησὶν ὁ κύριος) ἕως ἂν ἔλθῃ ἡ βασιλεία τοῦ θεοῦ.

δ'. Ἔτι δοκιμάζεσθαί σε δεῖ ἐπὶ τῆς γῆς, καὶ ἐν πολλοῖς ἀσκεῖσθαι. ἡ παραμυθία ποτὲ δοθήσεταί σοι, ἀλλ' ἡ πολλὴ πλησμονὴ οὐ συγχωρηθήσεται. ἴσχυε τοίνυν καὶ ἀνδρίζου, ἐν τῷ τε πράττειν, καὶ ἐν τῷ πάσχειν τῇ φύσει τἀναντία. δεῖ σε ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, καὶ εἰς ἄλλον ἄνδρα μεταβάλλεσθαι. δεῖ σε πολλάκις πράττειν, ὅ,τι οὐκ ἐθέλεις, καὶ ὅ,τι θέλεις, καταλείπειν. τὸ μὲν ἄλλοις ἀρέσκον, εὐτυχήσει, τὸ δὲ σοὶ ἀρέσκον, οὐ προκόψει ἐπὶ πλεῖον. τὸ ὑπ' ἄλλων λεγόμενον, ἀκουσθήσεται, τὸ δὲ ὑπὸ σοῦ λεγόμενον ἐξουδενωθήσεται. οἱ ἕτεροι αἰτήσουσι, καὶ λήψονται· σὺ αἰτήσεις, καὶ οὐκ ἀνύσεις.

ε. Οἱ μὲν διαθρυλληθήσονται, σὺ δὲ σιωπηθήσῃ. ἄλλοι τοῦτο ἢ ἐκεῖνο πιστευθήσονται, σὺ δὲ εἰς μηδὲν ἰσχύειν δόξεις. διὰ τοῦτο ἡ φύσις ποτὲ λυπηθήσεται, καὶ θαύματος ἄξιον, εἰ σιωπῶν καρτερήσεις. ἐν τούτοις καὶ ἄλλοις τοῖς τοιούτοις πολλοῖς ὁ πιστὸς δοῦλος τοῦ κυρίου δοκιμάζεσθαι φιλεῖ, ὁποῖον τρόπον ἂν ἀπαρνήσασθαι καὶ ἐν πᾶσι νικῆσαι ἑαυτὸν δυνηθῇ. μόλις τοιοῦτό τι ἐστὶν, ἐν ᾧ οὕτως ἀναγκαῖον ἀποθανεῖν σε, ὡς ἐν τῷ ὁρᾶν καὶ πάσχειν τὰ τῷ θελήματί σου ἐναντιούμενα, μάλιστα

δὲ τῶν

autem, cùm diſconuenientia, & quæ minùs vtilia tibi apparent, fieri iubentur. Et quia non audes reſiſtere altiori poteſtati, ſub dominio conſtitutus: ideò durum tibi videtur, ad nutum alterius ambulare, & omne proprium ſentire omittere.

6. Sed penſa fili, horum fructum laborum, celerem finem, atque præmium nimis magnum: & non habebis inde grauamen, ſed fortiſſimum patientiæ tuæ ſolamen. Nam & pro modica hac voluntate, quam nunc ſponte deſeris, habebis ſemper voluntatem tuam in cælis. Ibi quippe inuenies omne, quod volueris: omne, quod deſiderare poteris. Ibi aderit tibi totius facultas boni, ſine timore amittendi. Ibi voluntas tua vna ſemper mecum, nil cupiet extraneum vel priuatum. Ibi nullus reſiſtet tibi, nemo de te conqueretur, nemo impediet, nihil obuiabit: ſed cuncta deſiderata ſimul erunt præſentia, totumque affectum tuum reficient, & adimplebunt vſque ad ſummum. Ibi reddam gloriam pro contumelia perpeſſa: pallium laudis, pro mœrore: pro loco nouiſſimo, ſedem regni in ſæcula. Ibi apparebit fructus obedientiæ, gaudebit labor pœnitentiæ, & humilis ſubiectio coronabitur glorioſè.

8. Nunc ergo inclina te humiliter ſub omnium manibus: nec ſit tibi curæ quis hoc dixerit vel iuſſerit. Sed hoc magnopere curato, vt ſiue Prælatus, ſeu iunior, aut æqualis, aliquid à te expopoſcerit vel innuerit, pro bono totum accipias, & ſyncera voluntate ſtudeas adimplere. Quærat alius hoc, alius illud: glorietur ille in illo, &

δὲ τῶν ἀναρμόςων, καὶ τὸ ἧττον ὠφέλιμον εἶναί σοι δοκούντων, γίνεσθαι κελευσθέντων. καὶ ὅτι ὑψηλοτέρᾳ ἐξουσίᾳ ἀντιςατεῖν οὐ τολμᾷς ὑπό τινι γινόμενος, διὰ τοῦτο σκληρόν σοι δοκεῖ, κατὰ τὸ νεῦμα ἄλλου περιπατεῖν, καὶ πᾶσαν ἰδίαν δόξησιν παραλείπειν.

ς΄. Ἀλλὰ μὴν ἐνθυμοῦ, τέκνον, τὸν καρπὸν τῶν πόνων τούτων, καὶ τὸ ὀξὺ τέλος, καὶ ἄγαν μέγα ἆθλον, καὶ ἐκ τούτου οὐ φορτίον ἕξεις, ἀλλ' ἰσχυροτάτην παραμυθίαν τῆς ὑπομονῆς. ἀντὶ γὰρ τῆς μικρᾶς βουλήσεως ταύτης, νυνὶ ἑκουσίως ὑπό σου καταλειφθείσης, τὴν βούλησίν σου πάντοτε ἐν τοῖς οὐρανοῖς ἕξεις. ἐκεῖ δὴ πᾶν εὑρήσεις, ὅ, τι ἂν βουληθῇς, καὶ ἐπιθυμεῖν δυνηθῇς. ἐκεῖ ἡ εὐπορία παντὸς ἀγαθοῦ παρέςαι σοι, ἄνευ φόβου τῆς ἀπωλείας. ἐκεῖ ἡ βούλησίς σου ὁμογνωμονοῦσά μοι, μηδὲν ἀλλότριον ἢ ἴδιον ἐπιποθήσει. ἐκεῖ οὐδεὶς ἀντιταχθήσεταί σοι, μηδεὶς μέμψεταί σοι, μηδεὶς ἐμποδίσει, μηδὲν ἐναντιώσεται, ἀλλὰ πάντα τὰ ἐπιποθέντα ἅμα παρέςαι, καὶ ὅλην τὴν διάθεσίν σου ἀναπαύσει καὶ γεμίσει ἕως ἄνω. ἐκεῖ ἀποδώσω τὴν τιμὴν ἀντὶ τῆς ὕβρεως, ἧς ὑπέμεινας· τὴν καταςολὴν δόξης, ἀντὶ τῆς λύπης· ἀντὶ τοῦ ἐσχάτου τόπου, τὸν θρόνον τῆς βασιλείας εἰς αἰῶνας. ἐκεῖ φανήσεται ὁ τῆς ὑπακοῆς καρπὸς, χαρήσεται ὁ τῆς μετανοίας πόνος, καὶ ἡ ταπεινὴ ὑποταγὴ ἐνδόξως ςεφανωθήσεται.

ζ΄. Νυνὶ γοῦν ταπεινῶς ὑποκλίθητι ταῖς χερσὶ πάντων, καὶ οὐ μελέτω σοι, τίς ἂν τοῦτο λέξῃ ἢ κελεύσῃ. ἀλλὰ σφόδρα ἐπιμελοῦ, ὅπως, εἴτε προεςάτης, εἴτε νεώτερος, εἴτε ἴσος σου αἰτήσει τι, ἢ ἐννεύσει, ἐπὶ παντὶ ςέρξῃς, καὶ εἰλικρινεῖ θελήματι ἀναπληρῶσαι σπουδάσῃς. ὁ μὲν τοῦτο, ὁ δ' ἐκεῖνο ζητείτω· ἄλλος ἐπὶ τούτῳ,

ἔπηρος

lo,& iſte in iſto, laudeturque millies mille: tu autem nec in iſto, nec in illo, ſed in tuiipſius gaude contemptu, & in mei ſolius beneplacito ac honore. Hoc optandum eſt tibi, vt ſiue per vitam, ſiue per mortem, Deus ſemper in te glorificetur.

## CAP. L.

### *Qualiter homo deſolatus, ſe debet in manus Dei offerre.*

1. DOmine Deus ſancte pater, ſis nunc & in æternum benedictus: quia ſicut vis, ſic factum eſt: & quod facis, bonum eſt. Lætetur in te ſeruus tuus, non in ſe, nec in aliquo alio: quia tu ſolus lætitia vera, tu ſpes mea & corona mea, tu gaudium meum & honor meus, Domine. Quid habet ſeruus tuus, niſi quod à te accepit, etiam ſine merito ſuo? Tua ſunt omnia, quæ dediſti & quæ feciſti. Pauper ſum, & in laboribus meis à iuuentute mea: & contriſtatur anima mea nonnunquam vſque ad lachrymas: quandoque etiam conturbatur ad ſe, propter imminentes paſſiones.

2. Deſidero pacis gaudium, pacem filiorum tuorum flagito, qui in lumine conſolationis à te paſcuntur. Si das pacem, ſi gaudium ſanctum infundis, erit anima ſerui tui plena modulatione, & deuota in laude tua. Sed ſi te ſubtraxeris, ſicut ſæpiſſimè ſoles, non poterit currere viã mandatorum tuorum: ſed magis ad tundendum pectus genua eius incuruantur, quia non eſt illi

ſicut

Digitized by Google

ἕτερος ἐπ' ἐκείνῳ καυχᾶσθαι, καὶ μυριάκις ἐπαινείσθω· σὺ δὲ μηδὲ τούτῳ, μηδ' ἐκείνῳ χαῖρε, ἀλλὰ τῇ σεαυτοῦ καταφρονήσει, καὶ τῇ εὐδοκίᾳ, καὶ τῇ τιμῇ μου μόνου. τοῦτο ὀφείλεις εὔχεσθαι, ἵνα ὁ θεὸς ἄν τε διὰ τῆς ζωῆς, ἄν τε διὰ τοῦ θανάτου, ἀεὶ ἐν σοὶ δοξασθῇ.

## Κεφ. ν'.

### Πῶς ἄνθρωπον ἀπαράκλητον εἰς τὰς χεῖρας τοῦ θεοῦ ἑαυτὸν προσφέρειν δεῖ.

ά. Κύριε ὁ θεὸς, ἅγιε πάτερ, νῦν καὶ εἰς τὸν αἰῶνα εὐλογήθητι· ὅτι καθὼς ἐθέλεις, οὕτω γεγένηται· καὶ ὅ,τι ποιεῖς, καλόν ἐστιν. εὐφρανθήτω ἐπί σοι ὁ δοῦλός σου, οὐκ ἐν αὐτῷ, οὐδ' ἐπ' ἄλλῳ τινί· ὅτι σὺ μόνος εὐφροσύνη ἀληθινή, σὺ ἐλπίς μου καὶ στέφανός μου, σὺ χαρά μου, καὶ τιμή μου, κύριε. τί ἔχει ὁ δοῦλός σου, εἰ μὴ ὅ,τι, καὶ ἄνευ ἀξίας αὐτοῦ, παρά σου ἔλαβε; σά ἐστι πάντα, ἅπερ ἔδωκας καὶ ἐποίησας. πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐκ νεότητός μου, ἥτε ψυχή μου ἕως τῶν δακρύων ποτὲ λυπεῖται, καὶ ἐφ' ἑαυτῆς διὰ τὰ ἐπικείμενα πάθη ἐνίοτε διαταράττεται.

β'. Ἐπιποθῶ τὴν τῆς εἰρήνης χαρὰν, τὴν εἰρήνην τῶν υἱῶν σου ἐξαιτῶ, οἳ ἐν τῷ φωτὶ τῆς παραμυθίας ὑπὸ σοῦ νέμονται. εἰ τὴν εἰρήνην δίδως, εἰ τὴν ἁγίαν χαρὰν ἐγχέεις, ἡ ψυχὴ τοῦ δούλου σου πλήρης τῆς μελῳδίας, καὶ ἐν τῷ ἐπαίνῳ σου εὐλαβὴς γενήσεται. ἐὰν δὲ σεαυτὸν ὑφελκύσῃς, καθὼς πλειστάκις εἴωθας, τὴν ὁδὸν μὲν τῶν ἐντολῶν σου δραμεῖν οὐ δυνήσεται, μᾶλλον δὲ εἰς τὸ τύπτειν τὸ στῆθος, τὰ γόνατα αὐτοῦ κάμπτεται, ὅτι οὐκ ἐστιν αὐτῷ, ὡς ἐχ-

ſicut heri & nudiuſtertiùs, quando ſplendebat lucerna tua ſuper caput eius, & ſub vmbra alarum tuarum protegebatur à tentationibus irruentibus.

3. Pater iuſte & ſemper laudande, venit hora vt probetur ſeruus tuus. Pater amande, dignũ eſt, vt hac hora patiatur pro te aliquid ſeruus tuus. Pater perpetuò venerande, venit hora, quam ab æterno præſciebas affuturam: vt ad modicum tempus ſuccumbat foris ſeruus tuus, viuat verò ſemper apud te intùs. Paululùm vilipendatur, humilietur, & deficiat coram hominibus, paſſionibus conteratur & languoribus: vt iterum tecum in aurora nouæ lucis reſurgat, & in cæleſtibus clarificetur. Pater ſancte, tu ſic ordinaſti, & ſic voluiſti: & hoc factum eſt, quod ipſe præcepiſti.

4. Hæc eſt enim gratia ad amicum tuum, pati & tribulari in mundo pro amore tuo, quotieſcunque, & à quocunque id permiſeris fieri. Sine conſilio & prouidentia tua, & ſine cauſa nihil fit in terra. Bonum mihi Domine, quòd humiliaſti me: vt diſcam iuſtificationes tuas, & omnes elationes cordis, atque præſumptiones abijciam. Vtile mihi, quòd confuſio cooperuit faciem meam: vt te potiùs quàm homines, ad conſolandum requiram. Didici etiam ex hoc, inſcrutabile iudicium tuum expaueſcere: qui affligis iuſtum cum impio, ſed non ſine æquitate & iuſtitia.

5. Gratias tibi ago, quia non pepercisti malis meis, ſed attriuiſti me verberibus amaris, infligens dolores, & immittens anguſtias foris & intùs. Non eſt, qui me conſoletur ex omnibus qui ſub cælo ſunt, niſi tu Domine

Deus

ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν, ὅτε ηὔγει ὁ λύχνος σου ὑπὲρ κεφαλῆς αὐτοῦ, καὶ ἐν σκέπῃ τῶν πτερύγων σου ἐσκεπάζετο ἀπὸ πειρασμῶν εἰσβαλλόντων.

γ΄. Πάτερ δίκαιε, καὶ ἀεὶ ἀξιέπαινε, ἦλθεν ἡ ὥρα τοῦ δοκιμασθῆναι τὸν δοῦλόν σου. πάτερ προσφιλές, προσῆκον τὸν δοῦλόν σου τῇ ὥρᾳ ταύτῃ παθεῖν τι ὑπὲρ σοῦ. πάτερ ἀεὶ αἰδέσιμε, ἦλθεν ἡ ὥρα, ἣν ἐσομένην ἀπ' αἰῶνος προέγνως· ἵν' ἐπὶ μικρὸν μὲν χρόνον ὁ δοῦλός σου ἔξω ἡττηθῇ, ἀεὶ δ' ἔσω παρά σοι ζήσῃ. μικρὸν ἀτελεσθήτω, ταπεινωθήτω, καὶ ἐνώπιον τῶν ἀνθρώπων ἐλλειψάτω, τοῖς πάθεσι καὶ νοσήμασι συντριβέτω, ἵνα πάλιν μετά σου ἐν ἠοῖ τοῦ νέου φωτὸς ἀναστῇ, καὶ ἐν τοῖς ἐπουρανίοις δοξασθῇ. πάτερ ἅγιε, σὺ οὕτω διέταξας, καὶ οὕτως ἠθέλησας· καὶ τοῦτο ἐγένετο, ὅ,τι αὐτὸς ἐκέλευσας.

δ΄. Αὕτη γὰρ ἡ χάρις πρὸς τὸν φίλον σου, πάσχειν καὶ θλίβεσθαι ἐν τῷ κόσμῳ ὑπὲρ τῆς ἀγάπης σου, ὁποσάκισοῦν, καὶ ὑφ' ὁτινοσοῦν τοῦτο γίνεσθαι ἐάσῃς. ἄνευ τῆς βουλῆς καὶ προνοίας σου, καὶ ἀναιτίως ἐπὶ τῆς γῆς μηδὲν γίνεται. ἀγαθόν μοι κύριε, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου, καὶ πάσας ἐπάρσεις τῆς καρδίας καὶ προλήψεις ἀποβάλω. χρήσιμόν μοι, ὅτι ἡ αἰσχύνη τὸ πρόσωπόν μου ἐκάλυψεν, ἵνα μᾶλλόν σε ἢ τοὺς ἀνθρώπους εἰς παραμυθίαν ἐπιζητήσω. ἐκ τούτου καὶ τὴν ἀνεξερεύνητον κρίσιν σου φοβεῖσθαι ἔμαθον· ὃς τὸν δίκαιον σὺν τῷ ἀδίκῳ θλίβεις, ἀλλ' οὐκ ἀνόμως καὶ ἀδίκως.

ε΄. Εὐχαριστῶ σοι, ὅτι οὐκ ἐφείσω τῶν κακῶν μου, ἀλλὰ πικραῖς πληγαῖς ἐπέτριψάς με, ὀδύνας ἐμφορῶν, καὶ ἐκτὸς καὶ ἐντὸς στενοχωρῶν. οὐκ ἔστιν ὁ παρακαλῶν με ἐκ πάντων τῶν ὑπὸ τὸν οὐρανὸν γινομένων, πλὴν σὺ κύριε ὁ

θεός

Deus meus cæleſtis medicus animarum: qui percutis & ſanas, deducis ad inferos & reducis. Diſciplina tua ſuper me, & virga tua ipſa me docebit.

6. Ecce pater dilecte, in manibus tuis ſum ego, ſub virga correctionis tuæ me inclino: percute dorſum meum, & collum meum, vt incuruem ad voluntatem tuam, tortuoſitatem meam. Fac me pium & humilem diſcipulum, ſicut bene facere conſueuiſti, vt ambulem ad omnem nutum tuum. Tibi me, & omnia mea, ad corrigendum commendo: meliùs eſt hic corripi, quàm in futuro. Tu ſcis omnia & ſingula, & nil te latet in humana conſcientia. Antequam fiant, noſti ventura; & non opus eſt tibi, vt quis te doceat, aut admoneat de his quæ geruntur in terra. Tu ſcis, quid expedit ad profectum meum, & quantùm deſeruit tribulatio, ad rubiginem vitiorum purgandam. Fac mecum deſideratum beneplacitum tuum, & ne deſpicias peccaminoſam vitam meam, nulli meliùs nec clariùs, quàm tibi ſoli notam.

7. Da mihi Domine ſcire, quod ſciendum eſt: hoc amare, quod amandum eſt: hoc laudare, quod tibi ſummè placet: hoc reputare, quod tibi pretioſum apparet: hoc vituperare, quod oculis tuis ſordeſcit. Non me ſinas ſecundùm viſionem oculorum exteriorum iudicare: neque ſecundùm auditum aurium hominum imperitorum ſententiare: ſed in iudicio vero, de viſibilibus & ſpiritualibus diſcernere, atque ſuper omnia voluntatem beneplaciti tui, ſemper inquirere.

8. Fallun-

θεός μου, ὁ οὐράνιος ἰατρὸς τῶν ψυχῶν· ὁ μαστιγῶν καὶ ἰώμενος· ὁ κατάγων εἰς ᾅδου, καὶ ἀνάγων· ἡ παιδεία σου ὑπὲρ ἐμέ, καὶ ἡ ῥάβδος σου αὕτη με διδάξει.

ς΄. Ἰδοὺ πάτερ ἀγαπητέ, ἐν ταῖς χερσί σου ἐγώ εἰμι, τῇ ῥάβδῳ τῆς παιδεύσεώς σου ὑποκλίνομαι· τύπτε τὸν νῶτόν μου, καὶ τὸν τράχηλόν μου, ἵνα σκολιότητά μου εἰς τὸ θέλημά σου ἐπικάμψω. ποίησόν με εὐλαβῆ καὶ ταπεινὸν μαθητήν, καθάπερ σὺ εὖ εἴωθας ποιῆσαι, ἵνα πρὸς πᾶν τὸ νεῦμά σου περιπατήσω. σοὶ ἐμὲ καὶ πάντα τὰ ἐμὰ εἰς τὸ παιδεύεσθαι ἐπιτρέπω· βέλτιον γάρ ἐστιν ἐνθάδε παιδεύεσθαι, ἢ ἐν τῷ μέλλοντι. σὺ γινώσκεις πάντα καὶ ἕκαστα, καὶ ἐν τῇ ἀνθρωπίνῃ συνειδήσει μηδέν σε λανθάνει. πρὸ τοῦ γίνεσθαι, οἶδας τὰ μέλλοντα, καὶ οὐ χρείαν ἔχεις, ἵνα τις διδάξῃ σε, ἢ τὰ ἐπὶ τῆς γῆς γινόμενα, ἀναμνήσῃ. σὺ οἶδας, τί ἂν συμφέρῃ τῇ προκοπῇ μου, καὶ ὅσον ὠφελεῖ ἡ θλῖψις, πρὸς τὸ τὸν ἰὸν τῶν κακιῶν καθαρίσαι. ποίησον μετά μου τὴν εὐδοκίαν σου τὴν ἐπιπόθητον, καὶ μὴ καταφρόνησον τοῦ βίου μου ἁμαρτητικοῦ, τοῦ μηδενὶ μᾶλλον ἢ σαφέστερον, ἢ σοὶ μόνῳ ἐγνωσμένου.

ζ΄. Παράσχου μοι, κύριε, γνῶναι τὸ γνωστέον· φιλεῖν τὸ φιλητέον· ἐπαινεῖν τὸ μάλιστά σοι ἀρέσκον· τιμᾷν τὸ τίμιόν σοι δοκοῦν· ψέγειν τὸ ἐνώπιόν σου ῥυπαινόμενον. μὴ ἔασόν με κατὰ τὴν ὅρασιν τῶν ὀφθαλμῶν τῶν ἔξω κρίνειν, μηδὲ κατὰ τὴν ἀκοὴν τῶν ὤτων τῶν ἀπείρων ἀνθρώπων τὴν γνώμην ἀποφαίνεσθαι· ἀλλὰ τῇ ἀληθινῇ κρίσει περὶ τῶν ὁρατῶν καὶ πνευματικῶν ψηφίζεσθαι, καὶ ὑπὲρ πάντα τὴν εὐδοκίαν σου ἐπιζητεῖν.

η΄. Ἐξαπα-

3. Falluntur ſæpè hominum ſenſus in iudicando: falluntur & amatores ſeculi, viſibilia tantummodò amando. Quid eſt homo inde melior, quia reputatur ab homine maior? Fallax fallacem, vanus vanum, cæcus cæcum, infirmus infirmum decipit dum exaltat: & veraciter magis confundit, dum inaniter laudat. Nam quantùm vnuſquiſque eſt in oculis tuis, tantum eſt, & non amplius, ait humilis ſanctus Franciſcus.

## CAP. LI.

### *Quòd humilibus inſiſtendum eſt operibus, cùm deficitur à ſummis.*

1. Fili, non vales ſemper in feruentiori deſiderio virtutum ſtare, nec in altiori gradu contemplationis conſiſtere: ſed neceſſe habes interdum, ob originalem corruptelam ad inferiora deſcendere: & onus corruptibilis vitæ, etiam inuitè, & cum tædio portare. Quamdiu mortale corpus geris, tædium ſenties, & grauamen cordis. Oportet ergo ſæpè in carne, de carnis onere gemere: eò quòd non vales ſpiritualibus ſtudijs, & diuinæ contemplationi indeſinenter inhærere.

2. Tunc expedit tibi ad humilia & exteriora opera confugere, & in bonis actibus te recreare: aduentum meum, & ſupernam viſitationem, firma confidentia expectare: exilium tuum, & ariditatem mentis patienter ſufferre, donec iterum à me viſiteris, & ab omnibus anxietatibus libereris. Nam faciam te laborum obliuiſci, & interna quiete perfrui.

Expan-

Digitized by Google

ιά. Ἐξαπατῶνται πολλάκις αἱ τῶν ἀνθρώπων αἰσθήσεις ἐν τῷ κρίνειν· ἐξαπατῶνται καὶ οἱ φιλόκοσμοι τὰ ὁρατὰ μόνον ἀγαπῶντες. τί ὁ ἄνθρωπος βελτίων ἐστίν, ὁ ὑπὸ τοῦ ἀνθρώπου μείζων νομιζόμενος; ὁ ἀπατηλὸς τὸν ἀπατηλόν, ὁ μάταιος τὸν μάταιον, ὁ τυφλὸς τὸν τυφλόν, ὁ ἀσθενὴς τὸν ἀσθενῆ ἀπατᾷ, αὐτὸν ὑψῶν, καὶ ἀληθῶς μᾶλλον καταισχύνει αὐτὸν κενῶς ἐπαινῶν. ὅσον γὰρ εἷς ἕκαστος ἐν ὀφθαλμοῖς σου ἐστί, τοσοῦτο καὶ οὐ πλέον ἐστί, φησὶν ὁ ταπεινὸς ἅγιος Φράγκισκος.

Κεφ. να΄.

Ὅτι δεῖ τοὺς ἀπολειπομένους τῶν ὑψίστων, τοῖς ταπεινοῖς ἔργοις προσκεῖσθαι.

α΄. Τέκνον, οὐκ ἰσχύεις ἀεὶ τῇ τῶν ἀρετῶν ζέσει ποθήσει ἐμμένειν, οὐδὲ τῷ ὑψηλοτέρῳ βαθμῷ τῆς θεωρίας ἐφίστασθαι, ἀλλὰ διὰ τὴν φθορὰν τὴν ἐγγενῆ, ἐπάναγκές ποτε εἰς τὰ κάτω σε καταβαίνειν, καὶ τὸ φορτίον τῆς φθαρτῆς ζωῆς ἄκοντι καὶ ἀηδῶς βαστάζειν. ἐφ' ὅσον τὸ θνητὸν σῶμα κομίζεις, τὴν ἀηδίαν, καὶ τὴν τῆς καρδίας βαρύτητα αἰσθήσῃ. δεῖ τοίνυν πολλάκις τὸν ἐν τῇ σαρκὶ ὄντα, τὸ βάρος τῆς σαρκὸς στενάζειν, ἀνθ' ὧν οὐχ οἷός τ' εἶ τῇ πνευματικῇ ἀσκήσει, καὶ τῇ θείᾳ θεωρίᾳ ἀδιαλείπτως προσκαρτερεῖν.

β΄. Τότε λυσιτελεῖ σοι εἰς τὰ ταπεινὰ καὶ τὰ ἔξω ἔργα καταφεύγειν, καὶ ταῖς ἀγαθαῖς πράξεσιν σεαυτὸν ἀναλαμβάνειν· τὴν ἄφιξίν μου, καὶ τὴν ἄνω ἐπίσκεψιν τῇ βεβαίᾳ πεποιθήσει προσδοκᾶν· τὴν φυγαδείαν σου καὶ τὴν ξηροκαρδίαν εὐγνωμόνως ὑπομένειν, ἕως ἂν πάλιν ὑπ' ἐμοῦ ἐπισκοπηθῇς, καὶ πασῶν ἀδημονιῶν ἀπαλλαγῇς. ποιήσω γάρ σε τῶν πόνων ἀμνημονεῖν, καὶ τῆς ἔσω ἡσυχίας ἀπολαύειν.

Ὁ διαπε-

Digitized by Google

Expandam coram te prata ſcripturarum, vt dilatato corde, currere incipias viam mandatorum meorum. Et dices: non ſunt condignæ paſſiones huius temporis, ad futuram gloriam, quæ reuelabitur in nobis.

## CAP. III.

*Quòd homo non reputet ſe conſolatione dignum, ſed magis verberibus reum.*

1. DOmine, non ſum dignus conſolatione tua, nec aliqua ſpirituali viſitatione: & ideo iuſtè mecum agis, quando me inopem & deſolatum relinquis. Si enim ad instar maris lachrymas fundere poſſem, adhuc conſolatione tua dignus non eſſem. Vnde nihil dignus ſum, quàm flagellari & puniri: quia grauiter & ſæpè te offendi, & in multis valde deliqui. Ergo vera penſata ratione, nec minima ſum dignus conſolatione. Sed tu clemens & miſericors Deus, qui non vis perire opera tua, ad oſtendendum diuitias bonitatis tuæ in vaſa miſericordiæ, etiam præter omne proprium meritum, dignaris conſolari ſeruum tuum ſupra humanum modum. Tuæ enim conſolationes, non ſunt ſicut humanæ confabulationes.

2. Quid egi Domine, vt mihi conferres aliquam cæleſtem conſolationem? Ego nihil boni me egiſſe recolo, ſed ſemper ad vitia pronum, & ad emendationem pigrum fuiſſe. Verum eſt, & negare non poſſum. Si aliter dicerem,

Digitized by Google

ἀναπετάσω ἐνώπιόν σου τὰ βιβλία τῶν γραφῶν, ἵνα πλατυνθεὶς τὴν καρδίαν ἄρξῃ τὴν ὁδὸν τῶν ἐντολῶν μου δραμεῖν, καὶ λέξῃς· τὰ παθήματα τοῦ νῦν καιροῦ οὐκ ἄξιά ἐστι πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

## Κεφ. νβʹ.

### Ἵν' ὁ ἄνθρωπος μὴ νομίζῃ ἑαυτὸν τῆς παραμυθίας ἄξιον, μᾶλλον δὲ ταῖς πληγαῖς ἔνοχον.

α. Κύριε, οὐκ εἰμὶ ἄξιος τῆς παραμυθίας σου, οὐδέ τινος πνευματικῆς ἐπισκέψεως· διὰ τοῦτο δικαίως μοι προσφέρῃ, πένητα καὶ ἔρημόν με καταλείπων. εἰ γὰρ τῆς θαλάσσης δίκην τὰ δάκρυα ἐκχέειν ἠδυνάμην, οὔπω ἂν τῆς παρακλήσεώς σου ἄξιος ἐγινόμην. διὸ μηδενὸς ἄξιός εἰμι, ἢ τοῦ μαστιγοῦσθαι καὶ κολάζεσθαι, ὅτι δεινῶς καὶ πολλάκις σοι προσέκρουσα, καὶ πάμπολλα ἔπταισα. ἀληθῶς οὖν τοῦ λόγου συναρθέντος, καὶ τῆς ἐλαχίστης παραμυθίας ἀνάξιος τυγχάνω. σὺ δὲ προσηνὴς καὶ ἐλεήμων θεός, ὁ μὴ βουλόμενος τὰ ἔργα σου ἀπολέσθαι, τοῦ ἀποδεῖξαι τὸν πλοῦτον τῆς χρηστότητός σου, εἰς τὰ σκεύη τοῦ ἐλέους, καὶ παρὰ πᾶσαν ἰδίαν ἀξίαν, ἀξιοῖς τὸν δοῦλόν σου ὑπὲρ πάντα τρόπον ἀνθρώπειον παρακαλεῖν. αἱ γὰρ παρακλήσεις σου, οὐκ εἰσὶν ὡς αἱ τῶν ἀνθρώπων ὁμιλίαι.

β. Τί ἐποίησα κύριε, ἵνα μοι δῷς τινα παραμυθίαν οὐράνιον; ἐγὼ οὐ μέμνημαι ἀγαθόν τι ποιήσας, ἀλλ' ἀεὶ πρὸς τὰ κακὰ εὐέμπλαστος, καὶ εἰς τὴν κατόρθωσιν ὀκνηρὸς γενόμενος. ἀληθές ἐστι τοῦτο, καὶ ἐξαρνεῖσθαι οὐ δύναμαι. εἰ ἄλλως

dicerem, tu ſtares contra me, & non eſſet qui defenderet. Quid merui pro peccatis meis, niſi infernum, & ignem æternum? In veritate confiteor, quoniam dignus ſum omni ludibrio & contemptu, nec decet me inter tuos deuotos commemorari. Et licet hoc ægrè audiam, tamen aduerſum me, pro veritate, peccata mea arguam, vt faciliùs miſericordiam tuam merear impetrare.

3. Quid dicam reus, & omni confuſione plenus? Non habeo os loquendi niſi hoc tantùm verbum: Peccaui Domine, peccaui: miſerere mei, ignoſce mihi. Sine me paululùm, vt plangam dolorem meum, antequam vadam ad terram tenebroſam, & opertam mortis caligine. Quid tam maximè à reo & miſero peccatore requiris, niſi vt conteratur, & humiliet ſe pro delictis ſuis? In vera contritione & cordis humiliatione, naſcitur ſpes veniæ, reconciliatur perturbata conſcientia, reparatur gratia perdita, tuetur homo à futura ira, & occurrunt ſibi mutuò in oſculo ſancto, Deus & pœnitens anima.

4. Humilis peccatorum contritio, acceptabile tibi eſt Domine ſacrificium, longè ſuauiùs odorans in conſpectu tuo, quàm thuris incenſum. Hæc, eſt gratum etiam vnguentum, quod ſacris pedibus tuis infundi voluiſti: quia cor contritum & humiliatum nunquam deſpexiſti. Ibi eſt locus refugij à facie iræ inimici. Ibi emendatur & abluitur, quicquid aliunde contractum eſt & inquinatum.

Cap.

Digitized by Google

ἔλεγον, σὺ ἄν μοι ἀνθίστασο, καὶ οὐκ ἦν ὁ ἀπολογούμενος. τίνος ἠξιώθην ἀντὶ τῶν ἁμαρτιῶν μου, εἰ μὴ τοῦ ᾅδου καὶ τοῦ πυρὸς αἰδίου; ἀληθῶς ὁμολογοῦμαι ἄξιος εἶναι παντὸς ἐμπαιγμοῦ καὶ καταφρονήσεως, καὶ οὐ πρέπει τοῖς εὐλαβέσι σου ἐμὲ συγκαταψηφίζεσθαι. κἂν δὲ τοῦτο ἀκούων δυσχεραίνω, ὅμως κατ' ἐμοῦ ὑπὲρ τῆς ἀληθείας τὰ ἁμαρτήματά μου ἐλέγξω, ἵνα ῥᾷον ὑπὸ σου ἐλεηθῆναι ἀξιωθῶ.

γ'. Τί ἂν λέξω ὑπεύθυνος ὤν, καὶ πάσης αἰσχύνης πλήρης; ἄστομος τυγχάνω τοῦ λαλεῖν, εἰ μὴ μόνον τοῦτον λόγον· ἥμαρτον κύριε, ἥμαρτον· ἐλέησόν με, σύγγνωθί μοι. ἔασόν με μικρὸν, τὴν ὀδύνην μου πενθῆσαι πρὸ τοῦ με πορευθῆναι εἰς γῆν σκοτεινὴν, καὶ κεκαλυμμένην τῷ τοῦ θανάτου γνόφῳ. τί μᾶλλον παρὰ τοῦ ἐνόχου καὶ ἀθλίου ἁμαρτωλοῦ αἰτεῖς, ἢ τὸ συντρίβεσθαι αὐτὸν, καὶ ὑπὲρ τῶν πλημμελημάτων ἑαυτὸν ταπεινοῦν; τῇ ἀληθινῇ συντρίψει καὶ ταπεινώσει τῆς καρδίας ἡ τῆς συγγνώμης ἐλπὶς ἐγγίνεται, ἡ διαταραχθεῖσα συνείδησις καταλλάττεται, ἡ χάρις ἀπολωλυῖα ἀναλαμβάνεται, ὁ ἄνθρωπος ἀπὸ τῆς μελλούσης ὀργῆς διαφυλάττεται, καὶ ὅ,τε θεὸς καὶ ἡ ψυχὴ μετανοοῦσα ἐν τῷ φιλήματι ἁγίῳ ἀλλήλοις συναντῶσιν.

δ'. Η ταπεινὴ τῶν ἁμαρτιῶν σύντριψις εὐπρόσδεκτός σοι, κύριε, θυσία ἐστιν, ἡ ἐνώπιον τοῦ θεοῦ πολλῷ ἡδύτερον εὐωδιάζουσα τοῦ θυμιάματος τοῦ λιβάνου. αὕτη, καὶ τὸ ἐπίχαρι μύρον ἐστιν, ὅ,τι τοῖς ἁγίοις ποσί σου ἐγχυθῆναι ἠθέλησας, ὅτι καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην οὐδέποτε ἐξουδένωσας. ἐκεῖ ἐστι τόπος καταφυγῆς ἀπὸ προσώπου τοῦ ἐχθροῦ. ἐκεῖ ἐπανορθοῦται καὶ ἀπολούεται πᾶν, ὅ,τι ἀλλαχόθεν ἐσπιλώθη καὶ κατερρυπώθη.

## Cap. LIII.

### *Quòd gratia Dei non miſcetur terrena ſapientibus.*

1. Fili, pretioſa eſt gratia mea, non patitur ſe miſceri extraneis rebus, nec conſolationibus terrenis. Abijcere ergo oportet omnia impedimenta gratiæ, ſi optas eius infuſionem ſuſcipere. Pete ſecretum tibi, ama ſolus habitare tecum, nullius require confabulationem: ſed magis ad Deum deuotam effunde precem, vt compunctam teneas mentem, & puram conſcientiam. Totum mundum nihil æſtima: Dei vacationem, omnibus exterioribus antepone. Non enim poteris mihi vacare, & in tranſitorijs pariter delectari. A notis & à charis oportet elongari, & ab omni temporali ſolatio mentem tenere priuatam. Sic obſecrat B. Apoſtolus Petrus, vt tanquam aduenas & peregrinos in hoc mundo ſe contineant Chriſti fideles.

2. O quanta fiducia erit morituro, quem nullius rei affectus detinet in mundo. Sed ſic ſegregatum cor habere ab omnibus, æger necdum capit animus, nec animalis homo nouit interni hominis libertatem. Attamen ſi verè velit eſſe ſpiritualis, oportet eum renunciare tam remotis quàm propinquis: & à nemine magis cauere, quàm à ſeipſo. Si temetipſum perfectè viceris, cætera faciliùs ſubiugabis. Perfecta victoria eſt, de ſemetipſo triumphare. Qui enim ſemetipſum ſubiectum tenet, vt ſenſualitas rationi,

& ra-

## Κεφ. νγ'.

### Ὅτι ἡ χάρις τοῦ θεοῦ τοῖς τὰ ἐπίγεια φρονοῦσιν οὐκ ἐπιμίγνυται.

α'. Τέκνον, ἡ χάρις μου τιμία οὖσα οὐκ ἐᾷ τοῖς ἔξω, ἢ ταῖς ἐπιγείοις παραμυθίαις ἑαυτὴν ἐπιμίγνυσθαι. δεῖ οὖν πάντα ἐμποδίσματα τῆς χάριτος ἀποβαλεῖν, ἐὰν τὴν αὐτῆς ἔγχυσιν λαβεῖν ἐπιποθήσῃς. αἴτει σοι τὸ ἀποκρύπτεσθαι, φίλει τὸ ἰδιάζειν, μηδενὶ συνομιλεῖν ἐπιπόθει· ἀλλὰ μᾶλλον τὰς ἱκετείας τῷ θεῷ εὐλαβῶς ποίει, τοῦ ἔχειν νοῦν συντυχθέντα καὶ καθαρὰν συνείδησιν. ὅλον τὸν κόσμον δεῖ μηδενὸς ποιεῖν· τὸ τοῖς τοῦ θεοῦ σχολάζειν πάντων τῶν ἔξω προτίμα. οὐ γὰρ δυνήσῃ ἐμοὶ σχολάζειν, καὶ τοῖς προσκαίροις ἅμα ἐφήδεσθαι. ἐπάναγκες ἀπὸ τῶν γνωστῶν καὶ ἀγαπητῶν μακρύνεσθαι, καὶ τὴν ψυχὴν πάσης χρονικῆς παραμυθίας ἀποστερηθεῖσαν ἔχειν. τοῦτον τρόπον ὁ μακάριος ἀπόστολος Πέτρος παρακαλεῖ, ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τοὺς πιστοὺς τοῦ Χριστοῦ ἐν τούτῳ κόσμῳ.

β'. Ὦ πόση πεποίθησις ἔσται τῷ θανουμένῳ, ὃν μηδενὸς ἐπιθυμία ἐν τούτῳ τῷ κόσμῳ κατέχει· καίτοι τὸ τὴν καρδίαν οὕτω πάντων χωρισθεῖσαν ἔχειν, ὁ νοῦς λυπηρὸς οὐ χωρεῖ, οὐδὲ ψυχικὸς ἄνθρωπος τὴν τοῦ ἔσω ἀνθρώπου ἐλευθερίαν γινώσκει. ἀλλὰ μὴν τὸν ἀληθῶς πνευματικὸν εἶναι βουλόμενον, δεῖ τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς ἀποτάττεσθαι, καὶ ἀπὸ μηδενὸς μᾶλλον, ἢ ἀφ' ἑαυτοῦ ἑαυτὸν φυλάττειν. ἐὰν σεαυτοῦ τελείως κρατήσῃς, τἄλλα ῥᾷον ὑποτάξεις. τελεία νίκη ἐστὶν τὸ ἑαυτὸν θριαμβεύειν. ὁ γὰρ ἑαυτὸν ὑποτάξας, ἵνα τὸ αἰσθητικὸν τῷ λόγῳ,

& ratio in cunctis obediat mihi, hic verè victor eſt ſui, & Dominus mundi.

3. Si ad hunc apicem ſcandere gliſcis, oportet viriliter incipere, & ſecurim ad radicem ponere, vt euellas & deſtruas occultam inordinatam inclinationem ad teipſum, & ad omne priuatum & materiale bonum. Ex hoc vitio, quòd homo ſemetipſum nimis inordinatè diligit, penè totum pendet, quicquid radicaliter vincendum eſt: quo deuicto & ſubacto malo, pax magna, & tranquillitas erit continuò. Sed quia pauci ſibiipſis perfectè mori laborant, nec plenè extra ſe tendunt, propterea in ſe implicati remanent, nec ſupra ſe in ſpiritu eleuari poſſunt. Qui autem liberè mecum ambulare deſiderat, neceſſe eſt, vt omnes prauas & inordinatas affectiones ſuas mortificet, atque nulli creaturæ, priuato amore concupiſcenter inhæreat.

## CAP. LIIII.

### *De diuerſis motibus naturæ & gratiæ.*

1. FIli, diligenter aduerte motus naturæ & gratiæ, quia valdè contrariè & ſubtiliter mouentur: & vix, niſi à ſpirituali & intimè illuminato homine, diſcernuntur. Omnes quidem bonum appetunt, & aliquid boni in ſuis dictis vel factis prætendunt, ideo ſub ſpecie boni multi falluntur. Natura callida eſt, & multos trahit, illaqueat, & decipit, & ſe ſemper pro fine habet. Sed gratia ſimpliciter ambulat,

& ab

Digitized by Google

καὶ ὁ λόγος ἐν πᾶσιν ἐμοὶ ὑπακούσῃ, ἀληθῶς ἑαυτοῦ νικητὴς καὶ κύριος τοῦ κόσμου γίνεται.

γ'. Ἐὰν ἐπὶ τοῦτο τὸ ἄκρον ἐφικέσθαι ἐπιποθήσῃς, ἀνάγκη ἀνδρείως ἄρξασθαι, καὶ τὴν ἀξίνην πρὸς τὴν ῥίζαν θεῖναι, ὅπως ἐκριζώσῃς καὶ κατασκάψῃς τὴν κεκρυμμένην καὶ ἄτακτον ἐπίκλισιν τὴν πρὸς σεαυτὸν, πρός τε πᾶν ἴδιον καὶ ὑλικὸν ἀγαθόν. ἐκ ταύτης γὰρ κακίας, ὅτι ὁ ἄνθρωπος ἄγαν ἀτάκτως φίλαυτος ὑπάρχει, σχεδὸν πᾶν ὅ,τι ῥιζόθεν νικητέον, κρέμαται· οὗτινος κακοῦ νικηθέντος καὶ ὑποταχθέντος, μεγάλη εἰρήνη καὶ γαλήνη παραυτίκα γενήσεται. ὅτι δὲ ὀλίγοι ἑαυτοῖς τελείως ἀποθανεῖν ἐπιχειροῦσιν, καὶ παντελῶς ἑαυτῶν οὐκ ἐκπορεύονται, διὰ ταῦτα ἐν ἑαυτοῖς ἐμπλεχθέντες διατελοῦσιν, καὶ τῷ πνεύματι ὑπὲρ ἑαυτῶν ἐπαρθῆναι οὐχ οἷοί τ' εἰσί. τὸν δὲ μετά μου ἐλευθέρως περιπατεῖν ἐθέλοντα δεῖ πάντα κακὰ καὶ ἄτακτα πάθη νεκρῶσαι, καὶ μηδεμιᾷ κτίσει, ἰδίᾳ ἀγάπῃ ἐπιθυμητικῶς προσκολλᾶσθαι.

## Κεφ. νδ.

## Περὶ τῶν διαφόρων κινήσεων τῆς φύσεως καὶ τῆς χάριτος.

α'. Τέκνον, τὰς τῆς φύσεως καὶ τῆς χάριτος κινήσεις ἀκριβῶς σκόπει, ὅτι λίαν ἐναντίως καὶ λεπτῶς κινοῦνται· καὶ μόλις, εἰ μὴ ὑπὸ πνευματικοῦ καὶ ἐνδότατα πεφωτισμένου ἀνθρώπου διαγινώσκονται. πάντες μὲν τοῦ ἀγαθοῦ ὀρέγονται, καὶ ἐν τοῖς λόγοις καὶ ταῖς πράξεσιν αὐτῶν ἀγαθόν τι προφασίζονται, διὸ ὑπ' εἴδει τοῦ ἀγαθοῦ πολλοὶ ἀπατῶνται. ἡ φύσις δολερὰ οὖσα πολλοὺς ἑλκύζει, καὶ παγιδεύει, σφάλλει τε, καὶ ἑαυτὴν αἰτὶ τοῦ πέρατος ἔχει. ἡ δὲ χάρις ἁπλῶς περιπατεῖ,

 καὶ ἀπὸ

& ab omni ſpecie mala declinat: fallacias non prætendit, & omnia purè propter Deum agit, in quo & finaliter requieſcit.

2. Natura inuitè vult mori, nec premi, nec ſuperari, nec ſubeſſe, nec ſponte ſubiugari. Gratia verò ſtudet mortificationi, propriæ reſiſtit ſenſualitati, quærit ſubiici, appetit vinci, nec propria vult libertate fungi: ſub diſciplina amat teneri, nec alicui cupit dominari, ſed ſub Deo ſemper viuere, ſtare & eſſe: atque propter Deum, omni humanæ creaturæ humiliter parata eſt inclinari. Natura pro ſuo commodo laborat, & quid lucri ex alio ſibi proueniat, attendit. Gratia autem, non quid ſibi vtile & commodum ſit, ſed quod multis proficiat magis conſiderat. Natura libenter honorem & reuerentiam accipit: Gratia verò omnem honorem & gloriam Deo fideliter attribuit.

3. Natura confuſionem timet & contemptum: Gratia autem gaudet pro nomine Ieſu pati contumeliam. Natura otium amat, & quietem corporalem: Gratia verò vacua eſſe non poteſt, ſed libenter amplectitur laborem. Natura quærit habere curioſa & pulchra, abhorret vilia & groſſa: Gratia verò, ſimplicibus delectatur & humilibus, aſpera non aſpernatur, nec vetuſtis refugit indui pannis. Natura reſpicit temporalia, gaudet ad lucra terrena.

triſta-

καὶ ἀπὸ παντὸς εἴδους κακοῦ ἐκκλίνει, τὸν δόλους οὐ προτείνει, καὶ πάντα εἰλικρινῶς διὰ τὸν θεὸν πράττει, ἐν ᾧ καὶ τελευταῖον ἀναπαύεται.

ϛ'. Η φύσις ἄκοντι ἀποθνήσκειν, οὐ πιέζεσθαι, οὐδὲ νικᾶσθαι, οὐδὲ ὑποτάττεσθαι, οὐδ' αὐτομάτως ὑπό τινι εἶναι βούλεται. ἡ δὲ χάρις περὶ τῆς ἰδίας νεκρώσεως σπουδάζει, τῇ ἰδίᾳ αἰσθητικῇ ἀντιστατεῖ, ἐπιποθεῖ ὑποτάττεσθαι, ἐφίεται νικᾶσθαι, οὐκ ἐθέλει ἰδίως ἐλευθεριάζειν, ὑπὸ παιδείᾳ κατεχομένη χαίρει, καὶ μηδενὸς μὲν κυριεύειν, ὑπὸ δὲ τοῦ θεοῦ πάντοτε ζῆν, διαμένειν, καὶ γίνεσθαι γλίχεται, πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν θεὸν ταπεινῶς ὑποταγῆναι ἑτοίμη ὑπάρχουσα. ἡ φύσις ὑπὲρ τῆς ὠφελείας αὐτῆς ἐπιπονεῖ, καὶ τί ποτε ἐξ ἄλλου κερδήσῃ λογίζεται. ἡ δὲ χάρις οὐ τὸ ὠφέλιμον καὶ λυσιτελὲς αὐτῇ, ἀλλὰ τὸ πολλοῖς συμφέρον μᾶλλον ἐνθυμεῖται. ἡ φύσις ἀσμένως τὴν τιμὴν καὶ τὴν αἰδῶ λαμβάνει· ἡ δὲ χάρις πᾶσαν τιμὴν καὶ δόξαν τῷ θεῷ πιστῶς ἀνατίθεται.

γ'. Η φύσις τὴν αἰσχύνην καὶ τὴν καταφρόνησιν φοβεῖται· ἡ δὲ χάρις ὑπὲρ τοῦ ὀνόματος τοῦ Ιησοῦ ἀτιμασθεῖσα χαίρει. ἡ φύσις τὴν ἀπονίαν, καὶ τὴν σωματικὴν ἀνάπαυσιν ἀγαπᾷ· ἡ δὲ χάρις ἀργεῖν οὐ δύναται, ἀλλ' ἀσμένως τὸν πόνον ἀποδέχεται. ἡ φύσις τὰ περίεργα καὶ καλὰ ἔχειν ἐπιποθεῖ, καὶ τὰ εὐτελῆ καὶ παχυλὰ βδελύττεται· ἡ δὲ χάρις τοῖς ἁπλοῖς καὶ ταπεινοῖς ἥδεται, τὰ τραχέα οὐ μυσάττεται, καὶ τὸ τὰ παλαιὰ ῥάκη ἐνδύεσθαι οὐ βαρέως φέρει. ἡ φύσις εἰς τὰ πρόσκαιρα ἀποβλέπει, τοῖς ἐπιγείοις κέρδεσιν χαίρει,

ἐπὶ

triſtatur de damno, irritatur leui iniuriæ verbo: Sed gratia attendit æterna, non inhæret temporalibus, nec in perditione rerum turbatur, neque verbis durioribus acerbatur: quia theſaurum ſuum & gaudium in cælo, vbi nil perit, conſtituit.

4. Natura cupida eſt, & libentiùs accipit, quàm donat, amat propria & priuata: Gratia autem pia eſt & communis, vitat ſingularia, contentatur paucis, beatiùs dare iudicat, quàm accipere. Natura inclinat ad creaturas, ad carnem propriam, ad vanitates & diſcurſus: Sed gratia trahit ad Deum & ad virtutes: renunciat creaturis, fugit mundum, odit carnis deſideria, reſtringit euagationes, erubeſcit in publico apparere. Natura libenter aliquod ſolatium habet externum, in quo delectetur ad ſenſum: Sed gratia in ſolo Deo quærit conſolari, & in ſummo bono ſuper omnia viſibilia delectari.

5. Natura totum agit propter lucrum & commodum proprium, nihil gratis facere poteſt, ſed aut æquale, aut melius, aut laudem, vel fauorem pro benefactis conſequi ſperat: & multùm ponderari ſua geſta & dona concupiſcit. Gratia verò, nil temporale quærit, nec aliud præmium quàm Deum ſolum, pro mercede poſtulat: nec ampliùs de temporalibus neceſſarijs deſiderat, niſi quantùm hæc ſibi ad aſſequutionem æternorum valeant deſeruire.

6. Natura gaudet de amicis multis & propinquis,

ἐπὶ τῇ βλάβῃ λυπεῖται, κούφῳ λόγῳ τῆς ὕβρεως παροξύνεται· ἡ δὲ χάρις τὰ αἰώνια σκοπεῖ, τοῖς χρονικοῖς οὐ προσκολλᾶται, οὐδὲ τῇ τῶν ὑπαρχόντων ἀπωλείᾳ ταράττεται, οὐδὲ τῇ σκληρολογίᾳ πικροῦται, ὅτι τὸν θησαυρὸν καὶ τὴν χαρὰν αὐτῆς ἐν τῷ οὐρανῷ, ὅπου μηδὲν ἀπόλλυται, καθίστησιν.

δ'. Η φύσις ἐπιθυμητικῶς ἔχει, καὶ ἀσμενέστερον λαμβάνει ἢ δωρεῖται, καὶ τὰ ἴδια καὶ οἰκεῖα φιλεῖ· ἡ δὲ χάρις εὔσπλαγχνος καὶ κοινή ἐστι, τὰ ἴδια φεύγει, ὀλίγοις στέργει, μακάριον εἶναι διδόναι μᾶλλον ἢ λαμβάνειν νομίζει. ἡ φύσις ἀποκλίνει πρὸς τὰς κτίσεις, πρός τε τὴν ἰδίαν σάρκα, καὶ πρὸς τὰς ματαιότητας καὶ διαδρομάς· ἡ δὲ χάρις πρὸς τὸν θεὸν καὶ τὰς ἀρετὰς ἑλκύει, τοῖς κτήμασιν ἀποτάττεται, τὸν κόσμον φεύγει, τὰς τῆς σαρκὸς ἐπιθυμίας μισεῖ, τὰς ἀλητείας συστέλλει, δημοσίᾳ φαινομένη αἰσχύνεται. ἡ φύσις τῆς παραμυθίας τῆς ἔξω ἐπιθυμεῖ, ᾗ ἂν κατὰ τὰς αἰσθήσεις τέρπηται· ἡ δὲ χάρις ἐν μόνῳ τῷ θεῷ παρακαλεῖσθαι, καὶ τῷ τελευταίῳ ἀγαθῷ ὑπὲρ πάντα ὁρατὰ ἐφήδεσθαι ἐπιποθεῖ.

ε. Η φύσις διὰ τὸ κέρδος καὶ ἰδίαν ὠφέλειαν πάντα ποιεῖ, μηδὲν δωρεὰν ποιῆσαι δυναμένη, ἀλλ' ἢ τοῦ ἴσου, ἢ βελτίονος, ἢ ἐπαίνου, ἢ εὐνοίας ἀντὶ τῶν εὐεργετημάτων ἐπιτεύξεσθαι ἐλπίζουσα, τὰς πράξεις τε αὐτῆς καὶ τὰ δῶρα πολὺ σταθμᾶσθαι ἐφίεται. ἡ δὲ χάρις μηδὲν πρόσκαιρον ζητεῖ, καὶ οὐκ ἄλλο ἆθλον ἢ μόνον τὸν θεὸν ἀντὶ τοῦ μισθοῦ αἰτεῖ, οὐδέ τι τῶν τοῦ βίου ἀναγκαίων ἐπιποθεῖ, εἰ μὴ ὅσον ἂν εἰς τὸ ἐφικέσθαι τῶν αἰωνίων ὠφελήσῃ.

ς'. Η φύσις ἐπὶ πολλοῖς φίλοις καὶ προσήκουσι χαίρει, τὸν

quis, gloriatur de nobili loco, & ortu generis: arridet potentibus, blanditur diuitibus, applaudit ſibi ſimilibus. Gratia autem, & inimicos diligit, nec de amicorum turba extollitur; nec locum, nec ortum natalium reputat, niſi virtus maior ibi fuerit: fauet magis pauperi quàm diuiti, compatitur plus innocenti quàm potenti, congaudet veraci non fallaci: exhortatur ſemper bonos meliora chariſmata æmulari, & filio Dei per virtutes aſſimilari. Natura de defectu & moleſtia citò conqueritur: Gratia conſtanter fert inopiam.

7. Natura omnia ad ſe reflectit, pro ſe certat & arguit. Gratia autem ad Deum cuncta reducit, vnde originaliter emanant: nihil boni ſibi aſſcribit, nec arroganter præſumit; non contendit, nec ſuam ſententiam alijs præfert: ſed in omni ſenſu & intellectu, æternæ ſapientiæ ac diuino examini, ſe ſubmittit. Natura appetit ſcire ſecreta, & noua audire: vult exteriùs apparere, & multa per ſenſus experiri: deſiderat agnoſci & agere, vnde laus & admiratio procedit. Sed gratia non curat noua, nec curioſa percipere: quia totum hoc de vetuſtate corruptionis eſt ortum, cùm nihil nouum & durabile ſit ſuper terram. Docet itaque ſenſus reſtringere, vanam complacentiam & oſtentationem deuitare, laudanda & dignè miranda humiliter abſcondere,

& de

ρει, τὸν λαμπρὸν τόπον καὶ τὴν εὐγένειαν αὔχει· τοῖς δυνατοῖς προσμειδιᾷ, τοῖς πλουσίοις κολακεύει, τοῖς αὐτῇ ὁμοίοις ἐπικροτεῖ. ἡ δὲ χάρις καὶ τοὺς ἐχθροὺς ἀγαπᾷ, καὶ τῷ τῶν φίλων πλήθει οὐκ ἐπαίρεται, οὐδὲ τὸν τόπον, οὐδὲ τὸ γένος περὶ πολλοῦ ποιεῖται, εἰ μὴ ἡ ἀρετὴ ἐκεῖ ὑπερέχει· τῷ πτωχῷ μᾶλλον, ἢ τῷ πλουσίῳ πρόσκειται· τῷ ἀκάκῳ πλέον, ἢ τῷ δυνατῷ συμπάσχει· τῷ ἀληθευτικῷ, ἀλλ' οὐ τῷ ἀπατηλῷ συγχαίρει. τοὺς ἀγαθοὺς ἀεὶ προτρέπει ζηλοῦν τὰ χαρίσματα τὰ κρείττονα, καὶ τῷ τοῦ θεοῦ υἱῷ δι' ἀρετῶν ὁμοιοῦσθαι. ἡ φύσις ἐπὶ τῇ ἐνδείᾳ καὶ λύπῃ ταχέως ἀγανακτεῖ· ἡ δὲ χάρις τὴν ἀπορίαν εὐσταθῶς καρτερεῖ.

ζ. Η φύσις πάντα εἰς ἑαυτὴν ἀνακάμπτει, ὑπέρ τε ἑαυτῆς ἀγωνίζεται, καὶ ἐλέγχει. ἡ δὲ χάρις πάντα εἰς τὸν θεὸν ἀναφέρει, ὅθεν ὡς ἀπ' ἀρχῆς προέρχεται· μηδὲν ἀγαθὸν αὐτῇ ἀνατίθησιν, μηδ' ἀλαζονικῶς προλαμβάνει, μηδ' ἐρίζει, μηδὲ τὴν γνώμην αὐτῆς τῶν ἄλλων προκρίνει, ἀλλ' ἐν πάσῃ διανοίᾳ καὶ συνέσει, τῇ αἰωνίῳ σοφίᾳ καὶ τῇ τοῦ θεοῦ ἐξετάσει ἑαυτὴν ὑποτάττει. ἡ φύσις ἐπιποθεῖ τὰ ἀπόρρητα εἰδέναι, καὶ τῶν καινῶν ἀκοῦσαι, ἐθέλει ἔξω φαίνεσθαι, καὶ πολλὰ δι' αἰσθήσεως πειρᾶσαι· ἐφίεται γνωσθῆναι καὶ πρᾶξαι, ἐξ ὧν ἔπαινος καὶ θαυμασμὸς γίνεται. τῇ δὲ χάριτι οὐ μέλει τὰ καινὰ ἢ τὰ πάρεργα αἰσθέσθαι· ὅτι τοῦτο ὅλον ἐκ τῆς φθορᾶς τῆς παλαιότητος ἔφυ, μηδενὸς καινοῦ καὶ διαρκοῦς ἐπὶ τῆς γῆς γινομένου. διδάσκει τοίνυν τὰς αἰσθήσεις κατέχειν, τὴν ματαίαν αὐθάδειαν καὶ ἐπίδειξιν φεύγειν, τὰ ἀξιέπαινα καὶ θαυμάσια ταπεινῶς ἀποκρύπτειν,

καὶ ἐκ

& de omni re, & in omni ſcientia, vtilitatis fructum atque Dei laudem, & honorem quærere. Non vult ſe nec ſua prædicari, ſed Deum in donis ſuis optat benedici, qui cuncta ex mera charitate largitur.

8. Hæc gratia ſupernaturale lumen, & quoddam Dei ſpeciale donum eſt, & propriè electorum ſignaculum, & pignus ſalutis æternæ: quæ hominem de terrenis ad cæleſtia amanda ſuſtollit, & de carnali ſpiritualem efficit. Quantò igitur natura ampliùs premitur & vincitur: tantò maior gratia infunditur, & quotidie nouis viſitationibus interior homo, ſecundùm imaginem Dei, reformatur.

## Cap. LV.

### *De corruptione naturæ & efficacia gratiæ diuinæ.*

1. DOmine Deus meus, qui me creaſti ad imaginem & ſimilitudinem tuam, concede mihi hanc gratiam, quam oſtendiſti tam magnam, & neceſſariam ad ſalutem: ut vincam peſſimam naturam meam, trahentem ad peccata & in perditionem. Sentio enim in carne mea legem peccati, contradicentem legi mentis meæ & captiuum me ducentem ad obediendum ſenſualitati in multis: nec poſſum reſiſtere paſſionibus eius, niſi aſſiſtat tua ſanctiſſima gratia, cordi meo ardenter infuſa.

Opus eſt gratia tua, & magna gratia: vt vincatur natura, ad malum ſemper prona ab adoleſcentia ſua. Nam per primum hominem

καὶ ἐκ παντὸς πράγματος καὶ ἐν πάσῃ ἐπιστήμῃ τὸν τῆς ὠφελείας καρπὸν, καὶ τὸν τοῦ θεοῦ ἔπαινον καὶ τιμὴν ζητεῖν. οὐ θέλει ἑαυτὴν ἢ τὰ ἑαυτῆς ἐγκωμιάζεσθαι, ἀλλ' εὔχεται τὸν θεὸν, τὸν πάντα ἐκ τῆς εἰλικρινοῦς ἀγάπης χαριζόμενον ἐν τοῖς δώροις αὐτοῦ εὐλογεῖσθαι.

η'. Αὕτη ἡ χάρις ὑπερφυὲς φῶς καὶ ἐξαίρετον δῶρόν τι τοῦ θεοῦ ἐστιν, ἰδίως τε σφραγὶς τῶν ἐκλεκτῶν, καὶ ἐνέχυρον τῆς αἰωνίου σωτηρίας, ἡ τὸν ἄνθρωπον ἐκ τῶν ἐπιγείων εἰς τὸ τὰ ἐπουράνια ἀγαπᾷν ἐπαίρουσα, καὶ ἐκ σαρκικοῦ πνευματικὸν ἀπεργαζομένη. διόπερ ὅσῳ μᾶλλον ἡ φύσις πιέζεται καὶ νικᾶται, τοσούτῳ μείζων χάρις ἐγχεῖται, καὶ ὁ ἔσω ἄνθρωπος καθ' ἑκάστην ταῖς καιναῖς ἐπισκέψεσι, κατ' εἰκόνα τοῦ θεοῦ, μεταμορφοῦται.

Κεφ. νε'.

## Περὶ τῆς φθορᾶς τῆς φύσεως, καὶ τῆς ἐνεργείας τῆς θείας χάριτος.

α'. Κύριε, ὁ θεός μου, ὁ κατ' εἰκόνα καὶ ὁμοιότητά σου ἐμὲ ποιήσας, δώρησαί μοι τὴν χάριν ταύτην, ἣν οὕτω μεγάλην καὶ τῇ σωτηρίᾳ ἀναγκαίαν ἐπέδειξας, ὅπως τῆς κακίστης φύσεώς μου, τῆς εἰς τὰ ἁμαρτήματα καὶ ἀπώλειαν ἑλκυούσης περιγένωμαι. αἰσθάνομαι γὰρ ἐν τῇ σαρκί μου τὸν νόμον τῆς ἁμαρτίας τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με εἰς τὸ πειθαρχεῖν τῷ αἰσθητικῷ ἐν πολλοῖς· καὶ οὐχ οἷός τ' εἰμὶ τοῖς πάθεσιν αὐτοῦ ἀντιστατεῖν, ἐὰν μὴ ἡ ἁγιωτάτη σου χάρις, τῇ καρδίᾳ μου θερμῶς ἐγχυθεῖσα παραστῇ.

β'. Ἀναγκαία ἐστὶν ἡ χάρις σου, καὶ δὴ μεγάλη χάρις τοῦ νικηθῆναι τὴν φύσιν τὴν ἀεὶ ἐγκειμένην ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτῆς. αὐτῆς γὰρ διὰ τοῦ πρωτο-

πλάστου

nem Adam lapſa, & viciata per peccatum, in omnes homines pœna huius maculæ deſcendit: vt ipſa natura, quæ bene & recta à te condita fuit, pro vitio iam, & infirmitate corruptæ naturæ ponatur, eò quòd motus eius ſibi relictus, ad malum & inferiora trahat. Nam modica vis, quæ remanſit, eſt tanquam ſcintilla quædam latens in cinere. Hæc eſt ipſa ratio naturalis, circumfuſa magna caligine, adhuc iudicium habens boni & mali, veri falſique diſtantiam, licet impotens ſit adimplere omne quod approbat, nec pleno iam lumine veritatis, nec ſanitate affectionum ſuarum potiatur.

3. Hinc eſt Deus meus, quòd condelector legi tuæ ſecundùm interiorem hominem, ſciens mandatum tuum fore bonum, iuſtum & ſanctum, arguens etiam omne malum, & peccatum fugiendum. Carne autem ſeruio legi peccati, dum magis ſenſualitati obedio, quàm rationi. Hinc eſt, quòd velle mihi bonum adiacet, perficere autem non inuenio. Hinc ſæpè multa bona propono, ſed quia gratia deeſt ad adiuuandum infirmitatem meam, ex leui reſiſtentia reſilio & deficio. Hinc accidit, quòd viam perfectionis agnoſco, & qualiter agere debeam, clarè ſatis video: ſed propriæ corruptionis pondere preſſus, ad perfectiora non aſſurgo.

4. O quàm maximè eſt mihi neceſſaria, Domine

tua

πλάστου Ἀδὰμ πεσούσης, καὶ διὰ τὸ ἁμάρτημα διαφθαρείσης, εἰς πάντας ἀνθρώπους ἡ ποινὴ τοῦ σπίλου τούτου κατέβη· ὥστε τὴν φύσιν τὴν καλὴν καὶ εὐθεῖαν ὑπὸ σοῦ κτισθεῖσαν, νῦν ἀντὶ κακίας καὶ ἀσθενείας τῆς φύσεως τῆς διεφθαρμένης ληφθῆναι, ὅτι τὸ κίνημα αὐτῆς αὐτῷ καταληφθὲν, εἰς τὸ κακὸν καὶ τὰ κάτω ἑλκύει. ἡ γὰρ μικρὰ δύναμις ἡ ὑποληφθεῖσα, ὡς σπινθήρ τις ἐν τῷ σποδῷ ἀποκεκρυμμένη ἐστίν. οὗτός ὁ φυσικὸς λόγος ὑπάρχει, πολὺ σκοτισθεὶς, καὶ τὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ κρίσιν, τήν τε τοῦ ἀληθοῦς καὶ τοῦ ψευδοῦς διαφορὰν ἔχων, εἰ καὶ ἀδυνατεῖ πληρῶσαι πᾶν ὅ,τι δοκιμάζει, καὶ νῦν οὐ τοῦ πλήρους φωτὸς τῆς ἀληθείας, οὐδὲ τῆς ὑγιείας τῶν παθῶν αὐτοῦ ἀπολαύει.

γ'. Διὰ ταῦτα ὁ θεός μου, συνήδομαι τῷ νόμῳ σου κατὰ τὸν ἔσω ἄνθρωπον, γινώσκων ὅτι ἡ ἐντολή σου ἀγαθὴ, δικαία καὶ ἁγία ἐστὶ, ἐλέγχουσα ὅτι δεῖ πᾶν κακὸν καὶ ἁμάρτημα φεύγειν. τῇ δὲ σαρκὶ δουλεύω τῷ νόμῳ τῆς ἁμαρτίας, τῇ αἰσθητικῇ δυνάμει μᾶλλον, ἢ τῷ λόγῳ ὑπακούων. ὅθεν τὸ μὲν θέλειν ἀγαθὸν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι οὐχ εὑρίσκω. ὅθεν πολλάκις πολλὰ ἀγαθὰ προαιροῦμαι, ἀλλὰ τῆς χάριτος εἰς τὸ συναντιλαμβάνειν ταῖς ἀσθενείαις μου, ἀπολειπούσης, διὰ τὴν ῥᾳδίαν ἀντίστασιν ἀποστρέφομαι καὶ ἐλλείπω. ὅθεν συμβαίνει τὴν μὲν τῆς τελειότητος ὁδὸν ἐμὲ γινώσκειν, καὶ πῶς ἂν δέῃ με πράττειν, πάνυ σαφῶς βλέπειν, τῷ δὲ τῆς ἰδίας φθορᾶς βάρει πιεσθέντα εἰς τὰ τελειότερα οὐκ ἀνίστασθαι.

δ'. Ὢς πολλὴν χρείαν ἔχω, κύριε, τῆς χάριτός σου,

εἰς τὸ

tua gratia ad inchoandum bonum, ad proficiendum, & ad perficiendum. Nam ſine ea nihil poſſum facere: omnia autem poſſum in te, confortante me gratia. O verè cæleſtis gratia, ſine qua nulla ſunt propria merita, nulla quoque dona naturæ, ponderanda. Nihil artes, nihil diuitiæ, nihil pulchritudo vel fortitudo: nihil ingenium vel eloquentia, valent apud te, Domine ſine gratia. Nam dona naturæ, bonis & malis ſunt communia : electorum autem proprium donum eſt gratia ſiue dilectio, qua inſigniti, digni habentur vita æterna. Tantùm eminet hæc gratia, vt nec donum Prophetiæ, nec ſignorum operatio, nec quantalibet alta ſpeculatio, aliquid æſtimetur ſine ea. Sed neque fides, neque ſpes, neque aliæ virtutes, tibi acceptæ ſunt ſine charitate & gratia.

5. O beatiſſima gratia, quæ pauperem ſpiritu, virtutibus diuitem facis: & diuitem multis bonis, humilem corde reddis. Veni, deſcende ad me, reple me manè conſolatione tua, ne deficiat præ laſſitudine & ariditate mentis anima mea. Obſecro Domine, vt inueniam gratiam in oculis tuis : ſufficit enim mihi gratia tua, cæteris non obtentis, quæ deſiderat natura. Si fuero tentatus & vexatus tribulationibus multis, non timebo mala, dum mecum fuerit gratia tua. Ipſa fortitudo mea, ipſa conſilium confert & auxilium. Cunctis hoſtibus potentior eſt & ſapientior vniuerſis ſapientibus.

6. Magiſtra eſt veritatis, doctrix diſciplinæ, lumen cordis, ſolamen preſſuræ, fuga-

εἰς τὸ ἐξάρχειν, προάγειν τε, καὶ διατελεῖν τὸ ἀγαθόν. χωρὶς μὲν γὰρ αὐτῆς δύναμαι ποιεῖν οὐδέν· πάντα δὲ ἰσχύω ἐν σοί, τῆς χάριτός σου ἐμὲ ἐνδυναμούσης. ὦ ἀληθῶς ἐπουράνιος χάρις, ἄνευ ἧς οὐδεμία ἀξία ἰδία τυγχάνει, οὐδὲ τὰ τῆς φύσεως δῶρα τιμητέον. μηδὲν αἱ ἐπιστῆμαι, μηδὲν ὁ πλοῦτος, μηδὲν τὸ κάλλος, ἢ ἡ ῥώμη, μηδὲν ἡ ἀγχίνοια, ἢ ἡ λογιότης, παρά σοι, κύριε, ἄνευ τῆς χάριτος ἰσχύουσι. τὰ γὰρ τῆς φύσεως δῶρα τοῖς τε καλοῖς καὶ τοῖς κακοῖς κοινά ἐστι· τῶν δὲ ἐκλεκτῶν ἴδιον δῶρόν ἐστιν ἡ χάρις, ἢ ἡ ἀγάπη, ᾗπερ σημειωθέντες τῆς αἰωνίου ζωῆς ἀξιοῦνται. τοσοῦτον αὕτη ἡ χάρις προέχει, ὥστ' οὐδὲ τὸ δῶρον τῆς προφητείας, οὐδὲ τὴν ἐνέργειαν τῶν σημείων, οὐδὲ θεωρίαν ὁπωσοῦν ὑψηλὴν οὖσαν ἄνευ αὐτῆς τιμᾶσθαι. πρὸς τούτοις οὐδὲ πίστις, οὐδ' ἐλπίς, οὐδ' ἄλλαι ἀρεταὶ χωρὶς ἀγάπης καὶ χάριτος εὐπρόσδεκτοί εἰσιν.

δ. Ὦ μακαριωτάτη χάρις, ἡ τὸν τῷ πνεύματι πτωχὸν ὄντα ταῖς ἀρεταῖς πλουτίζεις· καὶ τὸν πολλῇ οὐσίᾳ πλουτοῦντα, τῇ καρδίᾳ ταπεινὸν κατεργάζῃ. ἐλθέ, κατάβηθι πρὸς ἐμέ, πλήρωσόν με πρωῒ τῇ παραμυθίᾳ σου, ἵνα μὴ ὑπὸ τοῦ καμάτου καὶ τῆς ξηρότητος τοῦ νοὸς ἡ ψυχή μου ἐλλείψῃ. δέομαί σου, κύριε, εὕρω χάριν ἐναντίον σου· ἡ γὰρ χάρις σου ἀρκεῖ μοι, ἀποτυχόντι τῶν ἄλλων, ἅπερ ἡ φύσις ἐπιποθεῖ. ἐὰν πειρασθῶ καὶ κακωθῶ πολλαῖς θλίψεσιν, οὐ φοβηθήσομαι κακά, τῆς χάριτός σου παραγινομένης μοι. αὕτη ἡ ἰσχύς μου, αὕτη συμβουλὴν καὶ βοήθειαν παρέχει· πάντων ἐχθρῶν δυνατωτέρα ἐστί, καὶ πάντων σοφῶν σοφωτέρα.

ε. Αὕτη καθηγήτρια τῆς ἀληθείας, διδάσκαλος τῆς παιδείας, φῶς τῆς καρδίας, παράκλησις τῆς θλίψεως,

φυγαδεύ-

fugatrix triſtitiæ, ablatrix timoris, nutrix deuotionis, productrix lachrymarum. Quid ſum ſine ea, niſi aridum lignum, & ſtirps inutilis ad eijciendum? Tua ergo me Domine gratia ſemper præueniat & ſequatur, ac bonis operibus iugiter præſtet eſſe intentum, per Ieſum Chriſtum filium tuum. Amen.

## CAP. LVI.

*Quòd nos ipſos abnegare, & Chriſtum imitari debemus per crucem.*

1. Fili, quantum à te vales exire, tantum in me poteris tranſire. Sicut nihil foris concupiſcere, internam pacem facit; ſic ſe interiùs relinquere, Deo coniungit. Volo te addiſcere perfectam abnegationem tui in voluntate mea, ſine contradictione & querela. Sequere me: Ego ſum via, veritas, & vita. Sine via, non itur: ſine veritate, non cognoſcitur; ſine vita non viuitur. Ego ſum via, quam ſequi debes: veritas, cui credere debes; vita, quam ſperare debes. Ego ſum via inuiolabilis, veritas infallibilis, vita interminabilis. Ego ſum via rectiſſima, veritas ſuprema, vita vera, vita beata, vita increata. Si manſeris in via mea, cognoſces veritatem, & veritas liberabit te, & apprehendes vitam æternam.

2. Si vis ad vitam ingredi, ſerua mandata. Si vis veritatem cognoſcere, crede mihi. Si vis perfectus eſſe, vende omnia. Si vis eſſe diſcipulus meus, abnega temetipſum.

Si vis

Digitized by Google

φυγαδεύτρια τῆς λύπης, ἀφαιρέτρια τοῦ φόβου, θρέπτειρα τῆς εὐλαβείας, προξαγωγὶς τῶν δακρύων. τί ἄνευ αὐτῆς εἰμι, πλὴν ξύλον ξηρόν, καὶ στέλεχος ἀνωφελὲς, ἵν' ἀποβληθῇ; διὸ κύριε, ἡ χάρις σου ἀεί με προφθάνοι καὶ παρέποιτο, καὶ τοῖς ἀγαθοῖς ἔργοις συνεχῶς προσκείμενον κατεργάζοιτο, διὰ τοῦ Ἰησοῦ Χριστοῦ υἱοῦ σου, Ἀμήν.

## Κεφ. νζ'.

### Ὅτι ἡμᾶς αὐτοὺς ἀπαρνήσασθαι, καὶ τῷ Χριστῷ διὰ τοῦ σταυροῦ ἀκολουθῆσαι ὀφείλομεν.

α'. Τέκνον, ὅσον ἰσχύεις σὺ ἐξελθεῖν, τοσοῦτο εἰς ἐμὲ μεταβῆναι δυνήσῃ. καθάπερ τὸ μηδενὸς ἔξωθεν ἐπιθυμεῖν, τὴν εἰρήνην τὴν ἔσω καθίστησιν, οὕτω τὸ ἑαυτὸν ἔσω καταλείπειν, τῷ θεῷ συνάπτει. ἐθέλω σε μανθάνειν τὴν τελείαν ἀπάρνησίν σου ἐν τῷ βουλήματί μου ἄνευ ἀντιλέξεως καὶ μέμψεως. ἀκολούθει μοι· ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. χωρὶς ὁδοῦ, οὐ πορευόμεθα· χωρὶς ἀληθείας, οὐ γινώσκομεν· χωρὶς ζωῆς, οὐ ζῶμεν. ἐγώ εἰμι ἡ ὁδὸς, ἣν ἕπεσθαι, ἡ ἀλήθεια, ἣν πιστεύειν, ἡ ζωὴ, ἣν ἐλπίζειν ὀφείλεις. ἐγώ εἰμι ἡ ἄφθαρτος ὁδὸς, ἡ ἀνεξαπάτητος ἀλήθεια, ἡ ἀπέραντος ζωή. ἐγώ εἰμι ἡ εὐθυτάτη ὁδὸς, ἡ ἀκροτάτη ἀλήθεια, ἡ ἀληθινὴ ζωὴ, ἡ μακαρία ζωὴ, ἡ ἄκτιστος ζωή. ἐὰν μείνῃς ἐν τῇ ὁδῷ μου, γνώσῃ τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει σε, καὶ ἐπιλήψῃ τῆς αἰωνίου ζωῆς.

β'. Εἰ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς. εἰ θέλεις γνῶναι τὴν ἀλήθειαν, πίστευσόν μοι. εἰ θέλεις τέλειος εἶναι, πώλησον πάντα. εἰ θέλεις μαθητής μου εἶναι, ἀπάρνησαι σεαυτόν.

εἰ θέ-

Digitized by Google

Si vis beatam vitam poſſidere, præſentem vitam contemne. Si vis exaltari in cælo, humilia te in mundo. Si vis regnare mecum, porta crucem mecum. Soli enim ſerui crucis inueniunt viam beatitudinis, & veræ lucis.

3. Domine Ieſu, quia arcta eſt vita tua, & mundo deſpecta, dona mihi te, cum mundi deſpectu imitari. Non enim maior eſt ſeruus Domino ſuo, nec diſcipulus ſupra magiſtrum. Exerceatur ſeruus tuus in vita tua, quia ibi eſt ſalus mea, & ſanctitas vera. Quicquid extra eam lego, vel audio, non me recreat, nec delectat plenè.

4. Fili, quia hæc ſcis, & legiſti omnia; beatus eris, ſi feceris ea. Qui habet mandata mea, & ſeruat ea, ipſe eſt qui diligit me: & ego diligam eum, & manifeſtabo ei meipſum: & faciam eum conſedere mecum in regno patris mei. Domine Iesv, ſicut dixiſti & promiſiſti, ſic vtique fiat, & mihi promereri contingat. Suſcepi, ſuſcepi de manu tua crucem, portabo, & portabo eam vſque ad mortem, ſicut impoſuiſti mihi. Verè vita boni monachi, crux eſt, & dux paradiſi. Incæptum eſt, retrò abire non licet, nec relinquere oportet.

5. Eia Fratres pergamus ſimul, Ieſus erit nobiſcum: propter Ieſum ſuſcepimus hanc crucem: propter Ieſum perſeueremus in cruce. Erit adiutor noſter, qui eſt dux noſter & præceſſor. En, rex noſter ingreditur ante

nos

Digitized by Google

εἰ θέλεις τὴν μακαρίαν ζωὴν κτήσασθαι, τῆς παρούσης καταφρόνησον. εἰ θέλεις ὑψωθῆναι ἐν τῷ οὐρανῷ, ταπείνωσόν σε ἐν τῷ κόσμῳ. εἰ θέλεις συμβασιλεύειν μοι, συμβάστασόν μοι τὸν σταυρόν. μόνοι γὰρ οἱ δοῦλοι τοῦ σταυροῦ εὑρίσκουσι τὴν ὁδὸν τῆς μακαριότητος, καὶ τοῦ ἀληθινοῦ φωτός.

γʹ. Κύριε Ἰησοῦ, ὅτι στενός ἐστιν ὁ βίος σου, καὶ τῷ κόσμῳ ὢν καταφρόνητος, παράσχου μοι σὺν τῇ τοῦ κόσμου καταφρονήσει ἀκολουθῆσαί σοι. οὐ γὰρ δοῦλος μείζων ἐστὶ τοῦ κυρίου αὐτοῦ, οὐδὲ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον. ἀσκείσθω ὁ δοῦλός σου ἐν τῷ βίῳ σου, ὅτι ἐκεῖ ἐστιν ἡ σωτηρία μου καὶ ἀληθινὴ ἁγιότης. πᾶν ὅ, τι ἂν ἔξω αὐτῆς ἀναγινώσκω, ἢ ἀκούω, οὐκ ἀναψύχει με, οὐδ' ἐκπλέως τέρπει.

δʹ. Τέκνον, ὅτι ταῦτα οἶδας, καὶ ἀνέγνως πάντα, μακάριος ἔσῃ, ἐὰν ποιῇς αὐτά. ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· κἀγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτὸν, καὶ συγκαθίσω μοι αὐτὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. κύριε Ἰησοῦ Χριστὲ, καθὼς ἔλεξας, καὶ ὑπέσχου, οὕτω δὴ γενηθήτω καὶ συμβήτω μοι ἀξιοῦσθαι. ὑπεδεξάμην, ὑπεδεξάμην παρὰ τῆς χειρός σου τὸν σταυρὸν, βαστάσω, καὶ βαστάσω αὐτὸν, ἕως τοῦ θανάτου, ὥσπερ σὺ ἐπέθηκας μοι. ἀληθῶς ὁ βίος τοῦ ἀγαθοῦ μοναχοῦ σταυρός ἐστι, καὶ ὁδηγὸς τοῦ παραδείσου. ἦρκται, ὀπίσω βαδίζειν οὐκ ἔξεστιν, οὐδὲ δεῖ καταλείπειν.

εʹ. Δεῦτε ἀδελφοὶ, ἅμα βαδίζωμεν, ὁ Ἰησοῦς παρέσται ἡμῖν. διὰ τὸν Ἰησοῦν ὑπεδεξάμεθα τὸν σταυρὸν τοῦτον· διὰ τὸν Ἰησοῦν ὑπομείνωμεν ἐν τῷ σταυρῷ. ἔσται βοηθὸς ἡμῶν, ὁ ὁδηγὸς καὶ ἀρχηγέτης ἡμῶν γινόμενος. ἰδοὺ ὁ βασιλεὺς

nos, qui pugnabit pro nobis. Sequamur viriliter, nemo metuat terrores: ſimus parati mori fortiter in bello, nec inferamus crimen gloriæ noſtræ, vt fugiamus à cruce.

## CAP. LVII.

*Quòd homo non ſit nimis deiectus, quando in aliquos labitur defectus.*

1. FIlli, magis placent mihi patientia & humilitas in aduerſis, quàm multa conſolatio & deuotio in proſperis. Vt quid te contriſtat, paruum factum contra te dictum? Si amplius fuiſſet, commoueri non debuiſſes. Sed nunc permitte tranſire: non eſt primum, nec nouum, nec vltimum erit, ſi diu vixeris. Satis virilis es, quamdiu nil obuiat aduerſi. Bene etiam conſulis, & alios noſti roborare verbis: ſed cùm ad ianuam tuam venit repentina tribulatio, deficis conſilio & robore. Attende magnam fragilitatem tuam, quam ſæpiùs experiris in modicis obiectis: tamen pro ſalute tua iſta fiunt, cùm hæc & ſimilia contingunt.

2. Pone, vt meliùs noſti ex corde: & ſi te tetigit, non tamen deijciat, nec diu implicet. Ad minus ſuſtine patienter, ſi non potes gaudenter. Etiamſi minùs libenter audis, & indignationem ſentis: reprime te, nec patiaris aliquid inordinatum ex ore tuo exire, vnde paruuli ſcandalizentur. Citò conquieſcet commotio excitata, & dolor internus, reuertente

dulco-

ἡμῶν διαπορεύεται ἐναντίον ἡμῶν, ὁ ὑπερμαχῶν ἡμῶν. ἀκολουθῶμεν ἀνδρείως, οὐδεὶς φοβείσθω ἀπὸ φόβων. ὦμεν ἕτοιμοι ἀποθανεῖν ἐν ἀνδρείᾳ ἐν πολέμῳ, ϗ μὴ καταλείπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν, φυγόντες ἀπὸ τοῦ σταυροῦ.

## Κεφ. νζ.

### Περὶ τοῦ μὴ ἄγαν ἄθυμον εἶναι τὸν ἄνθρωπον, τὸν ἐλλείμμασί τισι περιπίπτοντα.

α. ΤΕκνον, μᾶλλον ἀρέσκει μοι ἡ ὑπομονὴ ϗ ἡ ταπεινότης ἐν τῇ ἀτυχίᾳ, ἢ ἡ πολλὴ παράκλησις ϗ εὐλάβεια ἐν εὐτυχίᾳ. διὰ τί μικρόν τι κατὰ σοῦ λεχθὲν λυπεῖ σε; εἰ μεῖζον ἐγένετο, οὐκ ἂν κινηθῆναί σε ἐδέησεν. ἀλλὰ νῦν ἔασον· οὐκ ἔστι πρῶτον, οὐδὲ καινὸν, οὐδὲ ὕστατον ἔσται, εἰ πολὺν χρόνον ζήσεις. ἱκανῶς ἀνδρίζῃ, ἐφ᾽ ὅσον μηδὲν ἀτύχημα συναντᾷ· ἔτι δὲ καλῶς μὲν βουλεύεις, ϗ τοὺς ἄλλους ἐνδυναμοῦν ἐπίστασαι τοῖς λόγοις· τῆς δ᾽ ἀπροσδοκήτου θλίψεως ἐπὶ θύρᾳ σου ἐγγιζούσης, ἀπορεῖς ϗ ἀδυνατεῖς. μεγάλην τὴν ἀσθένειάν σου σκόπει, ἧς ἐν μικραῖς ἀποβάσεσι πλεονάκις πεῖραν λαμβάνεις· ἀλλ᾽ ὅμως εἰς τὴν σωτηρίαν σου γίνεται, ὁπότε ταῦτα ϗ ὅσα ἄλλα τούτοις ὅμοια συμβαίνει.

β. Καθ᾽ ὅσον δύνῃ, ἀπόβαλλε τοῦτο ἐκ τῆς καρδίας, ϗ εἰ ἥψατό σου, ἀλλ᾽ ὅμως σε μὴ καταβαλλέτω, μηδὲ πολὺν χρόνον ἐμπλεκέτω. τοὐλάχιστον φέρε εὐκόλως, εἰ οὐ δύνῃ ἱλαρῶς. κἂν ἧττον ἀσμένως ἀκούῃς, ϗ ἀγανάκτησιν αἰσθάνῃ, ἐπέχε σεαυτὸν, ϗ μὴ ἄτακτόν τι ἐκ τοῦ στόματός σου ἐξελθεῖν ἔασον, ἐξ οὗ ἂν οἱ μικροὶ σκανδαλισθῶσι. ταχέως ἡ κίνησις ἐγερθεῖσα ἠρεμήσει, ϗ ἡ ἔσω ὀδύνη τῇ τῆς χάριτος ἀφίξει

dulcorabitur gratia. Adhuc viuo ego (dicit Dominus) iuuare te paratus, & ſolito ampliùs conſolari; ſi confiſus fueris mihi, & me deuotè inuocaueris.

3. Animæquior eſto, & ad maiorem ſuſtinentiam accingere. Non eſt totum fruſtratum, ſi te ſæpiùs percipis tribulatum, vel grauiter tentatum. Homo es, & non Deus: caro es, non angelus. Quomodo tu poſſes ſemper in eodem ſtatu virtutis permanere, quando hoc defuit angelo in cælo, & primo homini in paradiſo? Ego ſum, qui mœrentes erigo ſoſpitate: & ſuam cognoſcentes infirmitatem, ad meam proueho diuinitatem.

4. Domine, benedictum ſit verbum tuum, dulce ſuper mel & fauum ori meo. Quid facerem in tantis tribulationibus & anguſtijs meis, niſi me confortares tuis ſanctis ſermonibus? Dummodò tandem ad portum ſalutis perueniam, quid curæ eſt, quæ & quanta paſſus fuero? Da finem bonum: da felicem ex hoc mundo tranſitum. Memento mei Deus meus, & dirige me recto itinere in regnum tuum. Amen.

## CAP. LVIII.

### *De altioribus rebus, & occultis iudicijs Dei non ſcrutandis.*

1. Fili, caueas diſputare de altis materijs, & de occultis Dei iudicijs: cur iſte ſic relinquitur, & ille ad tantam gratiam aſſumitur? Cur etiam iſte tantum affligitur, & ille tam eximiè exaltatur? Iſta omnem humanam facultatem excedunt: nec ad inueſtigandum iudicium diuinum, vlla ratio præualet vel diſputatio. Quando ergo

γλυκαίνεται. ἔτι ἐγὼ ζῶ (ὁ κύριός φησιν) ἕτοιμος ἂν βοηθεῖν σοι, καὶ πλέον τοῦ εἰωθότος παραμυθεῖσθαι, ἐὰν ἐμοὶ πεποίθῃς, καὶ εὐλαβῶς ἐπικαλέσῃς.

γ΄. Θάρσει, καὶ ἐπὶ πλείονα ὑπομονὴν παρασκευάσθητι. οὐ πάντα οἴχεται, εἰ πλεονάκις αἰσθάνῃ θλιβόμενος, ἢ δεινῶς πειραζόμενος. ἄνθρωπος εἶ, καὶ οὐ θεός· σάρξ εἶ, οὐκ ἄγγελος. πῶς σὺ ἂν οἷός τ' ἦς ἐν τῇ αὐτῇ καταστάσει ἀεὶ διατελεῖν, τούτου τῷ ἀγγέλῳ ἐν τῷ οὐρανῷ, καὶ τῷ πρώτῳ ἀνθρώπῳ ἐν τῷ παραδείσῳ ἐπιλείψαντος; ἐγώ εἰμι ὁ τοὺς λυπουμένους ἰώμενος, καὶ τοὺς τὴν ἀσθένειαν αὐτῶν γινώσκοντας εἰς τὴν θεότητά μου παράγων.

δ΄. Κύριε, εὐλογηθήτω ὁ λόγος σου, ὁ γλυκὺς τῷ στόματί μου ὑπὲρ μέλι καὶ κηρίον. τί ἂν ἐποίουν ἐν τοιαύταις θλίψεσι καὶ στενοχωρίαις μου, εἰ μὴ τοῖς ἁγίοις λόγοις με ἐδυνάμους; μόνον εἰ τελευταῖον τοῦ τῆς σωτηρίας λιμένος ἀφίξομαι, τί μέλει μοι, τίνα καὶ πόσα ἂν πάθω; δὸς τέλος ἀγαθόν, δὸς μακαρίαν ἐκ τούτου τοῦ βίου διέξοδον. μνήσθητί μου ὁ θεός μου, καὶ κατεύθυνόν με εὐθείᾳ πορείᾳ εἰς τὴν σου βασιλείαν. Ἀμήν.

## Κεφ. νη΄.

### Περὶ τοῦ μὴ σκοπεῖν τὰ ὑψηλότερα, καὶ τὰ κρυπτὰ κρίματα τοῦ θεοῦ.

α΄. Τέκνον, φυλάττου περὶ τῶν ὑψηλῶν ὑποθέσεων, καὶ τῶν κρυπτῶν κριμάτων τοῦ θεοῦ διαλέγεσθαι, διὰ τί ὁ μὲν οὕτως ἀφίεται, ὁ δ' εἰς τοσοῦτο ἀξίωμα παραλαμβάνεται. διὰ τί ὁ εἷς τοσοῦτο κακοῦται, ὁ δὲ ἕτερος οὕτω ἐξαιρέτως ὑψοῦται. ταῦτα πᾶσαν ἀνθρωπίνην δύναμιν ὑπεραίρει, καὶ οὐδεὶς λόγος, ἢ συζήτησις τὸ θεῖον κρίμα ἐξερευνῆσαι δύναται. ὅτε οὖν ταῦτα ὁ ἐχ-

ergo hæc tibi ſuggerit inimicus, vel etiam quidam curioſi inquirunt homines, reſponde illud Prophetæ: Iuſtus es Domine, & rectum iudicium tuum. Et illud: Iudicia Domini vera, iuſtificata in ſemetipſa. Iudicia mea metuenda ſunt, non diſcutienda, quia humano intellectui ſunt incomprehenſibilia.

2. Noli etiam inquirere, nec diſputare de meritis ſanctorum, quis alio ſit ſanctior, aut quis maior fuerit in regno cælorum. Talia generant ſæpè lites & contentiones inutiles, nutriunt quoque ſuperbiam & vanam gloriam: vnde oriuntur inuidiæ & diſſenſiones, dum iſte illum ſanctum, & alius alium conatur ſuperbè præferre. Talia autem velle ſcire & inueſtigare nullum fructum afferunt, ſed magis ſanctis diſplicent: quia non ſum Deus diſſenſionis ſed pacis, quæ pax magis in humilitate vera, quàm in propria exaltatione conſiſtit.

3. Quidam zelo dilectionis, trahuntur ad hos vel ad illos ampliori affectu, ſed humano potiùs quàm diuino. Ego ſum, qui cunctos condidi ſanctos; ego donaui gratiam: ego præſtiti gloriam. Ego noui ſingulorum merita; ego præueni eos in benedictionibus dulcedinis meæ. Ego præſciui dilectos ante ſæcula; ego eos elegi de mundo, non ipſi me prælegerunt. Ego vocaui per gratiam, attraxi per miſericordiã: ego perduxi eos per tẽtationes varias. Ego infudi conſolationes magnificas: ego dedi perſe-

ρὸς ὑπερβάλλει, ἢ ἄνθρωποί τινες πολυπράγμονες ἐρωτῶσι, μετὰ τοῦ προφήτου ἀποκρίνου· δίκαιος εἶ κύριε καὶ εὐθεῖαι αἱ κρίσεις σου. καὶ τό, τὰ κρίματα κυρίου ἀληθινά, καὶ δίκαια ἐπὶ τὸ αὐτό. τὰς κρίσεις μου δεῖ φοβεῖσθαι, ἀλλ' οὐκ ἐξετάζειν, ὅτι τῇ διανοίᾳ τῇ ἀνθρωπίνῃ ἀνεξερεύνητά ἐστι.

β'. Πρὸς τούτοις μὴ ἐξέταζε, οὐδὲ διαλέγου περὶ τῶν ἀξιωμάτων τῶν ἁγίων, τίς ἂν τοῦ ἄλλου ἁγιώτερος ᾖ, ἢ τίς μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν γένηται. τοιαῦτα πολλάκις ἔριδας καὶ ἀνωφελεῖς διαφορὰς ποιεῖ, τήν τε ὑπερηφανίαν καὶ κενοδοξίαν αὐξάνει· ὅθεν οἱ φθόνοι καὶ διχοστασίαι γίνονται, τοῦ μὲν τοῦτον ἅγιον, τοῦ δ' ἄλλον ὑπερηφάνως προκρίνειν ἐπιχειροῦντος. τοιαῦτα δὲ βούλεσθαι γινώσκειν καὶ ἐξερευνᾶν μηδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον τοῖς ἁγίοις ἀπαρέσκει· ὅτι ἐγὼ οὐκ εἰμὶ ἀκαταστασίας θεός, ἀλλ' εἰρήνης, ἣ μᾶλλον ἐν τῇ ἀληθινῇ ταπεινότητι, ἢ ἐν τῇ ἰδίᾳ ὑψώσει κεῖται.

γ'. Ἔνιοι τῷ τῆς ἀγάπης ζήλῳ πρὸς τούτους ἢ ἐκείνους μείζονι διαθέσει ἑλκύονται, ἀλλὰ μᾶλλον ἀνθρωπίνῃ ἢ θείᾳ. ἐγώ εἰμι ὁ πάντας ἁγίους ποιήσας· ἐγὼ τὴν χάριν ἐδωρησάμην· ἐγὼ τὴν δόξαν ἔδωκα. ἐγὼ τὰς ἑκάστων ἀξίας γινώσκω· ἐγὼ προέφθασα αὐτοὺς ἐν εὐλογίαις χρηστότητός μου. ἐγὼ προέγνων τοὺς ἀγαπητοὺς πρὸ αἰώνων· ἐγὼ αὐτοὺς ἐξελεξάμην ἐκ τοῦ κόσμου, ἀλλ' αὐτοὶ οὐκ ἐμὲ προεξελέξαντο. ἐγὼ ἐκάλεσα διὰ τῆς χάριτος, προσείλκυσα διὰ τοῦ ἐλέους· ἐγὼ διήγαγον αὐτοὺς διὰ ποικίλους πειρασμούς. ἐγὼ ἐνέχευα παρακλήσεις μεγαλοπρεπεῖς, ἐγὼ τὴν

ὑπομονὴν ἔδωκα, ἐγὼ τὴν ὑπομονὴν αὐτῶν ἐστεφάνωσα.

δ'. Ἐγὼ τὸν πρῶτον καὶ τὸν ἔσχατον γινώσκω, ἐγὼ πάντας ἀτιμήτῳ ἀγάπῃ ἀγαπῶ. ἐγὼ ἐν πᾶσιν ἁγίοις μου ἐπαινετός· ἐγὼ εὐλογητὸς ὑπὲρ πάντα, καὶ τιμητὸς ἐν ἑκάστοις, οὓς οὕτως ἐνδόξως ἐμεγάλυνα, καὶ προώρισα, μηδεμιᾶς ἀξίας ἰδίας προελθούσης. ὁ τοίνυν ἕνα τούτων τῶν ἐλαχίστων καταφρονῶν, τὸν μέγαν οὐ τιμᾷ, ὅτι τὸν μικρὸν καὶ τὸν μέγαν ἐγὼ ἐποίησα. καὶ ὁ καταλαλῶν τινος τῶν ἁγίων, κἀμοῦ καὶ τῶν ἄλλων πάντων τῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν καταλαλεῖ. πάντες ἓν εἰσι διὰ συνδέσμου τῆς ἀγάπης· τὸ αὐτὸ φρονοῦσι, τὸ αὐτὸ βούλονται, καὶ πάντες ἀλλήλους ἀγαπῶσιν.

ε'. Ἔτι δὲ (ὃ πολλῷ ὑψηλότερόν ἐστι) μᾶλλον ἐμέ, ἢ αὑτοὺς καὶ τὰς ἀξίας αὐτῶν ἀγαπῶσιν. ὑπὲρ γὰρ αὑτοὺς ἡρπασθέντες, καὶ ἔξω τῆς φιλαυτίας ἑλκυσθέντες, ὅλοι εἰς τὴν ἀγάπην μου τείνουσιν, ἐν ᾗ καὶ ἀπολαυστικῶς ἀναπαύονται. μηδέν ἐστι τὸ αὐτοὺς ἀποστρέφειν ἢ καταπιέζειν δυνάμενον· τῆς γὰρ αἰωνίου ἀληθείας πλησθέντες, τῷ τῆς ἀσβέστου ἀγάπης πυρὶ καίονται. σιωπάτωσαν οὖν οἱ σαρκικοὶ καὶ ψυχικοὶ ἄνθρωποι περὶ τῆς τῶν ἁγίων καταστάσεως διαλεγόμενοι, οἵτινες μόνον τὰς ἰδίας χαρὰς ἀγαπᾶν γινώσκουσιν. ἀφαιροῦνται καὶ προστιθέασι κατὰ τὸ ἐπιρρεπὲς αὐτῶν, οὐ καθὼς τῇ αἰωνίᾳ ἀληθείᾳ ἀρέσκει.

ϛ'. Πολλοῖς μὲν ἡ ἄγνοια ἔνεστι, μάλιστα δὲ τοῖς μικρὸν φωτισθεῖσιν, οἵτινες σπανίως τῇ τελείᾳ καὶ πνευματικῇ ἀγάπῃ ἀγαπᾶν τινα ἐπίστανται. σφόδρα τῷ φυσικῷ πάθει καὶ τῇ ἀνθρωπίνῃ φιλίᾳ πρὸς τούτους ἢ ἐκείνους ἔτι ἑλκύονται, καὶ ὡς πρὸς τὰ κάτω ἔχουσιν, οὕτω καὶ τὰ οὐράνια φαντάζονται. ἀλλὰ μὴν ἀσύμβλητος

incomparabilis; quæ imperfecti cogitant, & quæ illuminati viri, per reuelationem ſupernam ſpeculantur.

7. Caue ergo fili, de iſtis curioſè tractare, quæ tuam ſcientiam excedunt: ſed hoc magis ſatage & intende, vt vel minimus in regno Dei queas inueniri. Et ſi quiſpiam ſciret, quis alio ſanctior eſſet, vel maior haberetur in regno cælorum: quid ei hæc notitia prodeſſet, niſi ſe ex hac cognitione coràm me humiliaret, & in maiorem nominis mei laudem exurgeret? Multò acceptiùs Deo facit, qui de peccatorum ſuorum magnitudine, & virtutum ſuarum paruitate cogitat, & quàm longè à perfectione ſanctorum diſtat; quàm is, qui de eorum maioritate vel paruitate diſputat. Melius eſt ſanctos deuotis precibus & lachrymis exorare, & eorum glorioſa ſuffragia humili mente implorare; quàm eorum ſecreta, vana inquiſitione perſcrutari.

8. Illi bene & optimè contentantur, ſi homines ſcirent contentari, & vaniloquia ſua compeſcere. Non gloriantur de proprijs meritis, quippe qui ſibi nihil bonitatis aſcribunt, ſed totum mihi: quoniam ipſis cuncta ex infinita charitate mea donaui. Tanto amore diuinitatis, & gaudio ſupereffluenti replentur; vt nihil eis deſit gloriæ, nihilque poſſit deeſſe felicitatis. Omnes ſancti, quantò altiores in gloria, tantò humiliores in ſeipſis, & mihi viciniores & dilectiores exiſtunt. Ideoq; habes ſcriptū, quia

διαφορά ἐστι τῶν τοῖς ἀτελέσιν ἐννοουμένων, καὶ τῶν τοῖς φωτισθεῖσιν ἀνδράσι διὰ τῆς ἀποκαλύψεως τῆς ἄνω θεωρουμένων.

ζ. Φυλάττου τοίνυν τέκνον, περὶ μὲν τῶν τὴν ἐπιστήμην σου ὑπερβαλλόντων περιέργως φιλοσοφεῖν, μᾶλλον δ᾽ ἐπιμελοῦ καὶ φρόντιζε, ὅπως ὁ ἐλάχιστός γε ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ εὑρίσκεσθαι δυνηθῇς. κἂν τις ἐγίνωσκε, τίς ἂν ἁγιώτερος τοῦ ἄλλου ἦν, ἢ μείζων ἐδόκει ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, τί αὕτη γνῶσις αὐτὸν ὠφέλει, εἰ μὴ ἐξ αὐτῆς ἑαυτὸν ἐταπείνου, καὶ εἰς μείζω ἔπαινον τοῦ ὀνόματός μου ἀνίστατο; πολλῷ μᾶλλον τῷ θεῷ χαρίζεται, ὁ τὸ τῶν ἁμαρτιῶν αὐτοῦ μέγεθος, καὶ τὴν τῶν ἀρετῶν ὀλιγότητα, καὶ ὅσον ἂν τῆς τῶν ἁγίων τελειότητος ἀπέχῃ, διανοούμενος, ἢ ὁ περὶ τῆς μείζονος, ἢ ἐλάττονος ὑπεροχῆς αὐτῶν διαλεγόμενος. βέλτιόν ἐστι πρὸς τοὺς ἁγίους, δεήσεις εὐλαβεῖς μετὰ δακρύων ποιῆσαι, καὶ τὴν αὐτῶν ἔνδοξον βοήθειαν ταπεινῶς ἐπικαλέσασθαι, ἢ τὰ αὐτῶν ἀπόρρητα ματαίᾳ ἐξετάσει διερευνᾶν.

η. Αὐτοὶ καλῶς καὶ κάλλιστα ἀρκοῦνται, εἴπερ ἄνθρωποι ἀρκεῖσθαι καὶ τῆς ματαιολογίας αὐτῶν κρατεῖν ἐδύναντο. οὐ καυχῶνται ἐπὶ ταῖς ἰδίαις ἀξίαις, μηδὲν δήπου ἀγαθὸν αὐτοῖς, ἀλλ᾽ ἐμοὶ πᾶν ἀνατιθέντες, ὅτι πάντα αὐτοῖς ἐκ τῆς ἀπείρου ἀγάπης μου ἐδωρησάμην, τοσαύτης φιλοθεΐας, καὶ χαρᾶς ὑπερεκχυνομένης πλήθονται, ὥστε μηδεμιᾶς δόξης ἐλλείπειν, οὐδ᾽ εὐδαιμονίας τινὸς αὐτοὺς δύνασθαι ὑστερίζειν. πάντες οἱ ἅγιοι, ὅσῳ ὑψηλότεροι τῇ δόξῃ, τοσούτῳ ταπεινότεροι ἐν αὐτοῖς, καί μοι ἐγγύτεροι καὶ προσφιλέστεροι τυγχάνουσι. διὸ γέγραπται,

ὅτι

quia mittebant coronas ſuas ante Deum, & ceciderunt in facies ſuas coram agno, & adorauerunt viuentem in ſæcula ſæculorum.

9. Multi quærunt, quis maior ſit in regno Dei: qui ignorant, an cum minimis erunt digni computati. Magnum eſt, vel minimum eſſe in cælo, vbi omnes magni ſunt: quia omnes filij Dei vocabuntur & erunt. Minimus erit in mille, & peccator centum annorum morietur. Cùm enim quærerent diſcipuli, quis maior eſſet in regno cælorum; tale audierunt reſponſum: Niſi conuerſi fueritis, & efficiamini ſicut paruuli, non intrabitis in regnum cælorum. Quicunque ergo humiliauerit ſe, ſicut paruulus iſte, hic maior eſt in regno cælorum.

10. Væ eis, qui cum paruulis humiliare ſe ſponte dedignantur: quoniam humilis ianua regni cæleſtis, eos non admittet intrare. Væ etiam diuitibus, qui habent hîc conſolationes ſuas: quia pauperibus intrantibus in regnum Dei, ipſi ſtabunt foris eiulantes. Gaudete humiles & exultate pauperes, quia veſtrum eſt regnum Dei, ſi tamen in veritate ambulatis.

## CAP. LIX.

### *Quòd omnis ſpes & fiducia in ſolo Deo eſt figenda.*

1. DOmine, quæ eſt fiducia mea, quam in hac vita habeo? aut quod maius ſolatium meum, ex omnibus apparentibus ſub cælo? Nónne tu, Domine Deus meus, cuius miſericordiæ non eſt numerus? Vbi mihi bene

ὅτι ἔβαλον τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θεοῦ, καὶ ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν ἐνώπιον τοῦ ἀμνοῦ, καὶ προσεκύνησαν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

θ'. Πολλοὶ ζητοῦσι, τίς ἂν μείζων ᾖ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ἀγνοοῦντες εἰ μετὰ τῶν ἐλαχίστων συγκαταψηφισθῆναι ἀξιωθήσονται. μέγα ἐστὶ τὸν γ' ἐλάχιστον εἶναι ἐν τῷ οὐρανῷ, ὅπου πάντες μεγάλοι εἰσίν· ὅτι πάντες υἱοὶ τοῦ θεοῦ κληθήσονται, καὶ ἔσονται. ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας, ὁ δὲ ἁμαρτωλὸς ἑκατὸν ἐτῶν ἀποθανεῖται. οἱ γὰρ μαθηταὶ ζητοῦντες, τίς ἄρα μείζων ἦν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, τοιαύτης ἀποκρίσεως ἤκουσαν· ἐὰν μὴ στραφῆτε καὶ γένησθε, ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν ταπεινώσῃ ἑαυτὸν, ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

ι. Οὐαὶ τοῖς μετὰ τῶν παιδίων ἑκοντὶ ταπεινῶσαι ἑαυτοὺς οὐ βουλομένοις, ὅτι ἡ τῆς οὐρανίου βασιλείας θύρα ταπεινὴ οὖσα αὐτοὺς εἰσελθεῖν οὐκ ἐάσει. πρὸς τούτοις, οὐαὶ τοῖς πλουσίοις τοῖς ἐνθάδε τὰς παρακλήσεις αὐτῶν ἔχουσιν· ὅτι, τῶν πτωχῶν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσερχομένων, αὐτοὶ ὀλολύζοντες ἔξω στήσονται. εὐφράνθητε ταπεινοί, καὶ ἀγαλλιᾶσθε πτωχοί, ὅτι ὑμῶν ἐστιν ἡ βασιλεία τοῦ θεοῦ, μόνον εἰ ἐν τῇ ἀληθείᾳ περιπατεῖτε.

## Κεφ. νθ'.

### Ὅτι δεῖ πᾶσαν ἐλπίδα καὶ πεποίθησιν ἐν τῷ θεῷ ἔχειν.

α'. Κύριε, τίς ἐστιν ἡ πεποίθησίς μου, ἣν ἐν τῇ ζωῇ ταύτῃ ἔχω; ἢ τίς μείζων παραμυθία μου ἐκ πάντων τῶν ὑπὸ τὸν οὐρανὸν φαινομένων; οὐχὶ σὺ, κύριε ὁ θεός μου, οὗτινος ἐλέους οὐκ ἔστιν ἀριθμός; ποῦ καλῶς

bene fuit ſine te? Aut quando malè eſſe potuit, præſente te? Malo pauper eſſe propter te, quàm diues ſine te. Eligo potius tecum in terra peregrinari, quàm ſine te cælum poſſidere. Vbi tu, ibi cælum: atque ibi mors & infernus, vbi tu non es. Tu mihi in deſiderio es: & ideo poſt te gemere, clamare, & exorare neceſſe eſt. In nullo denique poſſum plenè confidere, qui in neceſſitatibus auxilietur opportunis, niſi in te ſolo Deo meo. Tu es ſpes mea, & fiducia mea; tu conſolator meus, & fideliſſimus in omnibus.

2. Omnes, quæ ſua ſunt quærunt: tu ſalutem meam, & profectum meum ſolummodò prætendis, & omnia in bonum mihi conuertis. Etiam ſi varijs tentationibus & aduerſitatibus exponas, hoc totum ad vtilitatem meam ordinas, qui mille modis dilectos tuos probare conſueuiſti. In qua probatione, non minùs diligi debes & laudari, quàm ſi cæleſtibus conſolationibus me repleres.

3. In te ergo, Domine Deus, pono totam ſpem meam & refugium: in te omnem tribulationem & anguſtiam meam conſtituo, quia totum infirmum, & inſtabile inuenio, quicquid extra te conſpicio. Non enim proderunt multi amici, neque fortes auxiliarij adiuuare poterunt, nec prudentes conſiliarij reſponſum vtile dare, neque libri doctorum conſolari, nec aliqua pretioſa ſubſtãtia liberare, nec locus aliquis ſecretus & amœnus cõtutari: ſi tu ipſe non aſſiſtas,

iuues,

Digitized by Google

εὐτύχον χωρὶς σοῦ; ἢ πότε κακῶς ἔχειν ἠδυνήθην παρόντος σοῦ; μᾶλλον βούλομαι πτωχεύειν διά σε, ἢ ἄνευ σοῦ πλουτεῖν. προαιροῦμαι συναποδημεῖν σοι ἐπὶ τῆς γῆς, ἀντὶ τοῦ τὸν οὐρανὸν χωρίς σου κτήσασθαι. ὅπου σὺ εἶ, ἐκεῖ ὁ οὐρανός· ἐκεῖ δὲ ὁ θάνατος καὶ ὁ ᾅδης, ὅπου σὺ ἄπει. σὲ ἐπιποθῶ, καὶ διὰ τοῦτο δεῖ ἐμὲ ὄπισθέν σου στενάζειν, κράζειν τε καὶ δυσπολεῖν. τέλος δὲ μηδενὶ παντελῶς πεποιθέναι δύναμαι, ὃς ἂν ἐν ταῖς ἀνάγκαις εὐκαίρως βοηθήσῃ, εἰ μή σοι μόνῳ τῷ θεῷ μου. σὺ εἶ ἐλπίς μου, καὶ πεποίθησίς μου· σὺ παράκλητός μου, καὶ πιστότατος ἐν πᾶσιν.

β΄. Οἱ πάντες τὰ ἑαυτῶν ζητοῦσι· σὺ μόνον τῆς σωτηρίας μου καὶ τῆς προκοπῆς μου φροντίζεις, καὶ πάντα εἰς τἀγαθόν μοι ἐπιστρέφεις. κἂν εἰς ποικίλους πειρασμοὺς καὶ συμφορὰς ἐμὲ καθίστῃς, ὅλον τοῦτο εἰς τὸ ὠφελῆσαί με κατευθύνεις, ὃς χιλιοτρόπως τοὺς ἐκλεκτοὺς σου δοκιμάσαι εἴωθας. ἐν ταύτῃ δὲ δοκιμασίᾳ οὐχ ἧττον χρὴ ἀγαπᾶν καὶ ἐπαινεῖν σε, ἤπερ εἰ τῶν οὐρανίων παρακλήσεων με ἔπλησθες.

γ΄. Εν σοὶ τοίνυν, κύριε ὁ θεός, τίθημι ὅλην τὴν ἐλπίδα καὶ καταφυγήν μου· ἐν σοὶ πᾶσαν τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν μου καθίστημι, ὅτι πᾶν ἀσθενὲς καὶ ἀστατὲς εὑρίσκω, ὅ,τι ἔξω σου βλέπω. οὐ γὰρ λυσιτελήσουσι πολλοὶ φίλοι, οὐδὲ δυνήσονται ἰσχυροὶ βοηθοὶ ἐπικουρεῖν, οὐδὲ φρόνιμοι βουλευταὶ συμφέρουσαν ἀπόκρισιν διδόναι, οὐδὲ βίβλοι τῶν διδασκάλων παραμυθεῖσθαι, οὐδὲ τιμία οὐσία λυτροῦν, οὐδὲ τόπος ἀποκεκρυμμένος καὶ τρυφερὸς ἀσφαλίζειν, εἰ μὴ σὺ αὐτὸς παρίστασαι,

 βοηθεῖς.

iuues, conſortes, conſoleris, inſtruas, & cuſtodias.

4. Omnia namque, quæ ad pacem videntur eſſe, & felicitatem habendam, te abſente nihil ſunt, nihilque felicitatis in veritate conferunt. Finis ergò omnium bonorum, & altitudo vitæ, & profunditas eloquiorum tu es: & in te ſuper omnia ſperare, fortiſſimum ſolatium ſeruorum tuorum. Ad te ſunt oculi mei, in te confido, Deus meus miſericordiarum pater. Benedic & ſanctifica animam meam benedictione cæleſti, vt fiat habitatio ſancta tua, & ſedes æterna gloriæ tuæ: nihilque in templo tuæ dignitatis inueniatur, quod oculos tuæ maieſtatis offendat. Secundùm magnitudinem bonitatis tuæ, & multitudinē miſerationum tuarum reſpice in me, & exaudi orationem pauperis ſerui tui, longè exulantis in regione vmbræ mortis. Protege & conſerua animam ſeruuli tui, inter tot diſcrimina vitæ corruptibilis, ac comitante gratia tua, dirige per viam pacis, ad patriam perpetuæ claritatis.

Amen.

FINIS.

LIBER

βοηθεῖς, δυναμοῖς, παρακαλεῖς, παιδεύεις, ϗ φυλάττεις.

δ'. Ἅπαντα γὰρ τὰ εἰς εἰρήνην ϗ εὐδαιμονίαν φέρειν δοκοῦντα, ἀπόντος σου, μηδέν ἐστι, ϗ ἀληθῶς μηδεμίαν εὐδαιμονίαν παρέχει. τὸ τέλος οὖν πάντων ἀγαθῶν, ϗ τὸ ὕψος τῆς ζωῆς, ϗ τὸ βάθος τῆς λογίας σὺ ὑπάρχεις, ϗ τὸ ἐπί σε ὑπὲρ πάντα ἐλπίζειν ἰσχυροτάτη παραμυθία τῶν δούλων σου ἐστί. πρὸς σὲ οἱ ὀφθαλμοί μου εἰσιν, ἐπί σοι πέποιθα ὁ Θεός μου ὁ πατὴρ τῶν οἰκτιρμῶν. εὐλόγει ϗ ἁγίαζε τὴν ψυχήν μου εὐλογίᾳ τῇ οὐρανίῳ, ἵνα γένηται ἁγία οἴκησίς σου ϗ θρόνος τῆς αἰωνίου δόξης σου· ϗ μηδὲν ἐν τῷ ναῷ τοῦ ἀξιώματός σου εὑρεθῇ, ὅ,τι ἂν τοῖς ὀφθαλμοῖς τῆς μεγαλειότητός σου προσκρούσῃ. κατὰ τὸ μέγεθος τῆς χρηστότητός σου, ϗ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἀπόβλεπε εἰς ἐμὲ, ϗ εἰσάκουε τῆς δεήσεως τοῦ δούλου σου, τοῦ μακρὰν μετοικοῦντος ἐν χώρᾳ σκιᾶς θανάτου. φύλαττε ϗ σῶζε τὴν ψυχὴν τοῦ δουλαρίου σου, μεταξὺ τοσούτων κινδύνων τῆς φθαρτῆς ζωῆς· ϗ τῆς χάριτός σου παρακολουθούσης, κατεύθυνε αὐτὴν δι' ὁδοῦ τῆς εἰρήνης εἰς πατρίδα τῆς αἰωνίου λαμπρότητος.

Ἀμήν.

ΤΕΛΟΣ.

ΒΙΒΛ.

# LIBER QVARTVS.

*Deuota exhortatio, ad ſacram Communionem.*

## VOX CHRISTI.

VEnite ad me omnes, qui laboratis, & onerati eſtis, & ego reficiam vos, dicit Dominus. Panis, quem ego dabo, caro mea eſt, pro mundi vita. Accipite & comedite, hoc eſt corpus meum, quod pro vobis tradetur: Hoc facite in meam commemorationem. Qui manducat carnem meam, & bibit meum ſanguinem, in me manet, & ego in illo. Verba, quæ ego locutus ſum vobis, ſpiritus & vita ſunt.

## CAP. I.

*Cum quanta reuerentia, Chriſtus ſit ſuſcipiendus.*

## VOX DISCIPVLI.

1. HÆc ſunt verba tua Chriſte, veritas æterna, quamuis non vno tempore prolata, nec vno in loco conſcripta. Quia ergo tua ſunt, & vera, gratanter mihi & fideliter, cuncta ſunt accipienda. Tua ſunt, & tu ea protuliſti: & mea quoque ſunt, quia pro ſalute mea ea edidiſti. Libenter ſuſcipio ea ex ore tuo, vt arctius inſerantur cordi meo. Excitant me verba tantæ pietatis, plena dulcedinis & dilectionis. Sed terrent me delicta propria: & ad capienda tanta myſteria, me reuerberat impura conſcientia. Prouocat me dulcedo verborum tuorum, ſed onerat me multitudo vitiorum meorum.

2. Iubes,

# ΒΙΒΛΙΟΝ δ'.

## Εὐμενὴς παραίνεσις πρὸς τὴν ἱερὰν κοινωνίαν.

Η φωνὴ τοῦ Χριστοῦ.

ΔΕῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, λέγει ὁ κύριος. ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. λάβετε καὶ φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμα καὶ ζωή ἐστι.

## Κεφάλαιον α'.

### Ὅση εὐλαβείᾳ δεῖ τὸν Χριστὸν ἀποδέξασθαι.

Η φωνὴ τοῦ μαθητοῦ.

α'. ΤΑ ῥήματα ταῦτα, σά ἐστιν, ὦ Χριστὲ, αἰώνιε ἀλήθεια, καίπερ οὐχ ἑνὶ χρόνῳ λεχθέντα, οὐδ' ἐν ἑνὶ τόπῳ συγγραφθέντα. ἐπεὶ οὖν σά καὶ ἀληθῆ ἐστιν, εὐχαρίστως καὶ πιστῶς αὐτὰ ἀποδεκτέον. σὰ ὑπάρχει, καὶ σὺ αὐτὰ εἶπας· καίτοι καὶ ἐμά ἐστιν, ὅτι ὑπὲρ τῆς σωτηρίας μου αὐτὰ ἐξηγόρευσας. ἀσμένως ἀποδέχομαι αὐτὰ ἐκ τοῦ στόματός σου, τοῦ βεβαιότερον τῇ καρδίᾳ μου συνάψαι. παρορμᾷ μὲν ἐμὲ τοιαύτης εὐσπλαγχνίας ῥήματα, πλήρη γλυκύτητος καὶ ἀγάπης ὄντα· φοβεῖ δὲ τὰ ἴδια ἁμαρτήματα, κἀμὲ ἡ ἀκάθαρτος συνείδησις, τοῦ τοσούτοις μυστηρίοις προσφέρεσθαι ἀπωθεῖ. παροξύνει με ἡ ἡδυλογία σου· ἀλλὰ τὸ τῶν κακιῶν μου πλῆθός με ἐπιφορτίζει.

β'. Κελεύ-

2. Iubes, vt fiducialiter ad te accedam, ſi tecum velim habere partem: & vt immortalitatis accipiam alimoniam, ſi æternam cupiam obtinere vitam & gloriam. Venite, inquis, ad me omnes qui laboratis & operati eſtis, & ego reficiam vos. O dulce & amicabile verbum in aure peccatoris, quòd tu, Domine Deus meus, egenum & pauperem inuitas ad communionem tui ſanctiſſimi corporis. Sed quis ego ſum Domine, vt ad te præſumam accedere? Ecce, cœli cælorum te non capiunt, & tu dicis: Venite ad me omnes.

3. Quid ſibi vult iſta pijſſima dignatio, & tam amicabilis inuitatio? Quomodo auſus ero venire, qui nihil boni mihi conſcius ſum, vnde poſſum præſumere? Quomodo te introducam in domum meam, qui ſæpiùs offendi benigniſſimam faciem tuam? Reuerentur angeli, & archangeli, metuunt ſancti & iuſti, & tu dicis: Venite ad me omnes? Niſi tu Domine hoc diceres, quis verum eſſe crederet? Et niſi tu iuberes, quis accedere attentaret? Ecce, Noë vir iuſtus in arcæ fabrica, centum annis laborauit, vt cum paucis ſaluaretur: & ego quomodo me potero vna hora præparare, vt mundi fabricatorem, cum reuerentia ſumam?

4. Moyſes famulus tuus, magnus & ſpecialis amicus tuus, arcam ex lignis imputribilibus fecit, quam & mundiſſimo veſtiuit auro, vt tabulas legis in ea reponeret: & ego putrida, creatura audebo te conditorē legis, ac vitæ datorem tā facilè ſuſcipere? Salomon ſapientiſſimus regū Iſraël,

β'. Κελεύεις με πεποιθότως σοι προσελθεῖν, ἐὰν μετά σου μέρος ἔχειν βουληθῶ· καὶ τὴν τῆς ἀθανασίας τροφὴν λαβεῖν, ἐὰν τῆς αἰωνίου ζωῆς καὶ τῆς δόξης τυχεῖν ἐπιποθήσω. δεῦτε, φῄς, πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ὢ γλυκὺ καὶ προσφιλὲς ῥῆμα ἐν τῷ ὠτὶ τοῦ ἁμαρτωλοῦ, ὅτι σὺ κύριε ὁ θεός μου, τὸν πτωχὸν καὶ πένητα εἰς τὴν κοινωνίαν τοῦ ἁγιωτάτου σώματός σου καλεῖς. ἀλλὰ μὴν τίς ἐγώ εἰμι, ἵνα σοι προσελθεῖν τολμήσω; ἰδοὺ οἱ οὐρανοὶ τῶν οὐρανῶν οὐκ ἀρκοῦσί σοι, καὶ σὺ λέγεις· δεῦτε πρός με πάντες.

γ'. Τί βούλεται αὕτη ἡ ἠπιωτάτη ἀξίωσις, καὶ οὕτω προσφιλὴς κλῆσις; πῶς τολμήσω ἔρχεσθαι ὁ μηδὲν ἀγαθὸν συνειδώς μοι, ὅθεν ἂν προλαβεῖν δύνωμαι; πῶς εἰσάξω σε εἰς τὸν οἶκόν μου, ὁ πλεονάκις τῷ εὐμενεστάτῳ προσώπῳ σου προσπταίσας; ἐντρέπονται οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι, φοβοῦνται οἱ ἅγιοι καὶ δίκαιοι, καὶ σὺ λέγεις· δεῦτε πρός με πάντες. εἰ μὴ σὺ κύριε τοῦτο ἔλεγες, τίς ἂν τοῦτο ἀληθὲς εἶναι ἐπίστευε; καὶ εἰ μὴ σὺ ἐπέταξες, τίς προσελθεῖν ἐπεχείρει; ἰδοὺ, ὁ Νῶε ἀνὴρ δίκαιος ἐν τῷ ποιεῖν τὴν κιβωτὸν ἑκατὸν ἔτη ἐπόνησε, τοῦ μετ' ὀλίγων σωθῆναι· κἀγὼ πῶς οἷός τε ἔσομαι μιᾷ ὥρᾳ παρασκευάζειν με τοῦ τὸν κτίστην τοῦ κόσμου εὐλαβῶς λαβεῖν;

δ'. Ὁ Μωϋσῆς ὁ δοῦλός σου, μέγας καὶ ἴδιος φίλος σου, τὴν κιβωτὸν ἐκ τοῦ ἀσήπτου ξύλου ἐποίησεν, ἣν καὶ κατεχρύσωσε χρυσίῳ καθαρωτάτῳ, τοῦ ἐν αὐτῇ ἀποθεῖναι τὰς πλάκας τοῦ νόμου· κἀγὼ σαπρὰ κτίσις σε τὸν νομοθέτην καὶ δωτῆρα τῆς ζωῆς οὕτω ῥᾳδίως ὑποδέξασθαι τολμήσω; ὁ Σολομὼν σοφώτατος τῶν βασιλέων τοῦ

Ισραὴλ

Iſraël, templum magnificum ſeptem annis, in laudem nominis tui ædificauit: & octo diebus feſtum dedicationis eius celebrauit: mille hoſtias pacificas obtulit: & arcam fœderis in clangore buccinæ & iubilo, in locum ſibi præparatum ſolenniter collocauit. Et ego infelix & paupertimus hominum, quomodo te in domum meam introducam, qui vix mediam expendere deuotè noui horam? & vtinam vel ſemel dignè ferè mediam.

5. O mi Deus, quantum illi, ad placendum tibi, agere ſtuduerunt. Heu, quàm puſillum eſt, quod ago: quàm breue expleo tempus, cùm me ad communicandum diſpono. Rarò totus collectus, rariſſimè ab omni diſtractione purgatus. Et certè in tua ſalutari deitatis præſentia, nulla deberet occurere indecens cogitatio, nulla etiam occupare creatura: quia non angelum, ſed angelorum dominum, ſuſcepturus ſum hoſpitio.

6. Eſt tamen valde magna diſtantia, inter arcam fœderis cum ſuis reliquijs, & mundiſſimum corpus tuum cum ſuis ineffabilibus virtutibus: inter legalia illa ſacrificia futurorum præfiguratiua, & veram tui corporis hoſtiam, omnium antiquorum ſacrificiorum completiuam. Quare igitur non magis, ad tuam venerabilem inardeſco præſentiam? Cur non maiori me præparo ſollicitudine, ad tua ſancta ſumenda: quando illi antiqui ſancti Patriarchæ & & Prophetæ, reges quoq; & principes, cũ vniuerſo populo,

Ἰσραὴλ μεγαλοπρεπῆ ναόν, ἑπτὰ ἔτεσιν εἰς τὴν δόξαν τοῦ ὀνόματός σου ᾠκοδόμησε· καὶ ἡμέρας ὀκτὼ τὴν τῶν ἐγκαινίων ἑορτὴν ἤγαγε· χιλίας θυσίας τῶν εἰρηνικῶν ἔθυσε, καὶ τὴν κιβωτὸν τῆς διαθήκης ἐν κλαγγῇ τῆς σάλπιγγος καὶ ἀλαλαγμῷ εἰς τόπον αὐτῇ ἑτοιμασθέντα λαμπρῶς ἀνεκάθισε· κἀγὼ ταλαίπωρος καὶ πενέστατος τῶν ἀνθρώπων, πῶς ἄν σε εἰς τὸν οἶκόν μου εἰσαγάγω, ὁ μόλις ἡμίσειαν ὥραν θεοσεβῶς διατρίβειν εἰδώς; εἴθε δὲ ἅπαξ γε ἀξίως σχεδὸν ἡμίσειαν.

ε. Ὦ θεέ μου, ὅσον ἐκεῖνοι περὶ τὸ ἀρέσκειν σοι ἐσπούδασαν. φεῦ, ὡς μικρόν ἐστιν, ὅ,τι ποιῶ· ὡς βραχὺν χρόνον ἀναλίσκω εἰς τὸ κοινωνεῖν ἐμὲ παρασκευάζων. σπανίως ὅλος συλλεχθείς, σπανιώτατα ἀπὸ παντὸς διασπασμοῦ καθαρισθεὶς τυγχάνω. καίτοι ἐν τῇ τῆς θεότητός σου σωτηριώδει παρουσίᾳ ἔδει ἂν μηδένα ἀπρεπῆ λογισμὸν εἰς τὸν νοῦν ἔρχεσθαι, οὐδέ τινα κτίσιν μοι ἀσχολίαν παρέχειν, ὅτι οὐκ ἄγγελον, ἀλλὰ τὸν κύριον τῶν ἀγγέλων ξενίσω.

ϛ'. Ἀλλ' ὅμως πολὺ διαφέρει ἡ κιβωτὸς τῆς διαθήκης σὺν τοῖς λειψάνοις αὐτῆς, καὶ τὸ καθαρώτατον σῶμά σου σὺν ταῖς ἀπορρήτοις δυνάμεσιν αὐτοῦ· αἵ τε νομικαὶ θυσίαι τῶν μελλόντων προτυπωτικαί, καὶ ἡ τοῦ σώματός σου ἀληθινὴ ἀναφορά, πασῶν παλαιῶν θυσιῶν συμπληρωτική. διὰ τί οὖν οὐ μᾶλλον τῇ σεβασμίᾳ παρουσίᾳ σου ἐκπυροῦμαι; διὰ τί οὐ μείζονι ἐπιμελείᾳ εἰς τὸ τὰ ἅγιά σου λαβεῖν με παρασκευάζω, τῶν παλαιῶν ἁγίων Πατριαρχῶν καὶ Προφητῶν, τῶν τε βασιλέων καὶ ἀρχόντων, σὺν παντὶ

λαῷ

populo, tantum deuotionis demonſtrarunt affe-ctum erga cultum diuinum?

7. Saltauit deuotiſſimus rex Dauid coram arca Dei totis viribus, recolens beneficia olim indulta patribus: fecit diuerſi generis organa, pſalmos edidit, & cantari inſtituit cum lætitia, cecinit & ipſe frequenter in cithara, Spiritus ſancti afflatus gratia: docuit populum Iſraël toto corde Deum laudare, & ore conſono diebus ſingulis benedicere & prædicare. Si tanta agebatur tunc deuotio, ac diuinæ laudis extitit recordatio coram arca teſtamenti: quanta nunc mihi, & omni populo Chriſtiano, habenda eſt reuerentia & deuotio in præſentia ſacramenti, in ſumptione excellentiſſimi corporis Chriſti?

8. Currunt multi ad diuerſa loca, pro viſitandis reliquijs ſanctorum: & mirantur auditis geſtis eorum, ampla ædificia templorum inſpiciunt, & oſculantur ſericis & auro inuoluta ſacra oſſa ipſorum. Et ecce, tu præſens es hic apud me in altari, Deus meus, Sanctus Sanctorum, creator omnium, & Dominus Angelorum. Sæpè in talibus videndis curioſitas eſt hominum, & nouitas inuiſorum, & modicus reportatur emendationis fructus; maximè vbi eſt tam leuis, ſine vera contritione, diſcurſus. Hic autem in ſacramento altaris, totus præſens es, Deus meus, homo Chriſtus Ieſus: vbi

Digitized by Google

χαὶ, τοσοῦτο εὐλαβείας πάθος ἐν τῇ τοῦ θεοῦ θεραπείᾳ ἐπιδειξάντων.

ζ. Ὠρχήσατο ὁ εὐλαβέστατος βασιλεὺς ὁ Δαβὶδ, ἔμπροσθεν τῆς κιβωτοῦ τοῦ θεοῦ ἐξ ὅλης ἰσχύος, τῶν τοῖς πάλαι πατράσι γινομένων εὐεργετημάτων ἀναμνησθείς· ἐποίησε ποικίλα ὄργανα, τοὺς ψαλμοὺς ἐξέδωκε, καὶ ἐπέταξεν ᾄδεσθαι αὐτοὺς ἐν εὐφροσύνῃ· ἔτι δὲ καὶ αὐτὸς πολλάκις τῇ κιθάρᾳ ᾖσε, τῇ τοῦ ἁγίου πνεύματος χάριτι ἔμπνευστος ὤν· τὸν λαὸν τοῦ Ἰσραὴλ ἐδίδαξε τὸν θεὸν ὅλῃ τῇ καρδίᾳ αἰνέσαι, καὶ συνεχεῖ στόματι καθ' ἑκάστην εὐλογῆσαι καὶ κηρύξαι. εἰ τοσαύτη εὐλάβεια καὶ ἀνάμνησις τοῦ θείου ἐπαίνου ἐναντίον τῆς κιβωτοῦ τῆς διαθήκης τότε ἐγένετο, πόσην αἰδῶ καὶ εὐλάβειαν δεῖ νῦν ἐμὲ, καὶ πάντα τὸν χριστιανὸν λαὸν ἐν παρουσίᾳ τοῦ μυστηρίου, καὶ ἐν κοινωνίᾳ τοῦ ἐπιφανεστάτου σώματος τοῦ Χριστοῦ ἔχειν;

η. Πολλοὶ εἰς διαφέροντας τόπους τρέχουσι, τοῦ τὰ τῶν ἁγίων λείψανα ἐπισκέψασθαι, καὶ τὰς αὐτῶν πράξεις ἀκούσαντες θαυμάζουσι, τὰς τῶν ναῶν μεγάλας οἰκοδομὰς ἐφορῶσι, καὶ τὰ ἅγια ὀστέα αὐτῶν τὰ σηρικοῖς καὶ χρυσοῖς ἐντυλιχθέντα καταφιλοῦσι· ἰδοὺ δὲ σὺ πάρει ἐνθάδε παρά μοι ἐν τῷ θυσιαστηρίῳ, ὁ θεός μου, ὁ ἅγιος τῶν ἁγίων, κτιστὴς ἁπάντων, καὶ κύριος τῶν ἀγγέλων. πολλάκις ἐν τῷ τοιαῦτα βλέπειν περιεργία τῶν ἀνθρώπων ἐστὶ, καὶ τῶν οὐχ ἑωραμένων καινότης, καὶ ὀλίγη ὠφέλεια τῆς ἐπανορθώσεως ἐκεῖθεν γίνεται, ἄλλως τε ἐὰν ἡ διαδρομὴ οὕτω κούφη ἄνευ τῆς ἀληθινῆς συντρίψεως ᾖ. ἔνθα δὲ ἐν τῷ μυστηρίῳ τοῦ θυσιαστηρίου ὅλος πάρει ὁ θεός μου, ὁ ἄνθρωπος Χριστὸς Ἰησοῦς·



Digitized by Google

vbi & copioſus percipitur æternæ ſalutis fructus, quotieſcunque fueris dignè ac deuotè ſuſceptus. Ad iſtud verò non trahit leuitas aliqua, nec curioſitas aut ſenſualitas: ſed firma fides, deuota ſpes, & ſyncera charitas.

9. O inuiſibilis conditor mundi Deus, quàm mirabiliter agis nobiſcum: quàm ſuauiter & gratioſè cum electis tuis diſponis, quibus temetipſum in ſacramento ſumendum proponis. Hoc namque omnem intellectum ſuperat: hoc ſpecialiter deuotorum corda trahit, & accendit affectum. Ipſi enim veri fideles tui, qui totam vitam ſuam ad emendationem diſponunt, ex hoc digniſſimo ſacramento, magnam deuotionis gratiam, & virtutis amorem frequenter recipiunt.

10. O admirabilis & abſcondita gratia ſacramenti, quam norunt tantùm Chriſti fideles: infideles autem, & peccatis ſeruientes, experiri non poſſunt. In hoc ſacramento confertur ſpiritualis gratia, & reparatur in anima virtus amiſſa: & per peccatum deformata redit pulchritudo. Tanta eſt aliquando hæc gratia, vt ex plenitudine collatæ deuotionis, non tantùm mens, ſed & debile corpus, vires ſibi præſtitas ſentiat ampliores.

11. Dolendum tamen valde & miſerandum, ſuper tepiditate & negligentia noſtra, quòd non maiori affectione trahimur ad Chriſtū ſumendū in quo tota ſpes ſaluandorū conſiſtit, & meritū.

Ipſe

ὅπου καὶ εὔπορος ὁ τῆς αἰωνίου σωτηρίας καρπὸς λαμβάνεται, ὁποσάκις ἂν ἀξίως καὶ εὐλαβῶς παραδεχθῇς. εἰς τοῦτο δ' οὐ κουφότης τις, οὐδὲ πολυπραγμοσύνη, ἢ τὸ αἰσθητικὸν, ἀλλ' ἡ βεβαία πίστις, εὐλαβὴς ἐλπὶς, καὶ εἰλικρινὴς ἀγάπη ἑλκύει.

θ'. Ὦ ἀόρατε κτιστὰ τοῦ κόσμου ὁ θεὸς, ὡς θαυμαστῶς προσφέρῃ ἡμῖν, ὡς ἡδέως καὶ χαριέντως τὰ τῶν ἐκλεκτῶν σου διατίθης, οἷσπερ σεαυτὸν ἐν τῷ μυστηρίῳ εἰς τὸ λαμβάνεσθαι προτίθης. τοῦτο γὰρ παντὸς τοῦ νοὸς ὑπερέχει· τοῦτο ἰδίως τὰς τῶν εὐλαβῶν καρδίας ἑλκύζει, καὶ τὴν ὁρμὴν ἀνάπτει. οἱ γὰρ ἀληθινοὶ πιστοί σου, οἱ ὅλον τὸν βίον αὐτῶν εἰς τὴν ἐπανόρθωσιν διοικοῦντες, ἐκ τοῦ ἀξιωτάτου μυστηρίου τούτου μεγάλην χάριν τῆς εὐλαβείας, καὶ τὴν φιλαρετίαν συχνῶς καρποῦνται.

ι'. Ὦ τῆς θαυμασίου καὶ ἀποκρύφου χάριτος τοῦ μυστηρίου, ἣν μόνον οἱ τοῦ Χριστοῦ πιστοὶ γινώσκουσιν. οἱ δ' ἄπιστοι καὶ τοῖς ἁμαρτήμασι δουλεύοντες, αὐτῆς πειρᾶσθαι οὐ δύνανται. ἐν τούτῳ μυστηρίῳ ἡ πνευματικὴ χάρις παρέχεται, καὶ ἡ δύναμις τῆς ψυχῆς ἡ ἀπολωλυῖα πάλιν ἀναλαμβάνεται, καὶ τὸ κάλλος διὰ τῆς ἁμαρτίας ἀπομορφωθὲν ἀνανεοῦται. τοσαύτη ποτέ ἐστιν αὕτη ἡ χάρις, ὥστε ἐκ τοῦ πληρώματος τῆς δοθείσης εὐλαβείας οὐ μόνον ὁ νοῦς, ἀλλὰ καὶ τὸ ἀσθενὲς σῶμα τὴν τῆς δυνάμεως αὔξησιν αἰσθάνεται.

ια'. Λυπητέον δὲ καὶ σφόδρα ἐλεητέον τὴν χλιαρότητα καὶ ῥᾳθυμίαν ἡμῶν, ὅτι οὐ μείζονι ὁρμῇ εἰς τὸ τὸν Χριστὸν λαβεῖν ἑλκυόμεθα, ἐν ᾧπερ ἡ πᾶσα ἐλπὶς καὶ ἡ ἀξία τῶν σωσίων κεῖται.

Ipſe enim eſt ſanctificatio noſtra, & redemptio: ipſe conſolatio viatorum, & ſanctorum æterna fruitio. Dolendum itaque valde, quòd multi tam parum hoc ſalutare myſterium aduertunt, quod cælum lætificat, & mundum conſeruat vniuerſum. Heu cæcitas, & duritia cordis humani, tam ineffabile donum non magis attendere, & ex quotidiano vſu, etiam ad inaduertentiam defluere.

12. Si enim hoc ſanctiſſimum ſacramentum, in vno tantùm celebraretur loco, & ab vno tantùm conſecraretur ſacerdote in mundo: quanto putas deſiderio ad illum locum, & ad talem Dei ſacerdotem, homines afficerentur, & diuina myſteria celebrari audirent? Nunc autem multi facti ſunt ſacerdotes, & in multis locis offertur Chriſtus: vt tantò maior appareat gratia, & dilectio Dei ad hominem: quantò latiùs eſt ſacra communio, diffuſa per orbem. Gratias tibi IESV bone, paſtor æterne, qui nos pauperes & exules dignatus es precioſo corpore & ſanguine tuo reficere: & ad hæc myſteria percipienda, etiam proprij oris tui alloquio, inuitare, dicendo: Venite ad me omnes, qui laboratis & onerati eſtis, & ego reficiam vos.

## CAP. II.

*Quòd magna bonitas & charitas Dei, in Sacramento, homini exhibetur.*

### VOX DISCIPVLI.

1. SVper bonitate tua, & magna miſericordia tua Domine confiſus, accedo æger ad ſaluatorem, eſuriens & ſitiens ad fontem vitæ, egenus ad regem cæli, ſeruus ad dominum, creatura

ad cre-

Digitized by Google

αὐτὸς γάρ ἐστιν ὁ ἁγιασμὸς καὶ ἡ λύτρωσις ἡμῶν· αὐτὸς παράκλησις τῶν ὁδιτῶν, καὶ τῶν ἁγίων αἰώνιος ἀπόλαυσις. ἀνιατίον οὖν σφόδρα, ὅτι πολλοὶ τούτου σωτηρίου μυστηρίου τὸν τὸν οὐρανὸν εὐφραίνοντος, καὶ ὅλον τὸν κόσμον διαφυλάττοντος, οὕτως ὀλίγον λόγον ἔχουσι. φεῦ τῆς τυφλότητος, καὶ τῆς τῶν ἀνθρώπων σκληροκαρδίας, τῆς τῷ οὕτως ἀπορρήτῳ δώρῳ οὐ μᾶλλον τὸν νοῦν προσεχούσης, ἀλλὰ δὴ καὶ ἐκ τῆς καθημερινῆς χρήσεως, εἰς τὴν ἀπροσεξίαν ἐμπιπτούσης.

ιβ'. Εἰ γὰρ τοῦτο τὸ ἁγιώτατον μυστήριον ἐν ἑνὶ τόπῳ μόνον ἐτελεῖτο, καὶ μόνον ὑφ' ἑνὸς ἱερέως ἐν τῷ κόσμῳ ηὐλογεῖτο, ὡς ἄρα ἐπιθυμητικῶς πρὸς ἐκεῖνον τὸν τόπον, καὶ πρὸς τοιοῦτον τοῦ θεοῦ ἱερέα οἱ ἄνθρωποι εἶχον, καὶ τῆς τελετῆς τῶν θείων μυστηρίων ἤκουον; νυνὶ δὲ πολλοὶ ἱερεῖς ἐγένοντο, καὶ πολλαχοῦ ὁ χριστὸς προσφέρεται, ἵνα τοσούτῳ μείζων ἡ χάρις, καὶ ἡ τοῦ θεοῦ φιλανθρωπία φανερωθῇ, ὅσῳ εὐρύτερον ἡ ἁγία κοινωνία ἐν τῷ κόσμῳ διεχύθη, εὐχαριστῶ σοι Ἰησοῦ ἀγαθὲ, αἰώνιε ποιμὴν, ὁ ἡμᾶς πτωχούς τε καὶ φυγάδας, τῷ τιμίῳ σώματι καὶ αἵματί σου ἑστιάσαι ἀξιώσας, καὶ εἰς τὸ ταῦτα μυστήρια λαβεῖν, τῇ τοῦ ἰδίου στόματος προσφωνήσει καλέσας, τῷ λέγειν· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

## Κεφ. β'.

### Ὅτι μεγάλη ἀγαθότης καὶ ἀγάπη τοῦ θεοῦ τῷ ἀνθρώπῳ ἐν τῷ μυστηρίῳ παρέχεται.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

α'. Τῇ ἀγαθότητί σου καὶ μεγάλῳ ἐλέει σου, κύριε, πεποιθὼς, ἔρχομαι ἀσθενὴς πρὸς τὸν σωτῆρα, πεινάλεος καὶ διψαλέος πρὸς τὴν πηγὴν τῆς ζωῆς, πτωχὸς πρὸς τὸν βασιλέα τοῦ οὐρανοῦ, ὁ δοῦλος πρὸς τὸν κύριον, ἡ κτίσις

ad creatorem, deſolatus ad meum pium conſolatorem. Sed vnde hoc mihi, vt venias ad me? Quis ego ſum, vt præſtes mihi teipſum? Quomodo audet peccator, coram te apparere: & tu quomodo dignaris ad peccatorem venire? Tu noſti ſeruum tuum, & ſcis quia nil boni in ſe habet, vnde hoc illi præſtes. Confiteor igitur vilitatem meam, agnoſco tuam bonitatem, laudo pietatem, & gratias ago propter nimiam charitatrm. Propter temetipſum enim hoc facis, non propter mea merita: vt bonitas tua mihi magis innoteſcat, charitas amplior ingeratur, & humilitas perfectiùs commendetur. Quia ergò tibi hoc placet, & tu ſic fieri iuſſiſti, placet & mihi dignatio tua, & vtinam iniquitas mea non obſiſtat.

2. O dulciſſime & benigniſſime Ieſu, quanta tibi reuerentia & gratiarum actio cum perpetua laude, pro ſuſceptione ſacri corporis tui debetur, cuius dignitatem nullus hominum explicare potens inuenitur. Sed quid cogitabo in hac communione, in acceſſu ad Dominum meum, quem debitè venerari nequeo, & tamen deuotè ſuſcipere deſidero? Quid cogitabo melius & ſalubrius, niſi meipſum totaliter humiliando coram te, & tuam infinitam bonitatem exaltando ſupra me? Laudo te, Deus meus, & exalto in æternum. Deſpicio me, & ſubiicio tibi, in profundum vilitatis meæ.

3. Ecce tu ſanctus ſanctorum, & ego ſordes peccatorum. Ecce tu inclinas te ad me, qui non

πρὸς τὸν κτίστην, ἀπαράκλητος πρὸς τὸν εὔσπλαγχνον παράκλητόν μου. πόθεν δέ μοι τοῦτο, ἵν' ἔλθῃς πρὸς ἐμέ; τίς ἐγώ εἰμι, ἵνα παράσχῃς μοι σεαυτόν; πῶς τολμᾷ ὁ ἁμαρτωλὸς ἐνώπιόν σου φαίνεσθαι; καὶ πῶς σύ τῷ ἁμαρτωλῷ προσελθεῖν ἀξιοῖς; σὺ ἔγνως τὸν δοῦλόν σου, καὶ οἶδας ὅτι μηδὲν ἀγαθὸν ἐν ἑαυτῷ ἔχει, ὅθεν ἂν τοῦτο αὐτῷ χαρίσῃ. διὸ ὁμολογῶ τὴν εὐτέλειάν μου, γινώσκω τὴν ἀγαθότητά σου, ἐπαινῶ τὴν ἠπιότητα, καὶ ἀντὶ τῆς ἄγαν ἀγάπης σου εὐχαριστῶ. διὰ σεαυτὸν γὰρ τοῦτο ποιεῖς, οὐ διὰ τὴν ἀξίαν μου, τοῦ τὴν ἀγαθότητά σου μᾶλλον φανερωθῆναι, τήν τε ἀγάπην μείζω ἐμποιηθῆναι, καὶ τὴν ταπεινότητα τελειότερον συσταθῆναι. ἐπεὶ οὖν τοῦτο ἀρέσκει σοι, καὶ σὺ οὕτω γενέσθαι ἐκέλευσας, καὶ ἡ ἀξίωσίς σου ἀρέσκει μοι, εἴθε δὲ ἡ ἀδικία μου οὐκ ἦν ἐμποδών.

β΄. Ὦ ἥδιστε καὶ προσηνέστατε Ἰησοῦ, πόση εὐλάβεια καὶ εὐχαριστία σὺν αἰωνίῳ ἐπαίνῳ ὑπὲρ τῆς σοῦ ἁγίου σώματός σου λήψεώς σοι ὀφείλεται, οὗ τινος ἀξίωμα οὐδεὶς τῶν ἀνθρώπων ἐξηγεῖσθαι δυνάμενος εὑρίσκεται. ἀλλὰ τί ἐννοήσω ἐν ταύτῃ τῇ κοινωνίᾳ, ἐν τῇ προσελεύσει πρὸς τὸν κύριόν μου, ὃν μὲν δεόντως τιμᾶν οὐχ οἷός τ' εἰμι, εὐλαβῶς δ' ἀναδέχεσθαι ἐπιποθῶ; τί βέλτιον καὶ σωτηριωδέστερον ἐνθυμηθήσομαι, ἢ ἐμαυτὸν ὅλως ταπεινῶν ἐνώπιόν σου, καὶ τὴν ἄπειρον ἀγαθότητά σου ὑψῶν ὑπὲρ ἐμοῦ; ἐπαινῶ σε, ὁ θεός μου, καὶ ὑψῶ εἰς τὸν αἰῶνα. ὑπερορῶ με, καὶ ὑποτάττω σοι εἰς τὸ βάθος τῆς εὐτελείας μου.

γ΄. Ἰδοὺ σὺ ὁ ἅγιος τῶν ἁγίων, κἀγὼ ὁ ῥύπος τῶν ἁμαρτιῶν. ἰδοὺ σὺ κλίνεις σε πρός με τὸν

non ſum dignus ad te reſpicere. Ecce tu venis ad me, tu vis eſſe mecum, tu inuitas ad conuiuium tuum. Tu mihi dare vis cæleſtem cibum, & panem angelorum ad manducandum: non alium ſanè, quàm teipſum, panem viuum, qui de cælo deſcendiſti, & das vitam mundo.

4. Ecce, vnde dilectio procedit, qualis dignatio illuceſcit, quàm magnæ gratiarum actiones & laudes tibi pro his debentur. O quàm ſalutare & vtile conſilium tuum, cùm iſtud inſtituiſti: quàm ſuaue & iucundum conuiuium, cùm teipſum in cibum donaſti. O quàm admirabilis operatio tua Domine, quàm potens virtus tua, quàm ineffabilis veritas tua. Dixiſti enim, & facta ſunt omnia: & hoc factum eſt, quod ipſe iuſſiſti.

5. Mira res, & fide digna, ac humanum vincens intellectum: quòd tu, Domine Deus meus, verus Deus & homo, ſub modica ſpecie panis & vini, integer contineris, & ſine conſumptione à ſumente manducaris. Tu Domine vniuerſorum, qui nullius habes indigentiam, voluiſti per ſacramentum tuum habitare in nobis: conſerua cor meum, & corpus immaculatum: vt læta & pura conſcientia, ſæpiùs tua valeam celebrare myſteria, & ad meam perpetuam accipere ſalutem: quæ ad tuum præcipuè honorem, & memoriale perenne ſanxiſti & inſtituiſti.

6. Lætare anima mea, & gratias age Deo, pro tam nobili munere & ſolatio ſingulari, in hac lachrymarum valle, tibi relicto. Nam quoties hoc myſterium recolis, & Christi corpus accipis: toties tuæ redemptionis opus agis, & par-

Digitized by Google

ἀνάξιον ὄντα τοῦ ἐπιβλέπειν σε. ἰδοὺ σὺ ἔρχῃ πρὸς με· σὺ ἐθέλεις παρεῖναί μοι, σὺ καλεῖς εἰς τὴν εὐωχίαν σε· σὺ βούλει διδόναι μοι τὴν οὐράνιον βρῶσιν, καὶ τὸν τῶν ἀγγέλων ἄρτον τοῦ φαγεῖν· οὐκ ἄλλον δήπου γινόμενον, ἢ σεαυτὸν, ἄρτον ζῶντα, τὸν ἐκ τοῦ οὐρανοῦ καταβάντα, καὶ τῷ κόσμῳ τὴν ζωὴν διδόντα.

δ'. Ἰδοὺ, πόθεν ἡ ἀγάπη προέρχεται, ποία ἀξίωσις ἐκλάμπει, ὡς μεγάλαι εὐχαριστίαι καὶ ἔπαινοί σοι ὑπὲρ τούτων ὀφείλονται. ὡς σωτηριώδης καὶ χρήσιμος ἡ βουλή σου τοῦτο συντάξαντος, ὡς ἡδεῖα καὶ τερπνὴ εὐωχία τοῦ σεαυτὸν εἰς τὴν βρῶσιν δωρησαμένου. ὡς θαυμαστὴ ἡ πρᾶξίς σου κύριε, ὡς δυνατὴ ἡ ἰσχύς σου, ὡς ἀπόρρητος ἡ ἀλήθειά σου. εἶπες γὰρ, καὶ πάντα ἐγενήθη· καὶ τοῦτο ἐγενήθη, ὅ, τι αὐτὸς ἐνετείλω.

ε. Θαυμάσιον χρῆμα, ἀξιόπιστόν τε καὶ πάσης συνέσεως ὑπερέχον· ὅτι σὺ κύριε ὁ θεός μου, ὁ ἀληθινὸς θεὸς καὶ ἄνθρωπος, ὑπὸ μικρῷ εἴδει τοῦ ἄρτου καὶ τοῦ οἴνου ὅλος κατέχῃ, καὶ ἄνευ ἀναλώσεως ὑπὸ τοῦ λαμβάνοντος ἐσθίῃ. σὺ κύριε τῶν πάντων, ὁ μηδενὸς χρείαν ἔχων διὰ τοῦ μυστηρίου σου σκηνοῦν ἐν ἡμῖν ἠθέλησας· διαφύλαξον τὴν καρδίαν μου καὶ τὸ σῶμά μου ἄσπιλον, ἵνα εὐθύμῳ καὶ καθαρᾷ συνειδήσει τὰ μυστήριά σου πλεονάκις τελέσαι, καὶ εἰς τὴν αἰώνιον σωτηρίαν μου λαβεῖν δυνηθῶ, ἅτινα μάλιστα εἰς τὴν τιμήν σου καὶ ἀΐδιον μνημόσυνον ἐνίδρυσας καὶ διέταξας.

ϛ'. Χαῖρε ἡ ψυχή μου, καὶ εὐχαρίστει τῷ θεῷ ὑπὲρ τοῦ οὕτως εὐδοκίμου δώρου, καὶ τῆς ἐξαιρέτου παραμυθίας τῆς ἐν ἐνθάδε τῇ τῶν δακρύων κοιλάδι σοι καταλειφθείσης. ὁσάκις γὰρ τοῦτο μυστήριον ἀναλαμβάνεις, καὶ τὸ τοῦ Χριστοῦ σῶμα δέχῃ, τοσάκις τὰ τῆς λυτρώσεώς σου ἐργάζῃ,



Digitized by Google

& particeps omnium meritorum Chriſti efficeris. Charitas etenim Chriſti nunquam minuitur, & magnitudo propitiationis eius nunquam exhauritur. Ideo noua ſemper mentis renouatione, ad hoc diſponere te debes, & magnum ſalutis myſterium attenta conſideratione penſare. Ita magnum, nouum, & iucundum tibi videri debet, cùm celebras, aut miſſam audis: ac ſi eodem die, Chriſtus primùm in vterum virginis deſcendens, homo factus eſſet: aut in cruce pendens, pro ſalute hominum pateretur & moreretur.

## Cap. III.

### *Quòd vtile ſit, ſæpe communicare.*

### Vox Discipvli.

1. Ecce, ego ad te venio Domine, vt bene mihi ſit ex munere tuo, & lætificer in conuiuio ſancto tuo, quod paraſti in dulcedine tua pauperi Devs. Ecce, in te eſt totum, quod deſiderare poſſum & debeo, tu ſalus mea, & redemptio, ſpes & fortitudo, decus & gloria. Lætifica ergò hodie animam ſerui tui, quoniam ad te Domine Iesv animam meam leuaui. Deſidero te nunc deuotè ac reuerenter ſuſcipere; cupio te in domum meam inducere, quatenus cum Zachæo merear à te benedici, ac inter filios Abrahæ computari. Anima mea corpus tuum concupiſcit, cor meum tecum vniri deſiderat.

2. Trade te mihi, & ſufficit. Nam præter te, nulla conſolatio valet. Sine te eſſe nequeo, & ſine viſitatione tua viuere non valeo.

Ideoque

καὶ πασῶν τῶν ἀξιῶν τοῦ Χριστοῦ κοινωνὸς ἀποβαίνεις. ἡ γὰρ τοῦ Χριστοῦ ἀγάπη μηδέποτε μειοῦται, καὶ τὸ τοῦ ἱλασμοῦ αὐτοῦ μέγεθος μηδέποτε ἐκκενοῦται. διόπερ τῇ τοῦ νοὸς καινῇ ἀνανεώσει εἰς τοῦτό σε ἀεὶ παρασκευάσαι, καὶ τὸ μέγα μυστήριον προσεχεῖ διασκέψει σταθμήσασθαι ὀφείλεις. οὕτω μέγα, καινὸν, καὶ ἡδύ σοι λειτουργοῦντι, ἢ τῆς λειτουργίας ἀκούοντι δοκεῖν χρὴ, ὡσπερανεὶ αὐθημερὸν ὁ χριστὸς πρῶτον εἰς τὴν τῆς παρθένου κοιλίαν καταβὰς ἐνηνθρώπησεν, ἢ ἐν τῷ σταυρῷ κρεμάμενος ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας ἔπαθε καὶ ἀπέθανε.

## Κεφ. γ΄.

### Ὅτι τὸ πολλάκις κοινωνεῖν συμφέρει.

### Ἡ φωνὴ τοῦ μαθητοῦ.

α΄. Ἰδοὺ, ἐγὼ πρός σε ἔρχομαι κύριε, ἵν᾽ ἐκ τοῦ δώρου σοῦ καλῶς ἔχω, καὶ εὐφρανθῶ ἐν τῇ ἁγίᾳ εὐωχίᾳ σου, ἣν ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ θεός. ἰδοὺ ἐν σοὶ πᾶν ἐστιν ὅ, τι δύναμαι καὶ ὀφείλω ἐπιποθεῖν· σὺ σωτηρία μου, καὶ λύτρωσις, ἐλπὶς καὶ ἰσχὺς, εὐπρέπεια καὶ δόξα. εὔφρανον οὖν σήμερον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ, κύριε Ἰησοῦ, τὴν ψυχήν μου ἦρα. ἐφίεμαι νῦν εὐλαβῶς καὶ αἰδεσίμως σε ἀναδέξασθαι, ἐπιποθῶ σε εἰς τὸν οἶκόν μου εἰσαγαγεῖν, ὅπως σὺν τῷ Ζακχαίῳ ὑπὸ σοῦ εὐλογεῖσθαι, καὶ τοῖς τοῦ Αβραὰμ υἱοῖς συναριθμεῖσθαι ἀξιωθῶ. ἡ ψυχή μου τοῦ σώματός σου ἐπιθυμεῖ, ἡ καρδία μου συνενοῦσθαί σοι γλίχεται.

β΄. Παράδος σε ἐμοὶ, καὶ ἀρκεῖ. χωρὶς γάρ σου, οὐδεμία παράκλησις ἰσχύει. ἄνευ σου εἶναι οὐ δύναμαι, καὶ ἄνευ τῆς ἐπισκέψεώς σου οὐχ οἷός τ᾽ εἰμι ζῆν.

διόπερ

ideoq̃ue oportet me frequenter ad te accedere, & in remedium ſalutis meæ recipere; ne fortè deficiam in via, ſi fuero cæleſti fraudatus alimonia. Sic enim tu miſericordiſſime Iesv, prædicans populis, & varios curans languores, aliquando dixiſti: Nolo eos ieiunos dimittere in domum ſuam, ne deficiant in via. Age igitur hoc mecum modo, qui te pro fidelium conſolatione in ſacramento reliquiſti. Tu es enim ſuauis refectio animæ, & qui te dignè manducauerit, particeps & hæres erit æternæ gloriæ. Neceſſarium quidem mihi eſt, qui tam ſæpè labor, & pecco, tam citò torpeſco & deficio; vt per frequentes orationes & confeſſiones, ac ſacram tui corporis perceptionem, me renouem, mundem, & accendam; ne fortè diutiùs abſtinendo, à ſancto propoſito defluam.

3. Proni enim ſunt ſenſus hominis ad malum, ab adoleſcentia ſua, & niſi ſuccurrat diuina medicina, labitur homo mox ad peiora. Retrahit ergo ſancta communio à malo, & confortat in bono. Si enim modò tam ſæpè negligens ſum & tepidus, quando communico aut celebro; quid fieret, ſi medelam non ſumerem, & tam grande iuuamen non quærerem? Et licet omni die non ſim aptus nec ad celebrandum bene diſpoſitus; dabo tamen operam, congruis temporibus diuina percipere myſteria, ac tantæ gratiæ participem me præbere. Nam hæc eſt vna principalis fidelis animæ conſolatio, quàm diu peregrinatur à te in mortali corpore, vt ſæpiùs memor Dei ſui, dilectum ſuum deuota ſuſcipiat mente.

4. Omi-

Digitized by Google

διόπερ καὶ ἐμὲ πολλάκις σοι προσελθόντα εἰς θεραπείαν τῆς σωτηρίας μου ἀποδέξασθαί σε, μήποτε ἐν τῇ ὁδῷ ἐλλείψω, τῆς οὐρανίου τροφῆς ἀποστερηθείς. οὕτω γὰρ σὺ ἐλεεινότατε Ἰησοῦ, τοῖς λαοῖς εὐαγγελιζόμενος, καὶ ποικίλας νόσους θεραπεύων, ἔλεξάς ποτε· οὐκ ἐθέλω αὐτοὺς νήστεις ἀφεῖναι εἰς οἶκον αὐτῶν, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ· τοῦτον οὖν τρόπον χρῆσαί μοι, ὁ ὑπὲρ τῆς τῶν πιστῶν παρακλήσεως ἐν τῷ μυστηρίῳ σε καταλιπών. σὺ γὰρ ἡδεῖα ἑστίασις τῆς ψυχῆς, καὶ ὁ ἀξίως σε φαγὼν τῆς αἰωνίου δόξης μεθέξει καὶ κληρονομήσει. ἀναγκαῖον δέ ἐστιν ἐμοὶ τῷ οὕτω πολλάκις ὀλισθαίνοντι καὶ ἁμαρτάνοντι, οὕτω ταχέως χλιαινομένῳ καὶ ἐλλείποντι, διὰ τῶν συχνῶν δεήσεων καὶ ὁμολογήσεων, καὶ τῆς τοῦ σώματός σου ἱερᾶς λήψεως ἀνακαινοῦσθαι, καθαρίζεσθαι, καὶ ἀνάπτεσθαι, μήποτε διὰ πλείονος ἀπέχων τῆς ἁγίας προαιρέσεως ἐκπέσω.

γ'. Η γὰρ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ ἔγκειται, καὶ τῆς θείας θεραπείας οὐκ ἀντιλαμβανούσης, ὁ ἄνθρωπος εἰς τὰ χείρω εὐθέως καταπίπτει. ἡ τοίνυν ἁγία κοινωνία τοῦ κακοῦ ἀποτρέπει, καὶ ἐν τῷ ἀγαθῷ ἐνδυναμοῖ. εἰ γὰρ νῦν οὕτω πολλάκις ῥαθυμῶ καὶ χλιαίνομαι, κοινωνῶν ἢ λειτουργῶν, τί ἂν ἐγίνετο, ἐμοῦ τὸ ἴαμα οὐ λαμβάνοντος, οὐδὲ τοιαύτην βοήθειαν ζητοῦντος; εἰ καὶ καθ' ἑκάστην οὐκ ἐπιτήδειος, οὐδ' εἰς τὸ λειτουργεῖν ἕτοιμος ὑπάρχω, ὅμως ἐπιχειρήσω τοῖς εὐκαίροις καιροῖς τὰ θεῖα μυστήρια λαβεῖν, καὶ τοιαύτης χάριτος κοινωνεῖν. αὕτη γὰρ μία τῶν ἐξαιρέτων παραμυθιῶν ἐστι τῆς πιστῆς ψυχῆς, ἐφ' ὅσον ἐν τῷ θνητῷ σώματι ἀπὸ σοῦ ἐκδημεῖ, ὅπως πλεονάκις μεμνημένη τοῦ θεοῦ αὐτῆς, τὸν ἀγαπητὸν αὐτῆς εὐλαβῶς ὑποδέξηται.

δ. Ω τ

4. O mira circa nos tuæ pietatis dignatio, quòd tu Domine Deus, creator & viuificator omnium ſpirituum, ad pauperculam dignaris venire animam, & cum tota diuinitate tua ac humanitate, eius impinguare eſuriem. O felix mens & beata anima. quæ te Dominum Deum ſuum meretur deuotè ſuſcipere, & in tui ſuſceptione, ſpirituali gaudio repleri. O quàm magnum ſuſcipit Dominum, quàm dilectum inducit hoſpitem, quàm iucundum recipit ſocium. quàm fidelem acceptat amicum, quàm ſpecioſum & nobilem amplectitur ſponſum præ omnibus dilectis, & ſuper omnia deſiderabilia amandum. Si'eant à facie tua, (dulciſſime dilecte mi) cælum & terra, & omnis ornatus eorum; quoniam quicquid laudis habent ac decoris, ex dignatione tuæ eſt largitatis, nec ad decorem tui peruenient nominis, cuius ſapientiæ non eſt numerus.

## CAP. IIII.

### *Quòd multa bona præſtantur deuotè communicantibus.*

### VOX DESCIPVLI.

1. DOmine Deus meus, præueni ſeruum tuum in benedictionibus dulcedinis tuæ, vt ad tuum magnificum ſacramentum, dignè ac deuotè merear accedere. Excita cor meum in te, & à graui torpore exue me. Viſita me in ſalutari tuo, ad guſtandum in ſpiritu ſuauitatem tuam, quæ in hoc ſacramento, tanquam in fonte, plenariè latet. Illumina quoque òculos meos, ad intuendum tantum myſterium; & ad credendum

δ'. Ὦ τῆς θαυμαστῆς ἀξιώσεως τῆς πρὸς ἡμᾶς εὐσπλαγχνίας σου, ὅτι σὺ κύριε ὁ θεὸς, κτίστης καὶ ζωοποιὸς πάντων πνευμάτων, πρὸς πενιχρὰν ψυχὴν ἔρχεσθαι, καὶ σὺν ὅλῃ τῇ θεότητι καὶ ἀνθρωπότητί σου τὴν πεῖναν αὐτῆς πιαίνειν ἀξιοῖς. ὢ τοῦ εὐτυχοῦς νοὸς καὶ τῆς μακαρίας ψυχῆς τῆς ἀξιουμένης σε τὸν κύριον τὸν θεὸν αὐτῆς εὐλαβῶς ὑποδέξασθαι, καὶ ἐν τῇ ὑποδοχῇ σου, τῆς πνευματικῆς χαρᾶς ἐμπλησθῆναι. ὡς μέγαν κύριον ὑποδέχεται, ὡς ἀγαπητὸν ξένον εἰσάγει, ὡς ἡδὺν ἑταῖρον δέχεται, ὡς πιστὸν φίλον λαμβάνει, ὡς ὡραῖον καὶ εὐγενῆ νυμφίον παρὰ πάντας ἀγαπητὸν, καὶ ὑπὲρ πάντα ἐπιθυμητὰ προσφιλῆ περιβάλλει. σιγάτωσαν ἀπὸ προσώπου σου (ἡδύτατε ἀγαπητέ μου) ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν· πᾶς γὰρ αἶνος, καὶ εὐπρέπεια, ἣν ἔχουσιν ἐκ τῆς ἀξιώσεως τῆς σῆς δαψιλείας ἐστὶ, καὶ οὐκ ἀφίξονται τῆς εὐπρεπείας τοῦ ὀνόματός σου, οὗ τινος σύνεσίς ἐστι ἄπειρος.

## Κεφ. δ'.

### Ὅτι πολλὰ ἀγαθὰ τοῖς εὐλαβῶς κοινωνοῦσι παρέχεται.

### Ἡ φωνὴ τοῦ μαθητοῦ.

α'. Κύριε ὁ θεός μου, πρόφθασον τὸν δοῦλόν σου ἐν εὐλογίαις χρηστότητός σου, ἵνα τῷ μεγαλοπρεπεῖ μυστηρίῳ σου ἀξίως καὶ εὐλαβῶς προσελθεῖν ἀξιωθῶ. ἔγειρον τὴν καρδίαν μου εἰς σε, καὶ τὴν δεινὴν νάρκην ἀπόδυσόν με· ἐπίσκεψαί με ἐν τῷ σωτηρίῳ σου, τοῦ ἐν τῷ πνεύματι γεύσασθαι τῆς ἡδύτητός σου, τῆς ἐν τῷ μυστηρίῳ τούτῳ, ὥσπερ ἐν πηγῇ, ἐκπλέως ἀποκρυπτομένης. ἔτι δὲ φώτισον τοὺς ὀφθαλμούς μου, τοῦ τοσοῦτον μυστήριον θεωρεῖν, καὶ εἰς τὸ ἀναμφισβητή-

dendum illud indubitata fide, me robora. Eſt enim operatio tua, non humana potentia: tua ſacra inſtitutio, non hominis adinuentio. Non enim ad hæc capienda & intelligenda aliquis idoneus per ſe reperitur, quæ angelicam etiam ſubtilitatem tranſcendunt. Quid ergo ego peccator indignus, terra & cinis, de tam alto ſacro ſecreto, potero inueſtigare & capere?

2. Domine, in ſimplicitate cordis mei, in bona firma fide, & in tua iuſſione, ad te cum ſpe ac reuerentia accedo: & verè credo, quia tu præſens es hic in ſacramento, Deus & homo. Vis ergo, vt te ſuſcipiam, & meipſum tibi in charitate vniam. Vnde tuam precor clementiam, & ſpecialem ad hoc imploro; mihi donari gratiam; vt totus in te liqueſiam & amore perfluam, atque de nulla aliena conſolatione ampliùs me intromittam. Eſt enim hoc altiſſimum & digniſſimum ſacramentum, ſalus animæ & corporis, medicina omnis ſpiritualis languoris: in quo vitia mea curantur, paſſiones frenantur, tentationes vincuntur ac minuuntur: gratia maior infunditur, virtus incæpta augetur, firmatur fides, ſpes roboratur, & charitas igneſcit ac dilatatur.

3. Multa namque bona largitus es, & adhuc ſæpiùs largiris in ſacramento, dilectis tuis deuotè communicantibus, Deus meus, ſuſceptor animæ meæ, reparator infirmitatis humanæ, & totius dator conſolationis æternæ. Nam multam ipſis conſolationem, aduersùs variam tribulationem infundis, & de imo deiectionis

pro-

φισβητήτῳ πίςει πιςεύειν αὐτὸ, κραταίωσόν με. ἔςι γὰρ ἐργασία σοῦ, οὐκ ἀνθρωπίνη ἐνέργεια· ἁγία διάταξίς σου, οὐ τοῦ ἀνθρώπου εὕρεσις ἐςίν. οὐ γὰρ εἰς τὸ ταῦτα χωρεῖν καὶ γινώσκειν ἐπιτήδειός τις καθ' ἑαυτὸν εὑρίσκεται, ἅτινα καὶ τῆς ἀγγελικῆς λεπτότητος ὑπερβαίνει. τί οὖν ἐγὼ ὁ ἀνάξιος ἁμαρτωλὸς, γῆ καὶ σποδὸς ὢν, περὶ τοῦ ὑψηλοῦ καὶ ἁγίου μυςηρίου ἐξετάζειν καὶ χωρεῖν δυνήσομαι;

β. Κύριε, ἐν ἁπλότητι τῆς καρδίας μου, ἐν ἀγαθῇ καὶ βεβαίᾳ πίςει, καὶ ἐν τῷ προςάγματί σου, πρός σε σὺν ἐλπίδι καὶ εὐλαβείᾳ προσέρχομαι, ἀληθῶς πιςεύων, ὅτι σὺ πάρει ἐνθάδε ἐν τῷ μυςηρίῳ, ὁ ἄνθρωπος καὶ ὁ θεός. ἐθέλεις τοίνυν ὑπ' ἐμοῦ ἀναλαμβάνεσθαι, καὶ ἐμαυτόν σοι ἀγαπητῶς ἑνοῦσθαι· διὸ τὴν προσήνειάν σου ἀξιῶ, καὶ ἰδίαν μοι χάριν εἰς τοῦτο δίδοσθαι δέομαι, τοῦ ὅλον με ἐν σοὶ τήκεσθαι, τῇ τε ἀγάπῃ διεκχέειν, καὶ μηδεμιᾷ ἄλλῃ παραμυθίᾳ ἔτι ἐφήδεσθαι. ἔςι γὰρ τοῦτο ὕψιςον καὶ ἀξιώτατον μυςήριον, σωτηρία τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ πάσης πνευματικῆς νόσου φάρμακον, ἐν ᾧ αἱ κακίαι μου θεραπεύονται, τὰ πάθη χαλιναγωγεῖται, οἱ πειρασμοὶ νικῶνται, καὶ μειοῦνται· χάρις μείζων ἐγχεῖται, ἡ καταρχθεῖσα ἀρετὴ αὐξάνεται, ἡ πίςις βεβαιοῦται, ἡ ἐλπὶς ἐνδυναμοῦται, καὶ ἡ ἀγάπη ἐκπυροῦται καὶ πλατύνεται.

γ. Πολλὰ γὰρ ἀγαθὰ ἐδωρήσω, καὶ ἔτι πλεονάκις δωρῇ ἐν τῷ μυςηρίῳ, τοῖς ἀγαπητοῖς σου εὐλαβῶς κοινωνοῦσιν, ὁ θεός μου, ἀντιλήπτωρ τῆς ψυχῆς μου, ἐπισκευαςὴς τῆς ἀνθρωπίνης ἀσθενείας, καὶ δοτὴρ πάσης τῆς ἔσω παρακλήσεως. αὐτοῖς γὰρ πολλὴν παράκλησιν κατὰ ποικίλης θλίψεως ἐγχέεις, καὶ ἐκ τοῦ βάθους τῆς

ἰδίας κα-

Digitized by Google

propriæ ad ſpem tuæ protectionis erigis, atque noua quadam gratia, eos intùs recreas & illuſtras: vt qui anxij primùm & ſine affectione, ſe ante communionem ſenſerant: poſtea refecti cibo potuque cæleſti, in melius ſe mutatos inueniant. Quod idcirco cum electis tuis diſpenſanter agis, vt veraciter agnoſcant, & patenter experiantur, quantùm infirmitatis ex ſeipſis habeant, & quid bonitatis ac gratiæ, ex te conſequantur. Quia ex ſemetipſis frigidi, duri, & indeuoti: ex te autem feruentes, alacres, & deuoti eſſe merentur. Quis enim ad fontem ſuauitatis humiliter accedens, non modicum ſuauitatis inde reportat? Aut quis iuxta ignem copioſum ſtans, non parum caloris inde percipit? Et tu fons es ſemper plenus & ſuperabundans, ignis iugiter ardens & nunquam deficiens.

4. Vnde ſi mihi non licet haurire de plenitudine fontis, nec vſque ad ſatietatem potare, apponam tamen os meum ad foramen cæleſtis fiſtulæ: vt ſaltem modicam inde guttulam capiam, ad refocillandam ſitim meam, vt non penitus exareſcam. Et ſi necdum totus cæleſtis & tam ignitus, vt Cherubin & Seraphin eſſe poſſum: conabor tamen deuotioni inſiſtere, & cor meum præparare, vt vel modicam diuini incendij flammam, ex humili ſumptione viuifici ſacramenti conquiram. Quicquid autem mihi deeſt IESV bone, Saluator ſanctiſſime, tu pro me ſupple benignè ac gratioſè,

qui

ὀλίας καταβολῆς εἰς τὴν ἐλπίδα τοῦ ὑπερασπισμοῦ σου ἐγείρεις, καὶ κρυφῇ τινι χάριτι αὐτοὺς ἔσω ἀναψύχεις καὶ φωτίζεις· ὅπως οἱ πρῶτον πολυμέριμνοι καὶ ἀδιάθετοι ὄντες πρὸ τῆς κοινωνίας ᾐσθάνοντο, εἶτα τῆς βρώσεως καὶ τῆς πόσεως τῆς οὐρανίου κορεσθέντες, εἰς τὸ βέλτιον ἑαυτοὺς μεταβληθέντας εὕρωσιν. οὕτω δὲ τὰ τῶν ἐκλεκτῶν σου διοικεῖς, τοῦ ἀληθῶς αὐτοὺς γινώσκειν, καὶ φανερῶς πειρᾶσθαι, ὅσον ἂν αὐτοὶ ἐξ αὐτῶν ἀσθενήσωσι, καὶ ὅσου ἀγαθῶν καὶ χάριτος ἐκ σοῦ ἐπιτύχωσιν. ὅτι ἐξ αὐτῶν μὲν ψυχροί, σκληροί, καὶ ἀκηδεῖς· ἐκ σοῦ δὲ ζεστοί, πρόθυμοι καὶ εὐλαβεῖς εἶναι ἀξιοῦνται. τίς γὰρ πρὸς τὴν τῆς ἡδύτητος πηγὴν ταπεινῶς προσερχόμενος, ὀλίγην γε ἡδύτητα ἐκεῖθεν οὐκ ἀνακομίζει; ἢ τίς πυρὶ μεγάλῳ παριστάμενος, οὐκ ὀλίγον ἐξ αὐτοῦ θερμαίνεται; σὺ δὲ πηγὴ εἶ ἡ ἀεὶ πλήρης καὶ ὑπεργέμουσα, καὶ πῦρ ἀεὶ καιόμενον καὶ οὔποτε σβεννύμενον.

δʹ. Διὰ τοῦτο εἰ οὐκ ἔξεστί μοι ἐκ τοῦ τῆς πηγῆς πληρώματος ἀντλῆσαι, οὐδὲ μέχρι τῆς πλησμονῆς πιεῖν, ὅμως τὸ στόμα μου τῇ τῆς οὐρανίου σύριγγος ὀπῇ προσάψω, τοῦ μικράν γε ῥανίδα λαβεῖν, εἰς τὸ τὴν δίψαν μου καταςβέσαι, ἵνα μὴ παντελῶς ξηρανθῶ. ἔτι δὲ ἂν καὶ οὔπω ὅλος οὐράνιος καὶ οὕτω διάπυρος, τῶν Χερουβὶν καὶ Σεραφὶν δίκην, εἶναι ἰσχύω, ὅμως περὶ τὴν εὐλάβειαν σπουδάζειν, καὶ τὴν καρδίαν μου ἑτοιμάζειν ἐπιχειρήσω, ὅπως μικράν γε φλόγα τῆς θείας ἐμπρήσεως ἐκ τῆς ταπεινῆς λήψεως τοῦ ζωοποιοῦ μυστηρίου συμπορίσω. ὅπου δὲ με ἐπιλείπει, ὦ Ἰησοῦ ἀγαθέ, σῶτερ ἁγιώτατε, σὺ ὑπὲρ ἐμοῦ εὐμενῶς καὶ ἠπίως ἐκπλήρωσον.

ἐς πάν-

qui omnes ad te dignatus es vocare, dicens: Venite ad me omnes, qui laboratis & onerati eſtis, & ego reficiam vos.

5. Ego quidem laboro in ſudore vultus mei, dolore cordis torqueor, peccatis oneror, tentationibus inquietor, multis malis paſſionibus implicor & premor: & non eſt qui adiuuet, non eſt qui liberet, & ſaluum faciat, niſi tu Domine Deus ſaluator meus: cui committo me & omnia mea, vt me cuſtodias, & perducas in vitam æternam. Suſcipe me in laudem & gloriam nominis tui, qui corpus tuum & ſanguinem, in cibum & potum mihi paraſti. Præſta Domine Deus ſalutaris meus, vt cum frequentatione myſterij tui, creſcat meæ deuotionis affectus.

## Cap. V.

### *De dignitate ſacramenti, & ſtatu ſacerdotali.*

### Vox Domini.

1. SI haberes angelicam puritatem, & ſancti Ioannis Baptiſtæ ſanctitatem: non eſſes dignus hoc ſacramentum accipere, nec tractare. Non enim hoc meritis debetur hominum, quòd homo conſecret & tractet Chriſti ſacramentum, & ſumat in cibum panem angelorum. Grande myſterium, & magna dignitas ſacerdotum: quibus datum eſt, quod angelis non eſt conceſſum. Soli namque ſacerdotes, ritè in Eccleſia ordinati, poteſtatē habent celebrandi, & corpus Chriſti conſecrandi. Sacerdos quidem miniſter eſt Dei, vtens verbo Dei, per iuſſionē & inſtitutionē Dei

Deus

ἃς πάντας πρὸς σὲ καλέσαι ἠξίωσας, λέγων· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.

ι. Ἐγὼ μὲν ἐν ἱδρῶτι τοῦ προσώπου μου κοπιῶν καὶ καρδιαλγῶν, ταῖς ἁμαρτίαις βαρυνόμενος, τοῖς πειρασμοῖς ἐνοχλούμενος, πολλοῖς κακοῖς παθήμασιν ἐμπλεχθεὶς πιέζομαι, καὶ οὐκ ἔστι βοηθῶν, οὐδὲ ῥυόμενος, ἢ σώζων, πλὴν σὺ κύριε ὁ θεὸς σωτήρ μου, ᾧτινί με καὶ πάντα τὰ ἐμὰ ἐπιτρέπω, ἵνα με φυλάξῃς, καὶ εἰς ζωὴν αἰώνιον εἰσαγάγῃς. ὑπόδεξαί με εἰς τὸν αἶνον καὶ δόξαν τοῦ ὀνόματός σου, ὁ τὸ σῶμά σου καὶ αἷμα εἰς τὴν βρῶσιν καὶ πόσιν μοι ἑτοιμάσας. παράσχου κύριε ὁ θεὸς ὁ σωτήρ μου, συχνῇ λήψει τοῦ μυστηρίου σου τὴν τῆς εὐλαβείας μου διάθεσιν αὐξάνεσθαι.

## Κεφ. ε.

### Περὶ τοῦ ἀξιώματος τοῦ μυστηρίου, καὶ τῆς ἱερατικῆς καταστάσεως.

Η φωνὴ τοῦ κυρίου.

α. ΕΙ τὴν ἀγγελικὴν καθαρότητα, καὶ τὴν τοῦ ἁγίου Ἰωάννου Βαπτιστοῦ ἁγιωσύνην εἶχες, οὐκ ἂν ἄξιος ἐγίνου τοῦτο μυστήριον λαβεῖν, ἢ διοικεῖν. οὐ γὰρ τοῦτο τῇ τῶν ἀνθρώπων ἀξίᾳ ὀφείλεται, ὅτι ὁ ἄνθρωπος εὐλογεῖ καὶ διοικεῖ τὸ μυστήριον τοῦ χριστοῦ, καὶ λαμβάνει εἰς βρῶσιν τὸν ἄρτον ἀγγέλων. μέγα μυστήριον, καὶ μέγα ἀξίωμα τῶν ἱερέων, οἷς ἐδόθη, ὅπερ τοῖς ἀγγέλοις οὐ συγκεχώρηται. μόνοι γὰρ οἱ ἱερεῖς οἱ νομίμως ἐν τῇ ἐκκλησίᾳ χειροτονηθέντες, ἐξουσίαν ἔχουσι τοῦ λειτουργεῖν, καὶ τὸ τοῦ Χριστοῦ σῶμα εὐλογεῖν. ὁ μὲν γὰρ ἱερεὺς ὑπηρέτης ἐστὶ τοῦ θεοῦ, χρώμενος τῷ λόγῳ τοῦ θεοῦ, διὰ τοῦ προστάγματος καὶ διατάξεως τοῦ θεοῦ·

ὁ δὲ

Deus autem ibi principalis eſt auctor, & inuiſibilis operator, cui ſubeſt omne, quod voluerit & paret omne, quod iuſſerit.

2. Plus ergo credere debes Deo omnipotenti in hoc excellentiſſimo ſacramento, quàm proprio ſenſui, aut alicui ſigno viſibili. Ideóque cum timore & reuerentia ad hoc opus eſt accedendum. Attende tibi, & vide, cuius miniſterium tibi traditum eſt, per impoſitionem manus Epiſcopi. Ecce, ſacerdos factus es, & ad celebrandum conſecratus; vide nunc, vt fideliter & deuotè, in ſuo tempore, Deo ſacrificium offeras, & teipſum irreprehenſibilem exhibeas. Non alleuiaſti onus tuum, ſed arctiori iam alligatus es vinculo diſciplinæ, & ad maiorem teneris perfectionem ſanctitatis. Sacerdos omnibus virtutibus debet eſſe ornatus, & alijs bonæ vitæ exemplum præbere. Eius conuerſatio, non cum popularibus & communibus hominum vijs, ſed cum angelis in cælo, aut cum perfectis viris in terra.

3. Sacerdos ſacris veſtibus indutus, Chriſti vices gerit; vt Deum pro ſe & pro omni populo, ſuppliciter & humiliter roget. Habet ante ſe & retrò dominicæ crucis ſignum, ad memorandam iugiter Chriſti paſſionem. Ante ſe crucem in caſula portat, vt Chriſti veſtigia diligenter inſpiciat, & ſequi feruenter ſtudeat. Poſt ſe cruce ſignatus eſt, vt aduerſa quælibet ab alijs illata, clementer pro Deo toleret. Ante ſe crucem gerit, vt propria

pecca-

ὁ δὲ θεὸς ἐκεῖ ἀρχικὸς αἴτιος καὶ ἀόρατος ἐργάτης ἐστίν, ᾧ ὑποτάσσεται πᾶν ὅ,τι ἂν βουληθῇ, καὶ ὑπακούει πᾶν, ὅ,τι ἂν κελεύσῃ.

β΄. Μᾶλλον οὖν πιστεύειν ὀφείλεις τῷ θεῷ παντοκράτορι, ἐν τούτῳ τῷ ἐπιφανεστάτῳ μυστηρίῳ, ἢ τῇ ἰδίᾳ αἰσθήσει, ἢ ὁρατῷ τινι σημείῳ. διόπερ σὺν φόβῳ καὶ αἰδοῖ πρὸς τοῦτο ἔργον δεῖ προσελθεῖν. ἔπεχέ σοι, καὶ ὅρα τίνος ὑπηρεσία ἐδόθη σοι μετ' ἐπιθέσεως τῶν χειρῶν τοῦ ἐπισκόπου. ἰδού, ἱερεὺς ἐγενήθης, καὶ εἰς τὸ λειτουργεῖν ἱερώθης, ὅρα νῦν, ὅπως πιστῶς καὶ εὐλαβῶς ἐν τῷ καιρῷ αὐτοῦ, τῷ θεῷ τὴν θυσίαν προσφέρῃς, καὶ σεαυτὸν ἄμεμπτον παρέχῃς. οὐκ ἐκούφισας τὸ φορτίον σου, ἀλλὰ νῦν στενοτέρῳ συνδέσμῳ τῆς παιδείας ἐδέθης, καὶ μείζονι τῆς ἁγιωσύνης τελειότητι κατέχῃ. τὸν ἱερέα πάσαις ἀρεταῖς κοσμεῖσθαι, καὶ τοῖς ἄλλοις τοῦ καλοῦ βίου τύπον παρέχειν δεῖ. ἡ αὐτοῦ ἀναστροφὴ μὴ γένοιτο κατὰ τὰς δημοτικὰς καὶ κοινὰς ὁδοὺς τῶν ἀνθρώπων, ἀλλὰ σὺν τοῖς ἀγγέλοις ἐν τῷ οὐρανῷ, ἢ σὺν τοῖς τελείοις ἀνδράσιν ἐπὶ τῆς γῆς.

γ΄. Ὁ ἱερεὺς τὰς ἁγίας ἐσθῆτας ἐνδεδυμένος, τοῦ Χριστοῦ τοποτηρητής ἐστι, τοῦ τὸν θεὸν ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ ἱκετικῶς καὶ ταπεινῶς ἀξιῶσαι. πρόσθεν καὶ ὀπίσω ἔχει τὸ τοῦ κυριακοῦ σταυροῦ σημεῖον, τοῦ ἀεὶ μνησθῆναι τοῦ πάθους τοῦ Χριστοῦ· πρὸ ἑαυτοῦ ἐν τῷ φελωνίῳ τὸν σταυρὸν βαστάζει, τοῦ ἐπιμελῶς τὰ ἴχνη τοῦ Χριστοῦ εἰσορᾶν, καὶ θερμῶς ἀκολουθεῖν· ὀπίσω αὐτοῦ τῷ σταυρῷ ἐσφράγισται, τοῦ πάσας συμφορὰς ὑπ' ἄλλων γινομένας πράως ὑπὲρ τοῦ θεοῦ ὑπομένειν. πρὸ ἑαυτοῦ τὸν σταυρὸν βαστάζει, τοῦ τὰ ἴδια

ἁμαρτή-

peccata lugeat: Poſt ſe, vt aliorum etiam commiſſa per compaſſionem defleat, & ſe medium inter Deum & peccatorem conſtitutum eſſe ſciat. Nec ab oratione, & oblatione ſancta torpeſcat, donec gratiam & miſericordiam impetrare mereatur. Quando ſacerdos celebrat, Deum honorat, Angelos lætificat, Eccleſiam ædificat, viuos adiuuat, defunctis requiem præſtat, & ſeſe omnium bonorum participem efficit.

## CAP. VI.

### *Interrogatio de exercitio ante Communionem.*

### VOX DISCIPVLI.

1. CVm tuam dignitatem Domine, & meam vilitatem penſo, valde contremiſco, & in meipſo confundor. Si enim non accedo, vitam fugio: & ſi indignè me ingeſſero, offenſam incurro. Quid ergo faciam, Deus meus, auxiliator meus, & conſiliator in neceſſitatibus?

2. Tu doce me viam rectam. Propone breui aliquod exercitium, ſacræ communioni congruum. Vtile eſt enim ſcire, qualiter ſcilicet deuotè ac reuerenter, tibi præparare debeam cor meum, ad recipiendum ſalubriter, tuum ſacramentum, ſeu etiam celebrandum tam magnum & diuinum ſacrificium.

## CAP. VII.

### *De diſcuſsione propriæ conſcientiæ, & emendationis propoſito.*

### VOX DILECTI.

1. Super

ἁμαρτήματα πενθεῖν ὀπίσω αὐτοῦ, τοῦ καὶ τὰ τῶν ἄλλων πλημμελήματα διὰ τοῦ συμπάσχειν διαδακρῦσαι, καὶ γνῶναι, ὅτι μεταξὺ τοῦ θεοῦ καὶ τοῦ ἁμαρτωλοῦ μεσίτης κατεστάθη· κἀν τῇ δεήσει καὶ ἁγίᾳ προσφορᾷ οὐ ῥᾳθυμῆσαι, ἕως ἂν χάριτος καὶ ἐλέους ἐπιτυχεῖν ἀξιωθῇ. ὁ ἱερεὺς λειτουργῶν, τὸν θεὸν τιμᾷ, τοὺς ἀγγέλους εὐφραίνει, τὴν ἐκκλησίαν οἰκοδομεῖ, τοῖς ζῶσι βοηθεῖ, τοῖς τεθνηκόσι τὴν ἀνάπαυσιν παρέχει, καὶ ἑαυτὸν πάντων ἀγαθῶν κοινωνὸν κατεργάζεται.

## Κεφ. ϛ'.

### Ἐρώτημα περὶ τῆς ἀσκήσεως τῆς περὶ τῆς κοινωνίας.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

α. ΤΟ ἀξίωμά σου κύριε, καὶ τὴν εὐτέλειάν μου λογιζόμενος σφόδρα τρομῶ, κἀν ἐμοὶ καταισχύνομαι. εἰ μὲν γὰρ οὐ προσέρχομαι, τὴν ζωὴν φεύγω· εἰ δ' ἀναξίως προσφέρομαι, προσκόπτω. τί οὖν ποιήσω, ὁ θεός μου, βοηθός μου, καὶ σύμβουλός μου ἐν ταῖς ἀνάγκαις;

β'. Σὺ τὴν εὐθεῖαν ὁδὸν δίδαξόν μου. πρόθες βραχέως ἄσκησίν τινα τῇ ἁγίᾳ κοινωνίᾳ προσήκουσαν. λυσιτελεῖ γὰρ εἰδέναι πῶς ἂν δήπου τὴν καρδίαν μου εὐλαβῶς καὶ αἰδεσίμως παρασκευάσαι ὀφείλω, τοῦ τὸ μυστήριόν σου σωτηρίως ὑποδέξασθαι, ἢ ταύτην μεγάλην καὶ θείαν θυσίαν τελέσαι.

## Κεφ. ζ.

### Περὶ τῆς ἐξετάσεως τῆς ἰδίας συνειδήσεως, καὶ προαιρέσεως τῆς ἐπανορθώσεως.

Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.



Digitized by Google

1. SVper omnia, cum ſumma humilitate cordis & ſupplici reuerentia, cum plena fide & pia intentione honoris Dei, ad hoc ſacramentum celebrandum, tractandum & ſumendum, oportet Dei accedere ſacerdotem. Diligenter examina conſcientiam tuam: & pro poſſe tuo, vera contritione & humili confeſſione, eam munda & clarifica: ita vt nil graue habeas, aut ſcias, quod te remordeat, & liberum acceſſum impediat. Habeas diſplicentiam omnium peccatorum tuorum in generali, & pro quotidianis exceſſibus magis in ſpeciali doleas & gemas. Et ſi tempus patitur, Deo in ſecreto cordis, cunctas confitere paſſionum tuarum miſerias.

2. Ingemiſce & dole, quòd adhuc ita carnalis ſis & mundanus: tam immortificatus à paſſionibus: tam plenus concupiſcentiarum motibus: tam incuſtoditus in ſenſibus exterioribus: tam ſæpè multis vanis phantaſijs implicatus: tam multùm inclinatus ad exteriora: tam negligens ad interiora: tam leuis ad riſum & diſſolutionem: tam durus ad fletum & compunctionem: tam promptus ad laxiora & carnis commoda: tam ſegnis ad rigorem & feruorem: tam curioſus ad noua audienda & pulchra intuenda: tam remiſſus ad humilia & abiecta amplectenda: tam cupidus ad multa habenda: tam parcus ad dandum: tam tenax ad retinendum: tam inconſideratus in loquendo: tam incontinens ad tacendum: tam incompoſitus in moribus: tam importunus in actibus:

tam

α. Πρὸ πάντων σὺν μεγίστῃ ταπεινότητι τῆς καρδίας καὶ ἱκετικῇ αἰδοῖ, σὺν πλήρει πίστει καὶ εὐσεβεῖ προαιρέσει τῆς τιμῆς τοῦ θεοῦ, δεῖ τὸν ἱερέα τοῦ θεοῦ πρὸς τὸ λειτουργεῖν, διοικεῖν τε καὶ λαμβάνειν τοῦτο μυστήριον προσέρχεσθαι. τὴν συνείδησίν σου ἐπιμελῶς ἐξέτασον, καὶ κατὰ δύναμίν σου, τῇ ἀληθινῇ συντρίψει καὶ ταπεινῇ ἐξομολογήσει οὕτως αὐτὴν καθάρισον καὶ ἄγνισον, ὡς μηδὲν δεινὸν ἔχεις, ἢ οἶδας, ὅ, τι σε ἂν κατανύξῃ, ἅπερ τὴν ἐλευθέραν πρόσοδον ἐμποδίσῃ. ἀπαρεσκέτω σοι γενικῶς πάντα τὰ ἁμαρτήματά σου, καὶ ἐπὶ ταῖς καθημεριναῖς παρεκβάσεσι μᾶλλον εἰδικῶς λυποῦ καὶ στέναζε, καὶ τοῦ καιροῦ ἐῶντος, τῷ θεῷ ἐν τῇ τῆς καρδίας ἀποκρυφῇ πάσας τῶν παθημάτων σου ἀθλιότητας ἐξομολόγει.

β. Στέναζε καὶ λυποῦ, ὅτι οὕτω σαρκικὸς καὶ κοσμικὸς ἔτι γίνῃ· οὕτω τοῖς πάθεσι προσαλήμμενος· οὕτω πλήρης τῶν ἐπιθυμητικῶν κινήσεων· οὕτως ἀφύλακτος ταῖς ἔξω αἰσθήσεσιν· οὕτω συχνῶς εἰς πολλὰς ματαίας φαντασίας ἐμπλεχθείς· οὕτως εὐκατάφορος πρὸς τὰ ἔξω· οὕτως ἀμελὴς τῶν ἔσω· οὕτω κοῦφος εἰς γέλωτα καὶ ἄνεσιν· οὕτω σκληρὸς εἰς κλαυθμὸν καὶ σύννυξιν· οὕτω πρόθυμος πρὸς τὰ χαυνότερα, καὶ τὰ τῇ σαρκὶ συμφέροντα· οὕτω ῥᾴθυμος εἰς τὴν ἀκρίβειαν καὶ ζέσιν· οὕτω πολυπράγμων ἀκούειν τὰ καινά, καὶ βλέπειν τὰ τερπνά· οὕτω πάρετος ἀποδέχεσθαι τὰ ταπεινὰ καὶ εὐτελῆ· οὕτως ἐπιθυμητικὸς τοῦ πολλὰ ἔχειν· οὕτω φειδωλὸς διδόναι· οὕτω ῥυπαρὸς κατέχειν· οὕτως ἀπερίσκεπτος λαλεῖν· οὕτως ἀκρατὴς τοῦ σιγᾶν· οὕτως ἄκοσμος τοῖς ἤθεσιν· οὕτως ἄ[illegible]ος ταῖς πράξεσιν·

tam effuſus ſuper cibum: tam ſurdus ad Dei verbum: tam velox ad quietem: tam tardus ad laborem: tam vigilans ad fabulas: tam ſomnolentus ad vigilias ſacras: tam feſtinus ad finem: tam vagus ad attendendum: tam negligens in horis perſoluendis: tam tepidus in celebrando: tam aridus in communicando: tam citò diſtractus: tam raro plenè tibi collectus: tam ſubitò commotus ad iram: tam facilis ad alterius diſplicentiam: tam pronus ad iudicandum: tam rigidus ad arguendum: tam lætus ad proſpera: tam debilis in aduerſis: tam ſæpè multa bona proponens, & modicum ad effectum perducens.

3. His & alijs defectibus tuis, cum dolore & magna diſplicentia propriæ infirmitatis confeſſis ac deploratis, firmum ſtatue propoſitum ſemper emendandi vitam tuam, & in melius proficiendi. Deinde cum plena reſignatione & integra voluntate, offer teipſum in honorem nominis mei, in ara cordis tui holocauſtum perpetuum, corpus tuum ſcilicet & animam, mihi fideliter committendo: quatenus & ſic dignè merearis ad offerendum Deo ſacrificium accedere, & ſacramentum corporis mei ſalubriter ſuſcipere.

4. Non eſt enim oblatio dignior, & ſatisfactio maior pro peccatis diluendis, quàm ſeipſum purè & integrè, cum oblatione corporis Chriſti in miſſa & in communione Deo offerre. Si fecerit homo, quod in ſe eſt, & verè pænituerit: quotieſcunque pro venia & gratia ad me acceſſerit, viuo ego, dicit Dominus, qui nolo mortē peccatoris, ſed vt magis conuertatur & viuat: quoni-

οὕτως ἐκκεχυμένος εἰς βρῶσιν· οὕτω κωφὸς πρὸς τὸν λόγον τοῦ θεοῦ· οὕτως ὠκὺς εἰς τὴν ἀνάπαυσιν· οὕτω βραδὺς εἰς τὸν πόνον· οὕτως ἄγρυπνος εἰς τὰς φλυαρίας· οὕτω κάθυπνος εἰς τὰς ἱερὰς ἀγρυπνίας· οὕτω ταχὺς εἰς τὸ τέλος· οὕτως ἀλήτης ἐν τῷ προσέχειν· οὕτως ἀμελὴς τοῦ τὰς ὥρας τελεῖν· οὕτω χλιαρὸς ἐν τῷ λειτουργεῖν· οὕτω ξηρὸς ἐν τῷ κοινωνεῖν· οὕτω ταχέως περισπασθείς· οὕτω σπανίως ἔν σοι τελέως συλλεχθείς· οὕτως ὀξύχολος· οὕτω δυσάρεστος· οὕτως ἐπιρρεπὴς εἰς τὸ κρίνειν· οὕτως αὐστηρὸς εἰς τὸ ἐπιτιμᾶν· οὕτω γηθόσυνος ἐν τῇ εὐτυχίᾳ· οὕτως ἀσθενὴς ἐν τῇ ἀτυχίᾳ· οὕτω πολλάκις πολλὰ μὲν ἀγαθὰ προαιρούμενος, ὀλίγα δ᾽ ἀποτελῶν.

γ΄. Ταῦτα καὶ τἄλλα ἐλλείμματά σου σὺν ὀδύνῃ καὶ πολλῇ δυσαρεστήσει τῆς ἰδίας ἀσθενείας ἐξομολογήσας καὶ καταδακρύσας, βεβαίως προέλου, ἀεὶ ἐπανορθῶσαι τὸν βίον σου καὶ εἰς τὸ βέλτιον προκόψαι. εἶτα μετὰ πλήρους ἐπιτροπῆς, καὶ ὅλου θελήματος πρόσφερε σεαυτὸν, εἰς τὴν τιμὴν τοῦ ὀνόματός μου ἐν τῷ θυσιαστηρίῳ τῆς καρδίας σου ὁλόκαυστον αἰώνιον, τὸ δήπου σῶμά σου καὶ τὴν ψυχήν σου ἐμοὶ πιστῶς πιστεύων· ἵν᾽ οὕτως ἀξίως εἰς τὸ τὴν θυσίαν προσενεγκεῖν πλησιάσαι, καὶ τὸ μυστήριον τοῦ σώματός μου σωτηριωδῶς λαβεῖν ἀξιωθῇς.

δ΄. Οὐ γάρ ἐστιν ἀξιωτέρα προσφορὰ καὶ μείζων ἱκανοποιΐα εἰς τὸ τὰς ἁμαρτίας ἐξαλείφειν, ἢ ἑαυτὸν καθαρῶς καὶ ὅλως μετὰ τῆς θυσίας τοῦ σώματος τοῦ Χριστοῦ ἐν τῇ λειτουργίᾳ καὶ κοινωνίᾳ τῷ θεῷ προσφέρειν. εἰ ὁ ἄνθρωπος τὸ καθ᾽ ἑαυτοῦ μέρος ποιήσῃ, καὶ ὄντως μετανοήσῃ, ὁσάκις ἂν ὑπὲρ συγγνώμης καὶ χάριτός μοι προσέλθῃ, ζῶ ἐγὼ, λέγει κύριος, ὃς οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ μᾶλλον ὡς ἐπιστρέψαι καὶ ζῆν αὐτόν·

quoniam peccatorum ſuorum non recordabor amplius, ſed cuncta ipſi indulta erunt.

## CAP. VIII.

### *De oblatione Chriſti in cruce, & propria reſignatione.*

VOX DILECTI.

1. SIcut ego meipſum, expanſis in cruce manibus & nudo corpore, pro peccatis tuis Deo Patri ſponte obtuli, ita vt nihil in me remaneret, quin totum in ſacrificium diuinæ placationis tranſiret: ita debes & tu temetipſum mihi voluntariè, in oblationem puram & ſanctam, quotidie in Miſſa, cum omnibus viribus & affectibus tuis, quantò intimiùs vales, offerre. Quid magis à te requiro, quàm vt te ſtudeas mihi ex integro reſignare? Quicquid præter teipſum das, nihil curo: quia non quæro datum tuum, ſed te.

2. Sicut non ſufficeret tibi omnibus habitis, præter me; ita nec mihi placere poterit, quicquid dederis, te non oblato. Offer te mihi, & da te totum pro Deo, & erit accepta oblatio. Ecce, ego me totum obtuli Patri pro te: dedi etiam totum corpus meum & ſanguinem in cibum, vt totus tuus eſſem, & tu meus permaneres. Si autem in teipſo ſteteris, nec ſponte te ad voluntatem meam obtuleris, non eſt plena oblatio, nec integra erit inter nos vnio. igitur omnia opera tua præcedere debet ſpontanea tuiipſius in manus Dei oblatio, ſi libertatem conſequi vis & gratiam.

Ideo

ἔτι τῶν παραπτωμάτων αὐτοῦ οὐκ ἔτι μνησθήσομαι, ἀλλὰ πάντα αὐτῷ ἀφεθέντα ἔσται.

### Κεφ. η'.

### Περὶ τῆς τοῦ Χριστοῦ προσφορᾶς τῆς ἐν τῷ σταυρῷ, καὶ τῆς ἰδίας ἐπιτροπῆς.

Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

α'. Ὥσπερ ἐγὼ ἐν τῷ σταυρῷ ἐκταθείσαις χερσὶ καὶ γυμνῷ σώματι, ὑπὲρ τῶν ἁμαρτιῶν σου, τῷ θεῷ τῷ πατρὶ ἐμαυτὸν ἑκουσίως οὕτω προσήνεγκον, ὥστε μηδὲν ἐν ἐμοὶ καταλειφθῆ, ὅ,τι οὐκ ἂν εἰς τὴν θυσίαν τοῦ ἱλασμοῦ τοῦ θεοῦ ἀπεδόθη· ὡσαύτως καὶ σὺ ἐμοὶ αὐτομάτως σεαυτόν, εἰς θυσίαν καθαρὰν καὶ ἁγίαν καθ' ἑκάστην ἐν λειτουργίᾳ, σὺν πάσῃ ἰσχύϊ καὶ ὁρμαῖς σου, καθ' ὅσον δύνῃ, ἐνδότατα προσφέρειν ὀφείλεις. τί μᾶλλον παρά σου αἰτῶ, ἢ ἵνα σε παντελῶς ἐμοὶ ἐπιτρέπων σπουδάσῃς; ὅ,τι οὖν ἂν χωρὶς σεαυτοῦ περὶ μηδενὸς ποιοῦμαι· οὐ γὰρ τὸ δῶρόν σου, ἀλλά σε δίδως, ἐπιποθῶ.

β'. Ὡς γὰρ ἂν οὐκ ἠγάπας τῷ πάντα ἔχειν, πλὴν ἐμοῦ· οὕτω καί μοι οὐκ ἀρέσκειν δυνήσεται, ὅ,τι οὖν ἂν δῷς, σοῦ οὐ προσενεχθέντος. πρόσφερέ σε ἐμοί, καὶ δίδοθι ὅλον σε ὑπὲρ τοῦ θεοῦ, καὶ προσφορὰ εὐάρεστος ἔσται. ἰδού, ἐγὼ ὅλον με τῷ πατρὶ ὑπὲρ σοῦ προσήνεγκον, καὶ ὅλον τὸ σῶμά μου καὶ αἷμα εἰς βρῶσιν ἔδωκα, ὅπως ὅλος σὸς γένωμαι, καὶ σὺ ἐμὸς ὢν διατελέσῃς. ἐὰν δὲ ἐν σοὶ στῇς, καὶ ἑκόντι σε τῷ θελήματί μου οὐ προσενέγκῃς, ὁλόκληρος προσφορὰ οὐκ ἔστιν, οὐδὲ παντελὴς ἕνωσις μεταξὺ ἡμῶν ἔσται. διόπερ πάντα τὰ ἔργα σου προάγειν ὀφείλει ἡ σεαυτοῦ εἰς τὰς χεῖρας τοῦ θεοῦ ἑκουσία προσφορά, εἰ τῆς ἐλευθερίας καὶ χάριτος ἐπιτυχεῖν ἐθέλεις.

Ideo enim tam pauci illuminati, & liberi intùs efficiuntur, quia ſeipſos ex toto abnegare neſciunt. Eſt firma ſententia mea: Niſi quis renunciauerit omnibus, non poteſt meus eſſe diſcipulus. Tu ergò ſi optas meus eſſe diſcipulus, offer teipſum mihi, cum omnibus affectibus tuis.

## CAP. IX.

### *Quòd nos, & omnia noſtra, Deo debemus offerre, & pro omnibus orare.*

VOX DISCIPVLI.

1. DOmine, omnia tua ſunt, quæ in cælo ſunt, & quæ in terra. Deſidero meipſum tibi in ſpontaneam oblationem offerre, & tuus perpetuò permanere. Domine, in ſimplicitate cordis mei, offero meipſum tibi hodie in ſeruum ſempiternum, in obſequium & in ſacrificium laudis perpetuæ. Suſcipe me, cum hac ſancta oblatione tui pretioſi corporis, quam tibi hodie in præſentia angelorum, inuiſibiliter aſſiſtentium, offero: vt ſit pro me, & pro cuncto populo tuo in ſalutem.

2. Domine, offero tibi omnia peccata & delicta mea, quæ commiſi coram te, & ſanctis angelis tuis, à die quo primùm peccare potui vſque ad horam hanc, ſuper placabili altari tuo: vt tu omnia pariter incendas & comburas igne charitatis tuæ, & deleas vniuerſas maculas peccatorum meorum, & conſcientiam meam ab omni delicto emundes, & reſtituas mihi gratiam tuam, quam peccando amiſi, omnia mihi plenè indulgendo, & in oſculum pacis me miſericorditer aſſumendo.

3. Quid

διὰ ταῦτα γὰρ οὕτως ὀλίγοι φωτισθέντες, καὶ ἔσω ἐλεύθεροι ἀποβαίνουσιν, ὅτι ἑαυτῶν ὅλως ἀπαρνήσασθαι οὐκ ἐπίστανται. βεβαίως ἀπόδεκταί μοι· ἐὰν μή τις ἀποτάξηται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής. εἰ τοίνυν σὺ μαθητής μου εἶναι ἐθέλεις, πρόσφερε σεαυτόν μοι σὺν πᾶσι πάθεσί σου.

## Κεφ. θʹ.

### Ὅτι ἡμᾶς καὶ πάντα τὰ ἡμῶν τῷ Θεῷ ὀφείλομεν προσφέρειν, καὶ ὑπὲρ πάντων προσεύχεσθαι.

Ἡ φωνὴ τοῦ μαθητοῦ.

αʹ. Κύριε, πάντα τὰ ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, σά ἐστιν. ἐπιποθῶ ἐμαυτόν σοι εἰς ἑκουσίαν θυσίαν προσφέρειν, καὶ ἀϊδίως σὸς διαμένειν. κύριε, ἐν ἁπλότητι τῆς καρδίας μου ἐμαυτὸν προσφέρω σοι σήμερον εἰς δοῦλον αἰώνιον, εἰς ὑπηρεσίαν καὶ θυσίαν τοῦ ἀϊδίου αἴνου. ὑπόδεξαί με μετὰ ταύτης τῆς ἁγίας θυσίας τοῦ τιμίου σώματός σου, ἣν σήμερόν σοι ἐν παρουσίᾳ τῶν ἀγγέλων τῶν ἀοράτως παραστάντων προσφέρω, τοῦ εἶναι ὑπὲρ ἐμοῦ καὶ παντὸς λαοῦ σου εἰς σωτηρίαν.

βʹ. Κύριε, προσφέρω σοι πάντα τὰ ἁμαρτήματα καὶ πλημμελήματά μου, ἅπερ εἰργασάμην ἐνώπιόν σου καὶ τῶν ἁγίων ἀγγέλων σου, ἀφ' ἧς ἡμέρας πρῶτον ἁμαρτεῖν ἠδυνήθην, μέχρι ταύτης τῆς ὥρας, ἐπὶ τοῦ παραιτητικοῦ θυσιαστηρίου σου· ὅπως σὺ πάντα ἅμα ἐνάψῃς καὶ κατακαύσῃς τῷ πυρὶ τῆς ἀγάπης σου, καὶ ἐξαλείψῃς πάντας σπίλους τῶν ἁμαρτιῶν μου, τήν τε συνείδησίν μου ἀπὸ παντὸς πλημμελήματος καθαρίσῃς, καὶ ἀποδῷς μοι τὴν χάριν σου, ἣν ἁμαρτὼν ἀπώλεσα, πάνθ' ὅλως μοι συγγνοὺς, καὶ εἰς τὸ τῆς εἰρήνης φίλημά με ἐλεεινῶς ἀποδεξάμενος.



Digitized by Google

3. Quid poſſum agere pro peccatis meis, niſi humiliter ea confitendo & lamentando, & tuam propitiationem inceſſanter deprecando? Deprecor te, exaudi me propitius, vbi aſto coram te Deus meus. Omnia peccata mea mihi maximè diſplicent, nolo ea vnquam ampliùs perpetrare: ſed pro eis doleo & dolebo, quamdiu vixero, paratus pœnitentiam agere, & pro poſſe ſatisfacere. Dimitte mihi Deus, dimitte mihi peccata mea, propter nomen ſanctum tuum: ſalua animam meam, quam pretioſo ſanguine tuo redemiſti. Ecce committo me miſericordiæ tuæ, reſigno me in manibus tuis. Age mecum ſecundùm bonitatem tuam, non ſecundùm meam malitiam & iniquitatem.

4. Offero etiam tibi omnia bona mea, quamuis valde pauca & imperfecta; vt tu ea emendes & ſanctifices: vt ea grata habeas, & accepta tibi facias, & ſemper ad meliora trahas; nec non ad beatum ac laudabilem finem, me pigrum & inutilem homuncionem perducas.

5. Offero quoque tibi omnia pia deſideria deuotorum, neceſſitates parentum, amicorum, fratrum, ſororum, omniumque charorum meorum, & eorum qui mihi vel alijs, propter amorem tuum benefecerunt: & qui orationes & miſſas pro ſe ſuiſque omnibus, dici à me deſiderauerunt & petierunt, ſiue in carne adhuc viuant; ſiue iam ſæculo defuncti ſint: vt omnes ſibi auxilium gratiæ tuæ, opem conſolationis, protectionem à periculis, liberationem à

pœnis,

Digitized by Google

γʹ. Τί δυνάμεθα ποιῆσαι ὑπὲρ τῶν ἁμαρτιῶν μου, εἰ μὴ αὐτὰς ταπεινῶς ἐξομολογήσασθαι καὶ καταδακρύσαι, καὶ τὸν ἱλασμόν σου ἀδιαλείπτως αἰτῆσαι; δέομαί σου, εἰσάκουέ μου ἵλεως, τοῦ ἔμπροσθέν σου παρισταμένου, ὁ Θεός μου. πάντα τὰ ἁμαρτήματά μου ἐμοὶ μάλιστα ἀπαρέσκει, οὔποτε ἔτι αὐτὰ πρᾶξαι ἐθέλω· ἀλλ' ἀντὶ αὐτῶν λυποῦμαι καὶ λυπηθήσομαι, ἕως ἂν ζήσω, ἕτοιμος ὢν ἐπιτίμιον ὑπέχειν, καὶ κατὰ δύναμιν ἱκανοποιῆσαι· ἄφες μοι, ὁ Θεός, ἄφες μοι τὰς ἁμαρτίας μου, διὰ τὸ ἅγιον ὄνομά σου· σῶσον τὴν ψυχήν μου, ἣν τῷ τιμίῳ αἵματί σου ἐλύτρωσας. ἰδού, πιστεύω με τῷ ἐλέει σου, κἀμὲ ἐπιτρέπω ταῖς χερσί σου· ποίησον μετά μου κατὰ τὴν χρηστότητά σου, οὐ κατὰ τὴν κακότητα καὶ ἀδικίαν μου.

δʹ. Προσφέρω σοι καὶ πάντα τὰ ἀγαθά μου, καίπερ πάνυ ὀλίγα καὶ ἀτελῆ ὄντα, ἵνα σὺ αὐτὰ ἐπανορθώσῃς καὶ ἁγιάσῃς· ἵνα δεκτὰ ἔχῃς, καὶ εὐάρεστα κατεργασάμενος, ἀεὶ εἰς τὰ βελτίω μεταστρέψῃς· ἔτι δ' εἰς μακάριον καὶ ἐπαινετὸν τέλος, ἐμὲ ὀκνηρὸν καὶ ἄχρηστον ἀνθρώπιον, διαγάγῃς.

εʹ. Ἐπὶ τούτοις προσφέρω σοι πάσας ἐπιποθήσεις τῶν εὐλαβῶν, τὰς ἀνάγκας τῶν γονέων, τῶν φίλων, τῶν ἀδελφῶν ἀμφοτέρου γένους, πάντων τε ἀγαπητῶν μου, καὶ τῶν ἐμέ, ἢ τοὺς ἄλλους διὰ τὴν ἀγάπην σου εὐεργετησάντων· καὶ τῶν τὰς δεήσεις καὶ τὰς λειτουργίας ὑπὲρ αὐτῶν καὶ ἁπάντων σφετέρων ὑπ' ἐμοῦ λέγεσθαι ἐπιποθησάντων καὶ αἰτησάντων, κἂν ἐν σαρκὶ ἔτι ζῶσι, κἂν τῷ αἰῶνι ἤδη τελευτήσωσιν· ὡς πάντες τὴν βοήθειαν τῆς χάριτός σου, ἐπικουρίαν τῆς παραμυθίας, φυλακὴν ἀπὸ κινδύνων, λύτρωσιν ἀπὸ

τιμωρι-

pœnis, aduenire ſentiant, vt ab omnibus malis erepti, gratias tibi magnificas læti perſoluant.

6. Offero etiam tibi preces & hoſtias placationis, pro illis ſpecialiter, qui me in aliquo læſerunt, contriſtauerunt, aut vituperauerunt, vel aliquod damnum vel grauamen intulerunt: pro his quoque omnibus, quos aliquando contriſtaui, conturbaui, grauaui, & ſcandalizaui, verbis, factis, ſcienter vel ignoranter: vt nobis omnibus pariter indulgeas peccata noſtra, & mutuas offenſiones. Aufer Domine à cordibus noſtris omnem ſuſpicionem, indignationem, iram & diſceptationem, & quicquid poteſt charitatem lædere, & fraternam dilectionem minuere. Miſerere, miſerere Domine, miſericordiam tuam poſcentibus, da gratiam indigentibus: & fac nos tales exiſtere, vt ſimus digni gratia tua perfui, & ad vitam proficiamus æternam, Amen.

## CAP. X.

### *Quòd ſacra communio, de facili non eſt relinquenda.*

VOX DILECTI.

1. FRequenter recurrendum eſt ad fontem gratiæ, & diuinæ miſericordiæ, ad fontem bonitatis & totius pietatis: quatenus à paſſionibus tuis & vitijs curare valeas, & contra vniuerſas tentationes & fallacias diaboli, fortior atque vigilantior effici merearis. Inimicus ſciens fructum & remedium maximum in ſacra communione poſitum, omni modo & occaſione nititur fideles & deuotos, quantum præualet, retrahere & impedire.

2. Cùm

τιμωριῶν ἑαυτοῖς γενέσθαι αἰσθόμενοι, καὶ πάντων κακῶν ἀπαλλαγέντες μεγίστην χάριν σοι χαίροντες ἔχοιεν.

ς´. Ἔτι δὲ τὰς δεήσεις καὶ θυσίας τοῦ ἱλασμοῦ ἰδίως προσφέρω σοι ὑπὲρ τῶν ἐμὲ ἔν τινι βλαψάντων, λυπησάντων, λοιδορησάντων, ἢ ἐμὲ ζημιωσάντων, ἢ βαρυνάντων· ἔτι ὑπὲρ πάντων, οὓς ποτε ἐλύπησα, διετάραξα, ἐβάρυνα, καὶ τοῖς λόγοις, ἢ ἔργοις, εἰδὼς ἢ ἀγνοῶν ἐσκανδάλισα· ὅπως ἡμῖν πᾶσιν ἅμα τὰς ἁμαρτίας ἡμῶν, καὶ τὰς ἀλλήλων προσκρούσεις συγγινώσκῃς. κύριε, ἀφελοῦ ἀπὸ τῶν καρδιῶν ἡμῶν πᾶσαν ὑποψίαν, ἀγανάκτησιν, ὀργὴν, καὶ ἔριδα, καὶ ὅτι οὖν τὴν ἀγάπην βλάπτειν, καὶ τὴν φιλαδελφίαν μειοῦν δύναται. ἐλέησον, ἐλέησον κύριε, τοὺς τὸ ἔλεός σου αἰτοῦντας, δὸς χάριν τοῖς χρήζουσι, καὶ ποίησον ἡμᾶς τοιούτους ὑπάρχειν, ἵνα τῆς χάριτός σου ἄξιοι γενόμενοι, πρὸς τὴν ζωὴν αἰώνιον προκόψωμεν, ἀμήν.

## Κεφ. ι.

## Ὅτι οὐ χρὴ τὴν ἱερὰν κοινωνίαν ῥᾳδίως καταλείπειν.

### Ἡ φωνὴ τοῦ ἀγαπητοῦ.

α´. Ἐπάναγκες συχνῶς σε ἀναδραμεῖν ἐπὶ τὴν πηγὴν τῆς χάριτος, καὶ τοῦ θείου ἐλέους, ἐπὶ τὴν πηγὴν τῆς χρηστότητος καὶ πάσης εὐσπλαγχνίας· ἵν᾽ ἀπὸ τῶν παθῶν καὶ κακιῶν σου θεραπευθῆναι οἷός τε γένῃ, καὶ κατὰ πάντων πειρασμῶν καὶ ἀπατῶν τοῦ διαβόλου ἰσχυρότερος καὶ ἐγρηγορικώτερος ἀποβῆναι ἀξιωθῇς. ὁ ἐχθρὸς εὖ εἰδὼς τὸν καρπὸν καὶ μέγιστον φάρμακον ἐν τῇ ἱερᾷ κοινωνίᾳ κείμενον, παντὶ τρόπῳ καὶ ἀφορμῇ τοὺς πιστοὺς καὶ εὐλαβεῖς, κατὰ δύναμιν αὐτοῦ, ἀποτρέπειν καὶ ἐμποδίζειν πειρᾶται.

2. Cùm enim quidam ſacræ communioni ſe aptare diſponunt, peiores Satanæ immiſſiones patiuntur. Ipſe nequam ſpiritus (vt in Iob ſcribitur) venit inter filios Dei, vt ſolita illos nequitia ſua perturbet, aut timidos nimium reddat & perplexos: quatenus affectum eorum minuat, vel fidem impugnando auferat: ſi fortè aut omninò communionem relinquant, aut cum tepore accedant. Sed non eſt quicquam curandum, de verſutijs & phantaſijs illius, quantumlibet turpibus & horridis, ſed cuncta phantaſmata in caput eius ſunt retorquenda. Contemnendus eſt miſer & deridendus, nec propter inſultus eius & commotiones, quas ſuſcitat, ſacra eſt omittenda communio.

3. Sæpè etiam impedit nimia ſollicitudo pro deuotione habenda, & anxietas quædam de confeſſione facienda. Age ſecundùm conſilium ſapientum, & depone anxietatem & ſcrupulum: quia gratiam Dei impedit, & deuotionem mentis deſtruit. Propter aliquam paruam tribulationem vel grauitatem, ſacram ne dimittas communionem: ſed vade citiùs confiteri, & omnes offenſiones alijs libenter indulge. Si verò tu aliquem offendiſti, veniam humiliter precare, & Deus libenter indulgebit tibi.

4. Quid prodeſt diu tardare confeſſionem, aut ſacram differre communionem? Expurga te cum primis, expue velociter venenum, feſtina accipere remedium, & ſenties meliùs, quàm ſi diu diſtuleris. Si hodie propter iſtud dimittis, cras forſitan aliud maius eueniet: & ſic diu poſſes à com-

β'. Πρὸς τὴν γὰρ ἱερὰν κοινωνίαν τινὲς ἑαυτοὺς παρασκευάσαι ἐπιχειροῦντες, χείρους εἰσβολὰς τοῦ Σατανᾶ ὑπομένουσιν. αὐτὸ τὸ πνεῦμα τὸ πονηρὸν (καθὼς ἐν τῷ Ἰὼβ γέγραπται) τοῖς υἱοῖς τοῦ θεοῦ προσέρχεται, τοῦ αὐτοὺς τῇ εἰθισμένῃ πονηρίᾳ διαταράξαι, ἢ ἄγαν φοβεροὺς καὶ ἀμηχάνους κατεργάσασθαι, ὅπως τὴν αὐτῶν ὁρμὴν μειώσῃ, ἢ πολεμῶν αὐτοῖς, τὴν πίστιν ἀφέληται, εἰ ἄρα πάντως τὴν κοινωνίαν διαλείπουσιν, ἢ χλιαρῶς προσέρχονται. πλὴν οὐ δεῖ μέλειν ἡμῖν τῶν πανουργημάτων καὶ φαντασιῶν αὐτοῦ, καίπερ αἰσχρῶν καὶ φοβερῶν γινομένων, ἀλλὰ πάντα φαντάσματα εἰς τὴν κεφαλὴν αὐτοῦ ἀντιστρέφειν. χρὴ τοῦ ἀθλίου καταφρονεῖν καὶ καταγελᾶν, καὶ οὐ διὰ τὰς εἰσβολὰς καὶ κινήσεις αὐτοῦ, ἃς ἐγείρει, τὴν ἱερὰν κοινωνίαν παραλείπειν.

γ'. Προσέτι πολλάκις ἡ ἄγαν μέριμνα τοῦ ἔχειν εὐλάβειαν, καὶ ἡ ἀδημονία τοῦ ἐξομολογεῖσθαι ἐμπόδιον γίνεται. ποίησον κατὰ συμβουλὴν τῶν σοφῶν, καὶ ἀπόθες τὴν ἀδημονίαν καὶ ἀπορίαν, ὅτι τὴν χάριν τοῦ θεοῦ ἐμποδίζει, καὶ τὴν τοῦ νοὸς εὐλάβειαν διαφθείρει. διὰ μικράν τινα θλίψιν ἢ βαρύτητα μὴ διάλειπε τὴν ἱερὰν κοινωνίαν· ἀλλ᾽ ὕπαγε τάχιον ἐξομολογῆσαι, καὶ τοῖς ἄλλοις πάντα τὰ παραπτώματα ἀσμένως συγγνῶθι. ἐὰν δέ τινι προσκρούσῃς, συγγνώμην ταπεινῶς αἴτησον, καὶ ὁ θεὸς ἑκουσίως συγχωρήσει σοι.

δ'. Τί συμφέρει διὰ πολλοῦ τὴν ἐξομολόγησιν, ἢ τὴν ἱερὰν κοινωνίαν ἀναβάλλεσθαι; καθάρισόν σε πρῶτον, ἔκπλυε ταχέως τὸ τοξικόν, σπεῦδε λαμβάνειν τὸ ἀντίδοτον, καὶ κάλλιον ἕξεις, ἢ ἐὰν ἐπὶ πολὺν χρόνον ἀναβάλῃ. εἰ σήμερον διὰ τοῦτο τὴν κοινωνίαν παραλείπεις, αὔριον ἴσως ἄλλο μεῖζον συμβήσεται, καὶ τοῦτον τρόπον

ἐπὶ πολὺ

communione impediri, & magis ineptus fieri. Quantò citiùs vales, à præſenti grauitate & inertia te excutias: quia nihil importat diu anxiari, diu cum turbatione tranſire, & ob quotidiana obſtacula, ſe à diuinis ſequeſtrare. Imò plurimum nocet, diu communionem protelare, nam & grauem torporem conſueuit inducere. Proh dolor quidam tepidi & diſſoluti, moras confitendi libenter accipiunt, & communionem ſacram idcirco differre cupiunt, ne ad maiorem ſui cuſtodiam ſe dare teneantur.

5. Heu quàm modicam charitatem, & debilem deuotionem habent, qui ſacram communionem tam faciliter poſtponunt. Quàm felix ille, & DEO acceptus habetur, qui ſic viuit, & tali puritate conſcientiam ſuam cuſtodit, vt etiam omni die communicare paratus, & bene affectus eſſet, ſi ei liceret, & ſine nota agere poſſet. Si quis interdum abſtinet humilitatis gratia aut legitima impediente cauſſa, laudandus eſt de reuerentia. Si autem torpor obrepſerit, ſeipſum excitare debet, & facere quod in ſe eſt, & Dominus aderit deſiderio ſuo pro bona voluntate, quam ſpecialiter reſpicit.

6. Cùm verò legitimè præpeditus eſt, habebit ſemper bonam voluntatem, & piam intentionem communicandi, & ſic non carebit fructu ſacramenti. Poteſt enim quilibet deuotus, omni die & omni hora, ad ſpiritualem Chriſti communionem, ſalubriter & ſine prohibitione accedere: & tamen certis diebus & ſtatuto tempore, corpus ſui redemptoris, cum affectuo-

Digitized by Google

ἐπὶ πολὺ ἂν τῆς κοινωνίας κωλύεσθαι, καὶ ἀναρμοστότερος γίνεσθαι ἠδύνατο. ὅσῳ τάχιον ἰσχύεις, τῆς παρούσης βαρύτητος καὶ ῥᾳθυμίας ἀπαλλάγηθι· ὅτι οὐ λυσιτελεῖ διὰ πολλοῦ ἀδημονεῖν, διὰ πολλοῦ τῇ ταραχῇ ἐμμένειν, καὶ διὰ τὰ καθημερινὰ κωλύματα τοῦ θεοῦ χωρίζεσθαι. μᾶλλον δὲ βλαβερώτατόν ἐστι τὴν κοινωνίαν ἐπὶ πολὺ ἀναβάλλειν, ὅτι καὶ τὴν βαρεῖαν νάρκην ἐμποιεῖν εἴωθε. φεῦ, χλιαροί τινες καὶ ἀνειμένοι τὰς ἐποχὰς τοῦ ἐξομολογεῖν ἀσμένως ἀποδέχονται, καὶ διὰ τοῦτο τὴν κοινωνίαν ἀναβάλλεσθαι ἐπιποθοῦσι, τοῦ μὴ δεῖν μᾶλλον ἑαυτοὺς φυλάττειν.

ε. Οἴμοι, ὡς ὀλίγην ἀγάπην καὶ ἀσθενῆ εὐλάβειαν ἔχουσιν οἱ οὕτω ῥᾳδίως τὴν ἱερὰν κοινωνίαν διαλείποντες. ὡς εὐδαίμων ἐκεῖνος καὶ τῷ θεῷ εὐάρεστός ἐστιν, ὁ οὕτω ζῶν, καὶ τοιαύτῃ καθαρότητι τὴν συνείδησιν αὐτοῦ φυλάττων, ὥστε καὶ καθ' ἑκάστην εἶναι ἕτοιμον καὶ εὐδιάθετον κοινωνεῖν, εἰ ἂν τοῦτο αὐτῷ ἐξῆν, καὶ ἀμέμπτως ποιῆσαι ἠδύνατο. εἰ μέν τις τῆς ταπεινότητος ἕνεκα, ἢ νομίμου αἰτίας ἐμποδιζούσης, τῆς κοινωνίας ποτὲ ἀπέχεται, τὴν εὐλάβειαν αὐτοῦ ἐπαινετέον. εἰ δέ τις ναρκὴ ὑπέρχεται, ἑαυτὸν ἐγείρειν, καὶ τὸ καθ' ἑαυτὸν ποιεῖν ὀφείλει, καὶ ὁ κύριος παρέσται τῇ ἐπιποθήσει αὐτοῦ ἀντὶ τῆς ἀγαθῆς βουλήσεως, εἰς ἣν ἰδίως ἀποβλέπει.

ϛ'. Ὅταν δὲ νομίμως ἐμπεποδισμένος ᾖ, ἀεὶ ἕξει τὴν ἀγαθὴν βούλησιν καὶ εὐσεβῆ προαίρεσιν τοῦ κοινωνεῖν, καὶ τοῦτον τρόπον τῆς τοῦ μυστηρίου ὠφελείας οὐκ ἀπορήσει. δύναται γὰρ πᾶς εὐλαβὴς πάσῃ ἡμέρᾳ, καὶ πάσῃ ὥρᾳ τῇ τοῦ χριστοῦ κοινωνίᾳ πνευματικῇ σωτηρίως καὶ ἀκωλύτως πλησιάζειν. ἀλλ' ὅμως τακταῖς ἡμέραις καὶ ὡρισμένῳ χρόνῳ τὸ τοῦ λυτρωτοῦ αὐτοῦ σῶμα, μετὰ τῆς

παθητικῆς

affectuoſa reuerentia, ſacramentaliter debet ſuſcipere, & magis laudem Dei & honorem prætendere, quàm ſuam conſolationem quærere. Nam toties myſticè communicat, & inuiſibiliter reficitur, quoties incarnationis Chriſti myſterium paſſionemque deuotè recolit, & in amore eius accenditur.

7. Qui aliter ſe non præparat, niſi inſtante feſto, vel conſuetudine compellente, ſæpiùs imparatus erit. Beatus, qui ſe Domino in holocauſtum offert, quoties celebrat aut communicat. Non ſis in celebrando nimis prolixus aut feſtinus, ſed ſerua bonum communem modum cum quibus viuis. Non debes alijs generare moleſtiam & tædium, ſed communem ſeruare viam ſecundùm maiorum inſtitutionem: & potiùs aliorum ſeruire vtilitati, quàm propriæ deuotioni vel affectui.

## CAP. XI.

### *Quòd corpus Chriſti & ſacra ſcriptura, maximè ſint animæ fideli neceſſaria.*

### VOX DISCIPVLI.

1 O Dulciſſime Domine IESV, quanta eſt dulcedo deuotæ animæ, tecum epulantis in conuiuio tuo: vbi ei non alius cibus manducandus proponitur, niſi tu vnicus dilectus eius, ſuper omnia deſideria cordis eius deſiderabilis. Et mihi quidem dulce foret in præſentia tua, ex intimo affectu lachrymas fundere, & cum pia Magdalena pedes tuos lachrymis irrigare. Sed vbi eſt hæc deuotio? vbi lachrymarum ſanctarum copioſa effuſio? Certè in conſpectu tuo & ſanctorum Angelorum tuorum,

παθητικῆς εὐλαβείας μυστηριακῶς ὀφείλει λαμβάνειν, καὶ τῆς τοῦ θεοῦ τιμῆς καὶ δόξης μᾶλλον φροντίζειν, ἢ τὴν ἰδίαν παράκλησιν ζητεῖν. τοσάκις γὰρ μυστηριακῶς κοινωνεῖ, καὶ ἀοράτως ἀνατρέφεται, ὁσάκις τὸ τῆς σαρκώσεως καὶ τοῦ πάθους τοῦ Χριστοῦ μυστήριον εὐλαβῶς μνημονεύει, καὶ τῇ ἀγάπῃ αὐτοῦ ἀνάπτεται.

ζ. Ο οὐκ ἄλλως ἑαυτὸν παρασκευάζων, εἰ μὴ ἑορτῆς ἐπικειμένης, ἢ τοῦ ἔθους ἀναγκάζοντος, πλεονάκις ἀπαρασκεύαστος ἔσται. μακάριος, ὃς ἑαυτὸν εἰς ὁλόκαυστον τῷ κυρίῳ προσφέρει, ὁσάκις ἂν λειτουργῇ ἢ κοινωνῇ. μὴ γίνου ἐν τῷ λειτουργεῖν ἄγαν μακρὸς ἢ ἐπισπερχής, ἀλλὰ τήρει τὸν καλὸν καὶ κοινὸν τρόπον τῶν σοι συζώντων. οὐ χρή σε τοῖς ἄλλοις ἐμποιεῖν βαρύτητα καὶ ἀηδίαν, ἀλλὰ τὴν κοινὴν ὁδὸν κατὰ τὴν τῶν προγόνων διάταξιν, φυλάττειν καὶ μᾶλλον τῇ τῶν ἄλλων δουλεύειν ὠφελείᾳ, ἢ τῇ ἰδίᾳ εὐλαβείᾳ ἢ πάθει.

Κεφ. ια.

Οτι τὸ σῶμα τοῦ Χριστοῦ καὶ ἱερὰ γραφὴ τῇ πιστῇ ψυχῇ ἀναγκαιότατά ἐστιν.

Η φωνὴ τοῦ μαθητοῦ.

α. Ω ἥδιστε κύριε Ἰησοῦ, πόση ἐστὶν ἡ ἡδύτης τῆς εὐλαβοῦς ψυχῆς, τῆς συνεστιωμένης σοι ἐν τῇ εὐωχίᾳ σου, ὅπου αὐτῇ οὐκ ἄλλη βρῶσις προτίθεται φαγεῖν, πλὴν σὺ μόνος ἀγαπητὸς αὐτῆς, ὑπὲρ πάντα τὰ ποθήματα τῆς καρδίας αὐτῆς ἐπιπόθητος. καὶ δὴ ἐμοὶ ἂν ἡδὺ ἐγίνετο ἐν τῇ παρουσίᾳ σου, ἐκ τῆς ἐνδοτάτης ὁρμῆς δάκρυα ἐκχεῖν, καὶ μετὰ τῆς εὐσεβοῦς Μαρίας Μαγδαληνῆς τοῖς δάκρυσι τοὺς πόδας σου βρέχειν. ἀλλὰ ποῦ ἐστιν αὕτη εὐλάβεια; ποῦ τῶν ἁγίων δακρύων εὔπορος ἔκχυσις; ἀληθῶς ἐνώπιόν σου καὶ τῶν ἁγίων ἀγγέλων σου

τὴν καρ-

tuorum, totum cor meum ardere deberet, & ex gaudio flere. Habeo enim te in ſacramento verè præſentem, quamuis aliena ſpecie occultatum.

2. Nam in propria, & diuina claritate te conſpicere, oculi mei ferre non poſſent: ſed neque totus mundus in fulgore gloriæ maieſtatis tuæ ſubſiſteret. In hoc ergo imbecillitati meæ conſulis, quòd te ſub ſacramento abſcondis. Habeo verè & adoro, quem Angeli adorant in cælo; ſed ego adhuc interim in fide, illi autem in ſpecie & ſine velamine. Me oportet contentum eſſe in lumine veræ fidei, & in ea ambulare, donec aſpiret dies æternæ claritatis, & vmbræ figurarum inclinentur. Cùm autem venerit quod perfectum eſt, ceſſabit vſus ſacramentorum: quia beati in gloria cæleſti, non egent medicamine ſacramentali: gaudent enim ſine fine in præſentia Dei, facie ad faciem gloriam eius ſpeculantes, & de claritate in claritatem abyſſalis deitatis transformati, guſtant verbum Dei carnem factum, ſicut fuit ab initio, & manet in æternum.

3. Memor horum mirabilium, graue mihi fit tædium, etiam quodlibet ſpirituale ſolatium: quia quamdiu Dominum meum apertè in ſua gloria non video, pro nihilo duco omne, quod in mundo conſpicio & audio. Teſtis es tu mihi Deus, quòd nulla me res poteſt conſolari, nulla creatura quietare, niſi tu Deus meus, quem deſidero æternaliter contemplari. Sed non eſt hoc poſſibile, durante me in hac mortalitate. Ideo oportet, vt me ponā ad magnam patientiā, & me-

τὴν καρδίαν μου καίεσθαι, καὶ ὑπὸ χαρᾶς κλαίειν ἂν ἔδει. ἔχω γάρ σε ἐν τῷ μυστηρίῳ ἀληθῶς παρόντα, καίπερ ἀλλοτρίῳ εἴδει ἀποκεκρυμμένον.

